Salicornia, *herbacea.* Κρίθμος.
Salvia, *pomifera.* Φασκομήλεα.
Salvia, *triloba.* Φάσκος, Ἀληφάσκια.
Salvia, *ringens.* Χλώμος.
Salvia, *horminum.* Σαρκόθροφι.
Salvia, *verbenaca.* Βουτυρόχορτον. Ἄγριο Βασίλικο, Forsk.
Sambucus, *nigra.* Κουφόξυλον.
Sambucus, *racemosa.* Ἀνδρύανος.
Sambucus, *ebulus.* Ἀβούτζια.
Satureia, *Juliana.* Ὕσσωπο.
Satureia, *capitata.* Θύμιο, Θυμάρι.
Satureia, *hortensis.* Ἀθρίμβρα, Forsk.
Satureia, *Græca.* Φλονόλουνι. Φλουσκοῦνι, Forsk.
Scabiosa, *arvensis.* Κουφολάχανον, Λαχανίδα.
Scabiosa, *columbaria.* Ψωρόχορτον.
Scabiosa, *prolifera.* Σιτόφθορι.
Scabiosa, *Africana.* Σκαυβιόζα.
Scabiosa, *maritima.* Γαλατζίδα.
Scandix, *Pecten.* Σκάνδυκι.
Scilla, *maritima.* Σκίλλα, Βόλκικος.
Scirpus, *Romanus.* Κοῦφο Βρούλι vel Βούρλα.
Scirpus, *lacustris.* Σύφα.
Scolymus, *Hispanicus.* Σκόλυμος, Σκόλυμβρος. Κεφαλάγκαθο, Forsk.

Scorpiurus, *sulcata*. Μαργόχορτον.
Scorzonera, *sulcata*. Idem.
Scrophularia, *peregrina*. Βρομόχορτον.
Scrophularia, *canina*. Σκορπιδόχορτον.
Serratula, *spinosa*. Ἴολα στοβία, Forsk.
Sherardia, *arvensis*. Προβατόχορτον.
Sidum, *Cepæa*. Κρόμμυο.
Sidum, *Eriocarpon*. Ἀμάραντο.
Silene, *inflata*. Στρούθολι, Φουσκούδια.
Silene, *armeria*. Λυχνοειδες.
Sinapis, *arvensis*. Λάμψανι.
Sisymbrium, *nasturtium*. Νερο-Κάρδαμον.
Sisymbrium, *polyceratum*. Ἄγριο Πρᾶ.
Sium, *nodiflorum*. Νερο Σέλινον.
Smilax, *aspera*. Σμιλάγγα.
Smyrnium, *Olusatrum*. Ἄγριο Σέλινον.
Solanum, *Melongena*. Μελίσανα.
Solanum, *nigrum*. Σχιλοστάφυλο.
Sonchus, *oleraceus*. Σόχος.
Sonchus, *chondrylloides*. Λαγόβρομο.
Spartium, *juncum*. Σπάρτο.
Spartium, *scorpius*. Ἀφάννα.
Spartium, *villosum*. Ἀσπάλαθος.
Statice, *Armeria*. Χολαβρόχορτον.
Statice, *limonium*. Θαλασσόγαμβος.
Statice, *sinuata*. Πρωφάσις.
Stœchys, *tomentosa*. Μοσχοβαλόχορτον.
Styrax, *officinale*. Στουρακι.
Symphytum, *officinale*. Ξίκουλι.

T.

Tamarix, *Gallica*. Μουστήκια.
Tanacetum, *Balsamita*. Κόστα.
Teucrium, *Scordium*. Σκόρδιο.
Teucrium, *Chamædrys*. Χαμαίδρυα.
Teucrium, *Polium*. Παναγιόχορτον, Ἀμάραντο.
Thapsia, *villosa*. Ὁμοιόπλευρον.

Thapsia, *fætida*. Πολύκαρπος.
Thapsia, *Asclepium*. Ἀγλήγορα.
Thymus, *Zygis*. Σμάρι.
Tilia, *Europæa*. Φιλουρέα.
Tordyllium, *officinale*. Καυκαλίδα.
Tragopogon, *major*. Λαγογενεία.
Tribulus, *terrestris*. Τρίβολι.
Trifolium, (nom. gen.) Τρίφυλλι.
Trifolium, *augustifolium*. Γατζονούρα.
Trifolium, *stellatum*. Ἀλάφρα.
Trigonella, *corniculata*. Νικόκι.
Trigonella, *Fænum Græcum*. Τηλι.
Triticum, *repens*. Αἶρα.
Triticum, *sativum*. Σιτάρι.
Tussilago, *Farfara*. Χαμαὶ λεύκη.
Tussilago, *Petasites*. Κολλοπάνναα.
Typha, *augustifolia*. Τύζαζι.

U.

Ulmus, *campestris*. Φτέλεα, Βευσος. Γαύρα, Forsk.
Urtica, *pilulifera*. Ἀτζήκιδα.
Urtica, *dioica*. Ἀτζιόκνιδα.

V.

Valeriana, *rubra*. Ἀνάλατος.
Valeriana, *locusta*. Λυκοτρίβολι.
Veratrum, *nigrum*. Σκάρφι.
Verbascum, *Thapsus*. Φλόμο.
Verbascum, *plicatum*. Idem.
Verbascum, *blattaria*. Σκύρι.
Verbena, *officinalis*. Σταυροβότανι.
Viburnum, *Lantana*. Κλημαξίδα.
Vicia, *sativa*. Βήκα.
Vicia, *hybrida*. Ἄγριο Κούκι.
Vinca, *minor*. Ἄγριο Λίτζα.
Viola, *odorata*. Βιολέτα.
Viola, *canina*. Ἄγριο Βιολέτα.

Vitex, *agnus castus.* Ἀγναία. Λιγάρια, Forsk.
Vitis, *vinifera.* Κλῆμα, Στάφιδα. Γρεντζιελα, Forsk.

Z.

Zacintha, *verrucosa.* Καραβιδόχορτον.
Zea, *Mays.* Κάλαμο Σιτάρι.
Zizyphus, *Paliurus.* Παλίουρος.
Zostera, *marina.* Φυκία.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Α'.

CAP. I.

De Partibus Plantarum, et Notis inde sumendis.

ΤΩΝ φυτῶν τὰς διαφορὰς καὶ τὴν ἄλλην φύσιν [a] ἐκ τῆς πρὸς τὰ ζῶα ἀναλογίας ληπτέον, [b] κατά τε τὰ μέρη, καὶ τὰ *πάθη, καὶ τὰς *γενέσεις, καὶ τὰς βίους· [c] ἤθη γὰρ καὶ πράξεις οὐκ ἔχουσιν ὥσπερ τὰ ζῶα. Εἰσὶ δ' αἱ μὲν κατὰ τὴν γένεσιν καὶ τὰ πάθη καὶ τὰς βίους, *εὐθεωρητότεραι καὶ ῥάους· αἱ δὲ κατὰ μέρη, [d] πλείους ἔχουσι ποικιλίας. αὐτὸ γὰρ τοῦτο πρῶτον οὐχ ἱκανῶς ἀφώρισαι, τὸ, ποῖα δεῖ μέρη, καὶ μὴ μέρη καλεῖν· ἀλλ' ἔχει τινὰ *ἀπορίαν. Τὸ μὲν οὖν μέρος, ἅτε ἐκ τῆς ἰδίας φύσεως ὂν, ἀεὶ δοκεῖ διαμένειν, ἢ ἁπλῶς, ἢ ὅταν γένηται· καθάπερ ἐν τοῖς ζώοις τὰ ὕστερον γενησόμενα· πλὴν εἴ τι διὰ νόσον, ἢ γῆρας, ἢ *πήρωσιν ἀποβάλλεται. Τῶν δ' ἐν τοῖς φυτοῖς ἔνια τοιαῦτ' ἐστὶν, ὥστ' ἐπέτειον ἔχειν τὴν οὐσίαν· οἷον *ἄνθος, *βρύον, [e] φύλλον, καρπός· ἁπλῶς

[a] ἐκ τῆς—ἀναλογίας omitt. Ald. 1. 2. Bas. [b] κατά τε μέρη, Heins. [c] ἴθη Ald. 1. 2. Bas. [d] πλείους ἔχουσαι Ald. 1. 2. Bas. [e] φύλλον, καρπόν. Ald. 1. 2. Bas. καρποί. Heins.

ὅσα πρὸ τῶν καρπῶν, ἢ ἅμα γίνεται τοῖς καρποῖς. ἔτι δὲ αὐτὸς ὁ *βλαστός· ἀεὶ γὰρ *ἐπίφυσιν λαμβάνει τὰ δένδρα κατ' ἐνιαυτὸν, ὁμοίως ἔν τε τοῖς ἄνω καὶ ἐν τοῖς περὶ τὰς ῥίζας. Ὥστε εἰ μέν τις ταῦτα θήσει μέρη, τό, τε πλῆθος ἀόριστον ἔσται, καὶ οὐδέποτε οὐδὲν τὸ αὐτὸ τῶν μορίων· εἰ δ' αὖ μὴ μέρη, συμβήσεται δι' ὧν τέλεια γίνεται καὶ φαίνεται, ταῦτα μὴ εἶναι μέρη. βλαστάνοντα γὰρ καὶ θάλλοντα καὶ καρπὸν ἔχοντα, πάντα καλλίω καὶ τελειότερα καὶ δοκεῖ καὶ ἔστιν. αἱ μὲν οὖν *ἀπορίαι σχεδόν εἰσιν αὗται. Τάχα δὲ οὐχ' ὁμοίως ἅπαντα ζητητέον, οὔτε ἐν τοῖς ἄλλοις, οὔθ' ὅσα πρὸς τὴν γένεσιν· [d] αὐτά τε τὰ γεννώμενα μέρη θετέον· οἷον, τοὺς καρπούς. οὐδὲ γὰρ τὰ ἔμβρυα τῶν ζώων· εἰ δὲ τῇ ὥρᾳ ὄψει [e] τόγε κάλλιστον, οὐδὲν σημεῖον· ἐπεὶ καὶ τῶν ζώων [f] *εὐθετεῖ τὰ κύοντα. πολλὰ δὲ καὶ τὰ μέρη κατ' ἐνιαυτὸν ἀποβάλλει· καθάπερ οἵτε ἔλαφοι τὰ κέρατα, καὶ τὰ *φωλεύοντα τὰ πτερὰ, καὶ τρίχας τετράποδα· ὥστ' οὐδὲν ἄτοπον, ἄλλως τε καὶ ὅμοιον τῷ φυλλορροεῖν τὸ πάθος. ὡσαύτως δ' οὐδὲ τὰ πρὸς τὴν γένεσιν· ἐπεὶ καὶ ἐν τοῖς ζώοις τὰ μὲν συνεκτίκτεται, τὰ δὲ ἀποκαθαίρεται καθάπερ ἀλλότρια τῆς φύσεως. ἔοικε δὲ παραπλησίως καὶ τὰ περὶ τὴν βλάστησιν ἔχειν· ἡ γάρ τοι γένεσις γενέσεως χάριν ἐστὶ τῆς τελείας. Ὅλως δὲ, καθάπερ εἴπομεν, οὐδὲ πάντα ὁμοίως καὶ ἐπὶ τῶν ζώων ληπτέον. διὸ καὶ ὁ ἀριθμὸς ἀόριστος· παντα-χῇ γὰρ βλαστικὸν [τὸ φυτὸν], [g] ἅτε καὶ πανταχῇ

[d] οὔτε αὐτά τε τὰ γεννώμενα καὶ ἐπὶ τῶν ζώων Heins. [e] τὸ κάλλιστον, Heins. [f] εὐθετεῖ κύοντα. Ald. 1. 2. Bas. [g] παν-παχῇ ζῶον. Ald. 1. 2. Bas.

ζῶν. [h] ὥςε ταῦτα μὲν οὕτως ὑποληπτέον, οὐ μόνον εἰς τανῦν, ἀλλὰ καὶ τῶν μελλόντων χάριν. ὅσα γὰρ μὴ οἷόν τε *ἀφομοιῶν, περίεργον τὸ *γλίχεσθαι πάντως· ἵνα μὴ καὶ τὴν οἰκείαν ἀποβάλλωμεν θεωρίαν. Ἡ δὲ ἱςορία τῶν φυτῶν ἐςιν, ὡς ἁπλῶς εἰπεῖν, ἢ κατὰ τὰ ἔξω μόρια καὶ τὴν ὅλην μορφὴν, ἢ κατὰ τὰ ἐντὸς, ὥσπερ ἐπὶ τῶν ζώων τὰ ἐκ τῶν ἀνατομῶν. ληπτέον δὲ ἐν αὐτοῖς, ποῖά τε πᾶσιν ὑπάρχει ταὐτὰ, καὶ ποῖα ἴδια καθ' ἕκαστον γένος· ἔτι δὲ τῶν αὐτῶν ποῖα ὅμοια. λέγω δὲ ἴδιον, φύλλον, ῥίζαν, φλοιόν. οὐ δεῖ δὲ οὐδὲ τοῦτο λανθάνειν, εἴ τι κατ' ἀναλογίαν θεωρητέον, [i] ὥσπερ ἐπὶ τῶν ζώων τὴν ἀναφορὰν ποιουμένους, δηλονότι πρὸς τὰ *ἐμφερέςατα καὶ τελειότατα. καὶ ἁπλῶς δὲ, ὅσα τῶν ἐν φυτοῖς [k] ἀφομοιωτέον τοῖς τῶν ἐν τοῖς ζώοις, [l] ὡσαύτως κατ' ἀναλογίαν ἀφομοιῶν δεῖ. ταῦτα μὲν οὖν διαιρείσθω τὸν τρόπον τοῦτον. Αἱ δὲ τῶν μερῶν διαφοραὶ ᾠδὸν, ὡς τύπῳ λαβεῖν, εἰσὶν ἐν τρισίν· ἢ τῷ τὰ μὲν ἔχειν, τὰ δὲ μὴ, καθάπερ φύλλα καὶ καρπόν· ἢ τῷ μὴ ὅμοια μηδὲ ἴσα· ἢ τρίτον, τῷ μὴ ὁμοίως. Τούτων δὲ ἡ μὲν ἀνομοιότης ὁρίζεται χήματι, χρώματι, πυκνότητι, μανότητι, [m] τραχύτητι, λειότητι, καὶ τοῖς ἄλλοις πάθεσιν· ἔτι δὲ ὅταν διαφορὰ τῶν *χυλῶν. ἡ δὲ ἀνισότης ὑπεροχῇ καὶ ἐλλείψει κατὰ πλῆθος ἢ μέγεθος, ὡς δὲ εἰπεῖν τύπῳ, κἀκεῖνα πάντα καθ' ὑπεροχὴν καὶ ἔλλειψιν· τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὑπεροχὴ καὶ ἔλλειψις, τὸ δὲ μὴ

[h] ὥςε ταῦτα μὲν ita MS. H. 1. ταύτας editt. [i] ὥσπερ καὶ, τῶν ζώων τὴν ἀναφορὰν Heins. [k] ἀφομοιωτέον, τῶν Ald. 1. 2. Bas. [l] ὡς ἄν τις *ἀφομοιοῖ. Ald. 1. 2. Bas. ὡς ἄν τις δύνηται κατὰ τὸν εἰκότα λόγον ἀφομοιοῦν, δεῖ. Heins. [m] τραχύτητι, ita MS. H. 1. παχύτητι, editt.

ὁμοίως, τῇ θέσει διαφέρει. λέγω δὲ, οἷον τὸ τοὺς καρπούς τὰ μὲν ἐπάνω, τὰ δὲ ὑποκάτω τῶν φύλλων ἔχειν· καὶ αὐτοῦ τοῦ δένδρου, τὰ μὲν ἐξ ἄκρου, τὰ δὲ ἐκ τῶν πλαγίων, ἔνια δὲ καὶ ἐκ τοῦ στελέχους· οἷον ἡ Αἰγυπτία Συκάμινος. καὶ ὅσα δὴ καὶ ὑπὸ γῆς φέρει καρπόν· οἷον, ἥ τε Ἀραχίδνα, καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον [l] Οὔϊγγον· καὶ [ἔτι] τὰ μὲν ἔχει μίσχον, τὰ δὲ μή· καὶ ἐπὶ τῶν ἀνθέων ὁμοίως, τὰ μὲν γὰρ *περὶ αὐτὸν τὸν καρπὸν, τὰ δὲ, ἄλλως. ὅλως δὲ τὸ τῆς θέσεως, ἐν τούτοις, καὶ τοῖς φύλλοις, καὶ ἐν τοῖς βλαστοῖς ληπτέον. διαφέρει δὲ ἔνια καὶ τῇ [m] τάξει. οἱ μὲν τῆς Δρυὸς κλῶνες ὡς ἔτυχε· τῆς δὲ Ἐλάτης κατ' ἀλλήλους ἑκατέρωθεν. τῶν δὲ καὶ οἱ *ὄζοι δι' ἴσου τε καὶ κατ' ἀριθμὸν ἴσοι, καθάπερ τῶν *τριόζων· ὥστε καὶ τὰς μὲν διαφορὰς ἐκ τούτων ληπτέον, ἐξ ὧν καὶ ὅλη μορφὴ συνδηλῶται καθ' ἕκαστον.

CAP. II.

Radix, Cortex, Medulla, Lignum, Caulis, Ramus, Fructus, Succus.

[n] ΑΥΤΑ δὲ δὴ τὰ μέρη διαριθμησαμένους, πειρατέον περὶ ἑκάστου λέγειν. ἔστι δὲ πρῶτα μὲν καὶ μέγιστα καὶ κοινὰ τῶν πλείστων τάδε· ῥίζα, καυλὸς, *ἀκρέμων, *κλάδος. εἰς ἃ διέλοιτ' ἄν τις ὥσπερ εἰς μέρη, καθάπερ ἐπὶ τῶν ζώων. ἕκαστόν τε γὰρ ἀνόμοιον, καὶ ἐξ ἁπάντων τούτων τε τὰ ὅλα. Ἔστι δὲ ῥίζα μὲν, [o] δι' οὗ

[l] Ἴουγγον MS. H. 1. [m] τάξει. τὰ μὲν ὡς ἔτυχε τῆς ἐλάτης, οἱ κλῶνες κατ' ἀλλήλους Ald. 1. 2. Bas. [n] αὐτὰ δὲ δὴ τὰ γένη Heins. [o] δι' οὗ τὴν τροφὴν Ald. 1. 2. Bas.

ἡ τροφὴ ἐπάγεται· καυλὸς δὲ, εἰς ὃ φέρεται· καυλὸν δὲ λέγω, τὸ ὑπὲρ γῆς πεφυκὸς ὑφ' ἕν· τοῦτο γὰρ κοινότατον ὁμοίως *ἐπετείοις καὶ χρονίοις, ὃ ἐπὶ τῶν δένδρων καλεῖται *στέλεχος. ἀκρέμονας δὲ, τοὺς [p]ἀπὸ τούτου σχιζομένους, οὓς ἔνιοι καλοῦσιν *ὄζους. κλάδον δὲ, τὸ βλάστημα, τὸ ἐκ τούτων ὑφ' [q]ἕν· καὶ ταῦτα μὲν οἰκοιότερα τῶν δένδρων· ὁ δὲ καυλὸς, ὥσπερ εἴρηται, κοινότερος. ἔχει δὲ οὐ πάντα οὐδὲ τοῦτον, οἷον ἔνια τῶν ποωδῶν· [r]τὰ δὲ, ἔχει μὲν, οὐκ ἀεὶ δὲ, ἀλλ' ἐπέτειαν, καὶ ὅσα χρονιώτεραν ταῖς ῥίζαις. Ὅλως δὲ *πολύχρον τὸ τῶν φυτῶν καὶ [s]ποίκιλον, καὶ χαλεπὸν εἰπεῖν καθόλου. σημεῖον δὲ, τὸ μηδὲν εἶναι κοινὸν λαβεῖν, ὃ πᾶσιν ὑπάρχει, καθάπερ τοῖς ζώοις στόμα καὶ κοιλία· τὰ δὲ ἀναλογίᾳ ταὐτὰ, τὰ δὲ ἄλλον τρόπον. οὔτε γὰρ ῥίζαν πάντ' ἔχει, οὔτε καυλὸν, οὔτε ἀκρέμονα, οὔτε κλάδον, οὔτε φύλλον, οὔτε ἄνθος, ὅτε καρπόν· ὅτ' αὖ φλοιὸν, ἢ *μήτραν, ἢ *ἶνας, ἢ *φλέβας· οἷον Μύκης, [t]Ὕδνον· ἐν τούτοις δὲ ἡ οὐσία καὶ ἐν τοῖς τοιούτοις. ἀλλὰ μάλιστα ταῦτα ὑπάρχει, καθάπερ εἴρηται, τοῖς δένδροις, κἀκείνων οἰκειότερος ὁ μερισμός· πρὸς ἃ καὶ τὴν ἀναφορὰν τῶν ἄλλων ποιεῖσθαι δίκαιον. σχεδὸν δὲ καὶ τὰς ἄλλας μορφὰς ἑκάστων ταῦτα διασημαίνει. διαφέρουσι γὰρ πλήθει τῷ τούτων, καὶ ὀλιγότητι, καὶ πυκνότητι, καὶ μανότητι· καὶ [u]τῷ ἐφ' ἓν, ἢ εἰς πλείω [x]σχίζεσθαι· τοῖς τε ἄλλοις τοῖς

[p] ἀπὸ τούτων σχιζομένους, Heins. [q] ὑφ' ἕν· οἷον μάλιστα τὸ ἐπίτειον. Bod. [r] τὰ δὲ, ἔχει. Ita MS. H. 1. τὰ μὲν ἔχει editt. [s] ποίκιλον, ita MS. H. 1. et edit. Bas. ποικίλων Ald. 1. 2. [t] Οἴδνον. Ald. 1. 2. Bas. [u] τῷ ἐφ' ἕν, ita MS. H. 1. edit. Bas. Heins. τὸ ἐφ' ἕν Ald. 1. 2. [x] σχίζεσθαι τοῖς ἄλλοις editt.

ὁμοίοις. Ἔςι δὲ ἕκαςον τῶν εἰρημένων ὐχ *ὁμοιομερές. [y] λέγω δὲ οὐχ ὁμοιομερὲς, ὅτι ἐκ τῶν αὐτῶν ὁτιῦν μέρος σύγκειται τῆς ῥίζης καὶ τῦ ςελέχους· ἀλλ' οὐ λέγεται ςέλεχος τὸ ληφθὲν, ἀλλὰ μόριον. [z] ὡς ἐν τοῖς τῶν ζώων μέλεσίν [a] ἐςιν ἐκ τῶν αὐτῶν μὲν ὁτιοῦν τῆς κνήμης ἢ τῦ ἀγκῶνος· ὐχ *ὁμώνυμον δὲ, καθάπερ σὰρξ ϗ ὀστοῦν, ἀλλ' *ἀνώνυμον. οὐδὲ δὴ τῶν ἄλλων οὐδενὸς, ὅσα *μονοειδῆ τῶν *ὀργανικῶν, ἁπάντων γὰρ τῶν τοιούτων ἀνώνυμα τὰ μέρη· τῶν δὲ *πολυειδῶν ὠνομασμένα· καθάπερ ποδὸς, χειρὸς, κεφαλῆς· οἷον δάκτυλος, ῥὶς, ὀφθαλμός· ϗ τὰ μὲν μέγιςα μέρη χεδὸν ταῦτά ἐςιν. [b] Ἄλλα δέ [ἐςιν] ἐξ ὧν ταῦτα, φλοιὸς, *μήτρα, ξύλα, ἢ ὅσα ἔχει μήτραν· πάντα δὲ ὁμοιομερῆ· καὶ τὰ τούτων δὲ ἔτι πρότερα, καὶ ἐξ ὧν ταῦτα· *ὑγρὸν, *ἰς, *φλὲψ, *σάρξ. *ἀρχαὶ γὰρ αὗται, πλὴν εἴ τις λέγοι τὰς ςοιχείων δυνάμεις, [c] αὗται δὲ κοιναὶ πάντων. ἡ μὲν οὖν συνουσία καὶ ἡ ὅλη φύσις ἐν τούτοις· [d] ἄλλα δ' ἐςὶν, ὥσπερ ἐπέτεια μέρη· τὰ πρὸς τὴν καρποτοκίαν· οἷον, φύλλον, ἄνθος, μίσχος· τοῦτο δ' ἐςὶν, ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον· καὶ ὁ καρπός. ἔτι δὲ *ἕλιξ, *βρύον, [οἷς ὑπάρχει.] καὶ ἐπὶ πᾶσι, σπέρμα τὸ τοῦ καρποῦ. [e] καρπὸς δ' ἐςὶ τὸ συγκείμενον σπέρμα μετὰ τῦ περικαρπίου. παρὰ δὲ ταῦτα ἐνίων ἴδι' ἄττα, καθάπερ ἡ [f] *κηκὶς Δρυὸς, καὶ ἡ ἕλιξ

[y] λέγω δὲ οὐχ ὁμοιομερὲς, ita MS. H. 1. editt. omittunt οὐχ. [z] ὡς ἐν τοῖς τῶν ζώων ita MS. H. 1. ὡς αὐτοῖς τῶν ζώων Ald. 1. 2. Bas. ὡς ἐν τοῖς αὐτῶν τῶν ζώων Heins. [a] ἐςιν ἐκ τῶν μὲν Ald. 1. 2. Bas. [b] ἄλλα ita MS. H. 1. Ald. 2. Bas. Heins. ἀλλὰ Ald. 1. [c] αὗται δὲ Heins. [d] ἄλλα ϗ ἔςιν, Heins. [e] καρπὸς δέ ἐςι Heins. [f] κικὶς editt.

'Αμπέλου. [g] Καὶ ἐν τοῖς μὲν δένδρεσίν ἐστιν [h] οὕτω διαλαβεῖν· τοῖς δὲ ἐπετείοις, δῆλον ὡς ἅπαντα ἐπέτεια· μέχρι γὰρ τῶν καρπῶν ἡ φύσις. ὅσα δὲ ἐπετειόκαρπα, καὶ ὅσα * διετίζει, καθάπερ Σέλινον καὶ ἄλλ' ἄττα, καὶ ὅσα δὲ πλείω χρόνον ἔχει, τούτοις ἅπασιν καὶ ὁ καυλὸς ἀκολουθήσει κατὰ λόγον· ὅταν γὰρ σπερμοφορεῖν μέλλωσι, τότε ἐγκαυλῶσιν, ὡς ἕνεκα τοῦ σπέρματος ὄντων τῶν καυλῶν· ταῦτα μὲν οὖν ταύτῃ διῃρήθω.

CAP. III.

Interna Plantarum Structura fusius revelatur.

ΤΩΝ δὲ ἄρτι εἰρημένων μερῶν πειρατέον ἕκαστον εἰπεῖν, τί ἐστιν, ὡς ἐν τύπῳ λέγοντας· τὸ μὲν οὖν ὑγρὸν φανερόν· [i] ὃ δὴ καλοῦσί τινες ἁπλῶς ἐν ἅπασιν * ὀπὸν, ὥσπερ καὶ Μενέστωρ· [k] οἱ δὲ ἐν τοῖς ἄλλοις ἀνωνύμως, ἐν δέ τισιν ὀπὸν, καὶ ἐν ἄλλοις * δάκρυον· * ἴνες δὲ καὶ * φλέβες· καθ' αὑτὰ γὰρ ἀνώνυμα, τῇ δὲ ὁμοιότητι μεταλαμβάνουσι τῶν ἐν τοῖς ζώοις μορίων. Ἔχει δὲ ἴσως καὶ ἄλλας διαφορὰς καὶ ταῦτα, καὶ ὅλως τὸ τῶν φυτῶν γένος· πολύχουν γὰρ, ὥσπερ εἰρήκαμεν· ἀλλ' ἐπεὶ διὰ τῶν γνωρίμων μεταδιώκειν δεῖ τὰ ἀγνώριστα, γνωριμώτερα δὲ τὰ μείζω καὶ ἐμφανῆ τῇ αἰσθήσει δηλονότι, καθάπερ [l] ὑφήγηται, περὶ τούτων λεκτέον· ἐπαναφορὰν γὰρ ἕξομεν τῶν ἄλλων πρὸς ταῦτα, μέχρι πόσου, καὶ πῶς ἕκαστα μετέχει τῆς ὁμοιότητος. εἰλημμένων δὲ τῶν μερῶν, μετὰ ταῦτα ληπτέον τὰς τούτων

g καὶ τοῖς μὲν δένδρεσίν Ald. 1. 2. Bas. h ὅτῳ διαλαβεῖν. Heins. i ὃ καὶ καλοῦσι Heins. k οἱ δὲ ἐν ita MS. H. 1. ed. Heins. Basileensis in marg. οἱ δὲ μὲν Ald. 1. 2. Bas. l ὑφηγήσεται MS. H. 1.

διαφοράς· οὕτω γὰρ ἅμα καὶ ἡ οὐσία φανερὰ, καὶ ἡ ὅλη τῶν γενῶν πρὸς ἄλληλα διάστασις. ἡ μὲν οὖν τῶν μεγίστων χεδὸν εἴρηται· λέγω δὲ, οἷον ῥίζης, [m] καυλοῦ, καὶ τῶν ἄλλων. αἱ γὰρ δυνάμεις καὶ ὧν χάριν ἕκαστον, ὕστερον ῥηθήσονται. ἐξ ὧν γὰρ καὶ ταῦτα καὶ τ' ἄλλα σύγκειται, πειρατέον εἰπεῖν, ἀρξαμένους ἀπὸ τῶν πρώτων. Πρῶτα δέ ἐστι τὸ *ὑγρὸν καὶ θερμόν. ἅπαν γὰρ φυτὸν ἔχει τινὰ ὑγρότητα καὶ θερμότητα *σύμφυτον, ὥσπερ καὶ ζῶον· ὧν [n] ὑπολειπόντων γίνεται γῆρας καὶ φθίσις· τελέως δὲ ὑπολιπόντων, θάνατος καὶ αὔανσις. ἐν μὲν οὖν τοῖς πρώτοις ἀνώνυμος ἡ ὑγρότης· ἐν ἐνίοις δὲ ὠνομασμένη, καθάπερ εἴρηται. τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ζώων ὑπάρχει. μόνη γὰρ ἡ τῶν *ἐναίμων ὑγρότης ὠνόμαται. διὸ καὶ διήρηται πρὸς τοῦτο στερήσει. τὰ μὲν γὰρ ἄναιμα, τὰ δὲ ἔναιμα λέγεται. [o] ἔστι μὲν οὖν τοῦτό τε μέρος καὶ τὸ τούτῳ συνηρτημένον θερμόν. [p] Ἄλλα δὲ εἴδη ἕτερα τῶν ἐντὸς, ἃ καθ' ἑαυτὰ μέν ἐστιν ἀνώνυμα, διὰ δὲ τὴν ὁμοιότητα ἀπεικάζεται τοῖς τῶν ζώων μορίοις· ἔχουσι γὰρ ὥσπερ *ἶνας, ὅ ἐστι συνεχὲς καὶ ἰσχὸν καὶ ἐπίμηκες, [q] *ἀπαράβλητον δὲ, καὶ ἄβλαστον. ἔχουσι δὲ καὶ *φλέβας· [r] αὗται δὲ τὰ μὲν ἄλλα εἰσὶν ὅμοιαι τῇ ἰνὶ, μείζους δὲ καὶ παχύτεραι, καὶ *παραβλαστὰς ἔχουσαι καὶ ὑγρότητας. Ἔτι *ξύλον καὶ *σάρξ. τὰ μὲν γὰρ ἔχει σάρκα, τὰ δὲ ξύλον. ἔστι δὲ τὸ μὲν ξύλον ἰσχὸν, ἡ δὲ σὰρξ πάντῃ διαιρεῖται, ὥσπερ γῆ καὶ

[m] καυλοῦ, τῶν ἄλλων. Ald. 1. 2. Bas. [n] ὧν ὑπολιπόντων Ald. 2. Bas. [o] ἔστι μὲν οὖν ita MS. H. 1. edit. Heins. ἔτι μὲν οὖν Ald. 1. 2. Bas. [p] ἐν δὲ καὶ ἄλλα εἴδη Heins. [q] ἀπαράβλαστον δὲ καὶ ἄβλαστον Heins. ἄβλαστον ἔχον φλέβας. editt. [r] αὗται δὲ, τὰ Heins.

ὅσα γῆς· μεταξὺ δὲ γίνεται ἰνὸς καὶ φλεβός· φανερὰ δὲ [s]ἡ φύσις αὐτῆς ἐν ἄλλοις τε, καὶ ἐν τοῖς τῶν περικαρπίων δέρμασι. *Φλοιὸς δὲ καὶ *μήτρα *κυρίως μὲν λέγεται, δεῖ δὲ αὐτὰ καὶ τῷ λόγῳ διορίσαι. φλοιὸς μὲν οὖν ἐστι, τὸ ἔσχατον, καὶ χωριστὸν τοῦ ὑποκειμένου σώματος· μήτρα δὲ, τὸ μεταξὺ τοῦ ξύλου, τρίτον ἀπὸ τοῦ φλοιοῦ, οἷον ἐν τοῖς ὀστοῖς μυελός· καλοῦσι δέ τινες τοῦτο καρδίαν, οἱ δὲ μυελόν. Τὰ μὲν οὖν μόρια τοσαῦτα· σύγκειται δὲ τὰ ὕστερα ἐκ τῶν προτέρων. ξύλον μὲν ἐξ ἰνὸς καὶ ὑγροῦ, καὶ ἔνια ἐκ σαρκὸς· ξυλῶται γὰρ σκληρυνόμενα, οἷον ἐν τοῖς Φοίνιξι καὶ Νάρθηξι, καὶ εἴ τι ἄλλο ἐκξυλῶται, ὥσπερ αἱ τῶν Ῥαφανίδων ῥίζαι. μήτρα δὲ ἐξ ὑγροῦ καὶ σαρκός· φλοιὸς δὲ, ὁ μέν τις ἐκ πάντων τῶν τριῶν, οἷον ὁ τῆς Δρυὸς καὶ Αἰγείρου καὶ Ἀπίου· ὁ δὲ τῆς Ἀμπέλου, ἐξ ὑγροῦ καὶ ἰνός· [t]ὁ δὲ τοῦ Φελλοῦ, ἐκ σαρκὸς καὶ ὑγροῦ. Πάλιν δὲ ἐκ τούτων σύνθετα, τὰ μέγιστα καὶ πρῶτα ῥηθέντα, καθαπερανεὶ μέλη· πλὴν οὐκ ἐκ τῶν αὐτῶν πάντα, οὐδὲ ὡσαύτως, ἀλλὰ διαφόρως. εἰλημμένων δὲ πάντων τῶν μορίων, ὡς εἰπεῖν, τὰς τούτων διαφορὰς πειρατέον ἀποδιδόναι, καὶ τὰς ὅλων τῶν δένδρων καὶ φυτῶν οὐσίας.

CAP. IV.

Quid Arbor, quid Frutex, quid Herba.

ΕΠΕΙ δὲ συμβαίνει σαφέστερον εἶναι τὴν μάθησιν διαιρουμένων κατὰ *εἴδη, καλῶς ἔχει τοῦτο ποιεῖν, ἐφ' ὧν ἐνδέχεται. πρῶτα δέ ἐστι καὶ μέγιστα, καὶ κεδὸν

[s] ἡ φύσις ἐν ἄλλοις τι. Heins.

[t] ὁ δὲ τοῦ φύλλου, ἐκ σαρκὸς Ald. 1. 2. Bas.

ὑφ' ὧν πάντα ἢ τὰ πλεῖστα περιέχεται, τάδε· *Δένδρον *Θάμνος, *Φρύγανον, *Πόα. Δένδρον μὲν ὃν ἐστὶ τὸ ἀπὸ ῥίζης μονοστέλεχες, πολύκλαδον, [u] ὀζωτόν· οἷον Ἐλαία, Συκῆ, Ἄμπελος· Φρύγανον δὲ, τὸ ἀπὸ ῥίζης καὶ πολυστέλεχες, καὶ πολύκλαδον· οἷον, Βάτος, Παλίουρος· Πόα δὲ, τὸ ἀπὸ ῥίζης φυλλοφόρον προϊὸν, ἀστέλεχες, οὗ ὁ καυλὸς σπερμοφόρος· οἷον ὁ Σῖτος, καὶ τὰ Λάχανα. δεῖ δὲ τοὺς *ὅρους ἅπτως ἀποδέχεσθαι καὶ λάμβανειν, ὡς τύπω, ὡς ἐπὶ τὸ πᾶν λεγομένους, ἔνια γὰρ ἴσως *ἐπαλλάττειν δόξειε· τὰ δὲ καὶ παρὰ τὴν *ἀγωγὴν ἀλλοιότερα γίνεται καὶ [x] *ἐκβαίνει τῆς φύσεως· οἷον, Μαλάχη τις εἰς ὕψος ἀναγομένη καὶ ὑποδενδρομένη· συμβαίνει γὰρ τοῦτο, καὶ οὐκ ἐν πολλῷ χρόνῳ, ἀλλ' ἐν ἓξ ἢ ἑπτὰ μησὶν, ὥστε μῆκος καὶ πάχος δορατιαῖον γίνεσθαι, διὸ καὶ βακτηρίαις αὐταῖς χρῶνται· πλείονος δὲ χρόνου γινομένου, κατὰ λόγον ἡ *ἐπίδοσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν Τεύτλων· καὶ γὰρ ταῦτα λαμβάνει μέγεθος. ἔτι δὲ μᾶλλον Ἄγνος καὶ ὁ Παλίουρος καὶ ὁ Κιττός· ὥσθ' ὁμολογουμένως ταῦτα γίνεσθαι δένδρα· καίτοι θαμνώδη ἐστίν. ὁ δὲ Μύῤῥινος μὴ *ἀνακαθαιρόμενος ἐκθαμνοῦνται. καὶ ἡ Ἡρακλεωτικὴ Καρύα. δοκεῖ δὲ αὕτη τὲ καὶ τὸν καρπὸν βελτίω καὶ πλείω φέρειν, ἐὰν ῥάβδους τὶς ἐᾷ πλείους, ὡς τῆς φύσεως θαμνώδους οὔσης. οὐ μονοστέλεχες δὲ ἂν δόξειεν οὐδὲ ἡ Μηλέα, οὐδὲ ἡ Ῥοιὰ, οὐδὲ ἡ Ἄπιος εἶναι· οὐδὲ ὅλως ὅσα παραβλαστικὰ ἀπὸ τῶν ῥιζῶν, ἀλλὰ τῇ ἀγωγῇ. ταῦτα, παραιρουμένων τῶν ἄλλων· ἔνια δὲ καὶ ἐῶσι πολυστελέχη διὰ λεπτότητα, καθάπερ Ῥοιὰν, Μηλέαν.

[u] ὀζωτὸν, οὐκ ἰυαπόλυτον· οἷον Ald. ὀζωτὸν, οὐκ ἰυαπόλυλυτον· οἷον Bod. [x] ἰκβαίνειν Bod.

ἐῶσι δὲ καὶ τὰς [y] *Ἐλαίας *κοπάδας, καὶ τὰς Συκᾶς. τάχα δὲ ἄντις φαίη, καὶ ὅλως μεγέθει καὶ μικρότητι δεῖν διαιρεῖν ἔνια· τὰ δὲ, ἰσχύϊ καὶ ἀσθενείᾳ, καὶ πολυχρονιότητι. τῶν τε γὰρ φρυγανωδῶν καὶ λαχανωδῶν ἔνια μονοσελέχη, καὶ οἷον δένδρα φύσιν ἔχοντα γίνεται, καθάπερ Ῥαφανὶς, Πήγανον· ὅθεν καὶ καλοῦσί τινες τὰ τοιαῦτα δενδρολάχανα. τά τε λαχανώδη, πάντα, ἢ τὰ πλεῖστα, ὅταν ἐγκαταμείνῃ, λαμβάνει τινὰς ὥσπερ ἀκρέμονας, καὶ γίνεται τὸ ὅλον ἐν σχήματι δενδρώδη· πλὴν ὀλιγοχρονιώτερα.

CAP. V.

Arborum aliæ cultæ, aliæ sylvestres; aliæ fructiferæ, aliæ steriles; aliæ floriferæ, aliæ flore carentes.

ΔΙΑ δὴ ταῦτα, ὥσπερ ἐλέγομεν, οὐκ *ἀκριβολογητέον τῷ *ὅρῳ, ἀλλὰ τῷ τύπῳ ληπτέον τὰς ἀφορισμὰς, ἐπεὶ καὶ τὰς διαιρέσεις ὁμοίως, οἷον, ἡμέρων, ἀγρίων, καρποφόρων, ἀκάρπων, ἀνθοφόρων, ἀνάνθων, ἀειφύλλων, φυλλοβόλων. τὰ μὲν γὰρ ἄγρια καὶ ἥμερα παρὰ τὴν ἀγωγὴν εἶναι δοκεῖ· πᾶν γὰρ ἄγριον καὶ ἥμερον φησὶν Ἵππων γίνεσθαι, τυγχάνον καὶ μὴ τυγχάνον θεραπείας. ἄκαρπα δὲ καὶ κάρπιμα, καὶ καρποφόρα ἄνθη παρὰ τοὺς τόπους καὶ τὸν ἀέρα τὸν περιέχοντα. τὸν αὐτὸν δὲ τρόπον καὶ φυλλοβόλα, καὶ ἀείφυλλα. περὶ γὰρ Ἐλεφαντίνην, οὐδὲ τὰς Ἀμπέλους, οὐδὲ τὰς Συκᾶς φασὶ φυλλοβολεῖν. ἀλλ' ὅμως τοῖς αὐτοῖς [z] διαιρετέον. [a] ἔστι γάρ τι τῆς φύσεως κοινὸν, ὁμοίως ἐν δένδροις καὶ θάμνοις

[y] Ἐλάτας, Bod. [z] αἱρετέον. Bod. Ald. [a] ἴσχυι γάρ Bod. Ald.

καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσιν, ὑπὲρ ὧν καὶ τὰς *αἰτίας ὅταν τις λέγῃ, περὶ πάντων κοινῇ δηλονότι λεκτέον, οὐχ' *ὁρίζοντα καθ' ἕκαστον. εὔλογον δὲ καὶ τὰς αἰτίας ταύτας κοινὰς εἶναι πάντων. ἅμα δὲ καὶ φαίνεταί τινα ἔχειν φυσικὴν διαφορὰν εὐθὺς ἐπὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, εἴπερ ἔνια μὴ δύναται ζῆν ἄνευ θεραπείας, ὥσπερ τὰ γεωργούμενα· τὰ δὲ μηδ' ὅλως δέχεται θεραπείαν, ἀλλὰ καὶ χείρω γίνεται, καθάπερ Ἐλάτη, Πεύκη, [b] Κήλαστρον, καὶ ἁπλῶς ὅσα ψυχροὺς τόπους φιλεῖ καὶ χιονώδεις. ὡσαύτως δὲ καὶ τῶν φρυγανικῶν καὶ ποωδῶν, οἷον Κάπταρις καὶ Θέρμος. ἥμερον δὲ καὶ ἄγριον δίκαιον καλεῖν, [c] ἀναφέροντα πρός τε ταύτας καὶ πρὸς τὸ ὅλως ἡμερώτατον· ὁ δὲ ἄνθρωπος, ἢ μόνον, ἢ μάλιστα ἥμερον.

CAP. VI.

Formarum Differentiæ; et quod aliæ terrestres, aliæ aquatiles; aliæ in Paludibus, aliæ in Lacubus; aliæ in Fluviis, aliæ in Mari.

ΦΑΝΕΡΑΙ δὲ καὶ κατὰ τὰς μορφὰς αἱ διαφοραὶ τῶν ὅλων τε καὶ μορίων· οἷον λέγω, μέγεθος καὶ σμικρότης· σληρότης, μαλακότης· λειότης, τραχύτης· φλοιός, φύλλων. τῶν τε ἄλλων ἁπλῶς εὐμορφία, καὶ [d] δυσμορφία τίς ἐστι, καὶ καλλικαρπία, καὶ κακοκαρπία. πλείω μὲν γὰρ δοκεῖ τὰ ἄγρια φέρειν, ὥσπερ Ἀχράς, Κότινος· καλλίω δὲ τὰ ἥμερα· καὶ τοὺς χυλοὺς δὲ αὐτοὺς γλυκυτέρους καὶ [e] ἡδίους, καὶ τὸ ὅλον, ὡς εἰπεῖν, *εὐκρατος μᾶλλον. αὗταί τε δὴ φυσικαί τινες, ὥσπερ εἴρηται, διαφοραί· καὶ ἔτι δὴ

[b] λάστρον· Bod. Ald. [c] ἀναφέροντα καὶ ὅλως πρὸς τὸ Bod. Ald. [d] τίς ἔτι δὲ Bod. Ald. [e] ἰδίους Ald.

μᾶλλον τῶν ἀκάρπων καὶ καρποφόρων· καὶ φυλλοβόλων καὶ ἀειφύλλων, καὶ ὅσα ἄλλα τοιαῦτα. πάντων δὲ ληπτέον ἀεὶ καὶ πάσας τοῖς τόποις· οὐ γὰρ οὐδὲ οἷόν τε ἴσως ἄλλως. αἱ δὲ τοιαῦται δόξαιεν ἂν *γενικόν τινα ποιεῖν χωρισμόν, οἷον ἐνύδρων καὶ χερσαίων, ὥσπερ ἐπὶ τῶν ζώων. ἔστι γὰρ ἔνια τῶν φυτῶν, ἃ ἐ δύναται [f] εἰ μὴ ἐν ὑγρῷ ζῆν. διήρηται δὲ ἄλλο κατ' ἄλλο γένος τῶν ὑγρῶν, ὥστε τὰ μὲν, ἐν τέλμασι, τὰ δὲ ἐν λίμναις, τὰ δὲ ἐν ποταμοῖς, τὰ δὲ καὶ ἐν αὐτῇ τῇ θαλάττῃ φύεσθαι· τὰ μὲν ἐλάττω, καὶ ἐν τῇ παρ' ἡμῖν, τὰ δὲ μείζω, περὶ τὴν ἐρυθράν· ἔνια δὲ, ὥσπερεὶ *κάθυγρα καὶ *ἔλεια, καθάπερ Ἰτέα καὶ Πλάτανος· τὰ δὲ οὐκ ἐν ὕδατι δυνάμενα [g] ζῆν, ἀλλὰ διώκοντα τοὺς ξηροὺς τόπους. τῶν δὲ ἐλαττόνων, ἔστιν ἃ καὶ τοὺς αἰγιαλοὺς [διώκουσι], οὐ μὴν ἀλλὰ καὶ τούτων, εἴ τις ἀκριβολογεῖσθαι θέλει, τὰ μὲν ἂν εὕρῃ κοινὰ, καὶ ὥσπερ ἀμφίβια, καθάπερ Μυρίνην, Ἰτέαν, Κλῆθραν· τὰ δὲ καὶ τῶν ὁμολογουμένων χερσαίων, πεφυκότα [εὕρῃ ἂν] ποτὲ ἐν τῇ θαλάττῃ βιοῦν· [h] οἷον Σκίλλαν, Ἀνθέρικον· καὶ ἀλλὰ τὰ τοιαῦτα πάντα· καὶ ὅλως τὸ ἄνω σκοπεῖν, οὐκ οἰκείως ἐστὶ σκοπεῖν· οὐδὲ γὰρ οὐδ' ἡ φύσις οὕτως, οὐδὲ ἐν τοῖς τοιούτοις ἔχει τὸ ἀναγκαῖον. τὰς μὲν οὖν διαιρέσεις, καὶ ὅλως τὴν ἱστορίαν τῶν φυτῶν οὕτω ληπτέον· ἅπαντα δ' οὖν καὶ ταῦτα καὶ τἄλλα διοίσει, καθάπερ εἴρηται, ταῖς τε τῶν ὅλων μορφαῖς, καὶ ταῖς τῶν μορίων διαφοραῖς· ἢ τῷ [τὰ μὲν] ἔχειν, τὰ δὲ μὴ ἔχειν· ἢ τῷ [τὰ μὲν] πλείω, τὰ δὲ ἐλάττω· ἢ τῷ [τὰ μὲν] ἀνομοίως· ἢ ὅσοι τρόποι διήρηνται πρότερον.

[f] δύναται μὴ ἐν ὑγρῷ ζῆν. Ald. Bod. [g] ζῆν ἐν τούτοις, ἀλλὰ Bod. [h] οἷον Φοίνικα, Σκίλλαν, Bod.

οἰκεῖον δὲ ἴσως καὶ τοὺς τόπους συμπαραλαμβάνειν, ἐν οἷς ἕκαστα πέφυκεν, ἢ μὴ πέφυκε γίνεσθαι, μεγάλη γὰρ καὶ αὕτη διαφορὰ, καὶ οὐχ' ἥκιστα οἰκεῖα τῶν φυτῶν, διὰ τὸ συνηρτῆσθαι τῇ γῇ, καὶ μὴ ἀπολελύσθαι, καθάπερ τὰ ζῶα.

CAP. VII.

Differentia Plantarum. Habitus. Caudex. Cortex. Lignum.

ΠΕΙΡΑΤΕΟΝ δὲ εἰπεῖν τὰς κατὰ μέρος διαφοράς· ὡς ἂν καθόλου λέγοντας πρῶτον καὶ κοινῶς· εἶτα καθ' ἕκαστον· ὕστερον ἐπὶ πλεῖον ὥσπερ ἀναθεωροῦντας. ἔστι δὴ τὰ μὲν *ὀρθοφυῆ καὶ μακροστελέχη, καθάπερ Ἐλάτη, Πεύκη, Κυπάριττος· τὰ δὲ σκολιώτερα καὶ βραχυστελέχη, οἷον Ἰτέα, Συκῆ, Ῥοιά· καὶ κατὰ πάχος δὲ καὶ λεπτότητα ὁμοίως. καὶ πάλιν τὰ μὲν, μονοστελέχη· τὰ δὲ, πολυστελέχη· τοῦτο δὲ αὐτὸ τρόπον τινὰ καὶ τῷ *παραβλαστικὰ ἢ *ἀπαράβλαστα εἶναι· καὶ πολυκλαδῆ καὶ ὀλιγόκλαδα, καθάπερ ἡ Φοῖνιξ· καὶ ἐν αὐτοῖς τούτοις ἐστὶ κατὰ τὴν ἰσχὺν ἢ πάχος, ἢ τὰ τοιαῦτα, διαφορά. πάλιν τὰ μὲν λεπτόφλοια, καθάπερ Δάφνη, Φίλυρα· τὰ δὲ παχύφλοια, καθάπερ Δρῦς· ἔτι τὰ μὲν λειόφλοια, καθάπερ Μηλέα, Συκῆ· τὰ δὲ τραχύφλοια, καθάπερ Ἀγρία Δρῦς, Φελλὸς, Φοῖνιξ· ταῦτα δὲ, νέα μὲν ὄντα λειοφλοιότερα, ἀπογηράσκοντα δὲ, τραχυφλοιότερα. ἔνια δὲ καὶ [e] *ῥηξιφλοία, καθάπερ Ἄμπελος. τὰ δὲ, καὶ ὡς περιπίπτειν· οἷον [f] Ἀνδράχνη, Μηλέα, Κόμαρος. ἔστι δὲ καὶ τῶν μὲν σαρκώδης ὁ φλοιὸς, οἷον Φελλόδρυὸς, Αἰγείρου· τῶν δὲ, ἰνώδης καὶ ἄσαρκος, ὁμοίως δένδρων, καὶ

[e] ῥιζοφλοία, Ald.

[f] Ἀδράχνη, Ald.

θάμνων, καὶ ἐπετείων, οἷον, Ἀμπέλου, Καλάμου, Πυροῦ. καὶ τῶν μὲν *πολύλλοπος, οἷον Φιλύρας, Ἐλάτης, Ἀμπέλου, Λινοσπάρτου, Κρομμύων· τῶν δὲ *μονόλοπος, οἷον Συκῆς, Καλάμου, Αἴρας· κατὰ μὲν δὴ τοὺς φλοιοὺς ἐν τούτοις αἱ διαφοραί. τῶν δὲ ξύλων αὐτῶν, καὶ ὅλως τῶν καυλῶν, οἱ μέν εἰσι σαρκώδεις, οἷον Δρυὸς, Συκῆς· καὶ τῶν ἐλατίνων, [g] Λαπάθου, Τεύτλου, Κωνείου· οἱ δὲ ἄσαρκοι, καθάπερ Κέδρου, Λωτοῦ, Κυπαρίττου· καὶ οἱ μὲν, ἰνώδεις· (τὰ μὲν γὰρ τῆς Ἐλάτης καὶ τοῦ Φοίνικος ξύλα τοιαῦτα·) τὰ δὲ μανὰ, καθάπερ τῆς Συκῆς· ὡσαύτως δὲ καὶ τὰ μὲν *φλεβώδη, τὰ δὲ *ἄφλεβα. περὶ δὲ τὰ φρυγανικὰ καὶ θαμνώδη καὶ ὅλως τὰ *κλήματα, καὶ ἄλλας τις ἂν λάβοι διαφοράς· ὁ μὲν γὰρ Κάλαμος, *γονατώδης· ὁ δὲ Βάτος καὶ ὁ Παλίουρος, ἀκανθώδη. ἡ δὲ Τύφη, καὶ ἔνια τῶν ἐλείων ἢ λιμναίων ὁμοίως, *ἀδιάφρακτα καὶ *ὁμαλῆ, καθάπερ Σχοῖνος· ὁ δὲ τοῦ Κυπείρου καὶ Βουτόμου καυλὸς ὁμαλότητά τινα ἔχει παρὰ τούτους. ἔτι δὲ μᾶλλον ἴσως ὁ τοῦ Μύκητος. αὐταὶ μὲν δὴ δόξαιεν ἂν [εἶναι διάφοραι] ἐξ ὧν ἡ σύνθεσις. [h] ἔτι δὲ κατὰ τὰ *πάθη καὶ τὰς *δυνάμεις, οἷον μαλακότης, σκληρότης· χραυρότης, γλιχρότης· μανότης, κουφότης· βαρύτης, καὶ ὅσα ἄλλα τοιαῦτα· [i] τὰ μὲν γὰρ Ἰτέας [ξύλα] αὐανθέντα μόνον κεφῇ, ὥσπερ Φελλοῦ· τὰ δὲ Πύξου καὶ Ἔβενου οὐδ' αὐανθέντα. καὶ τὰ μὲν σχιστὰ, καθάπερ τὰ τῆς Ἐλάτης. τὰ δὲ *ἄθραυστα μᾶλλον, οἷον τὰ τῆς Ἐλαίας. καὶ τὰ μὲν *λοξὰ, οἷον τὰ τῆς Ἀκτῆς· τὰ δὲ ὀζώδη, οἷον

[g] Βαλάνου, Ald. [h] ἡ δὲ Bod. [i] ἡ μὲν Ἰτέα αὐανθεῖσα μόνον κουφῇ, ὡς καὶ Φελλός· ἡ δὲ Πύξος καὶ ἡ Ἔβενος, οὐ δὲ αὐανθέντα. Bod.

τὰ τῆς Πεύκης καὶ Ἐλάτης. δεῖ δὲ καὶ τὰς τοιαύτας ὑπολαμβάνειν τῆς φύσεως [διαφορὰς], εὔσχιστον μὲν γὰρ ἡ Ἐλάτη [i][διὰ τὸ] *εὐθυπορεῖν· ἄθραυστον δὲ ἡ Ἐλαία, διὰ τὸ σκολιὸν καὶ σκληρόν. εὔκαμπτον δὲ ἡ Φίλυρα, καὶ ὅσα ἄλλα, [k]διὰ τὸ γλίσχρον ἔχειν τὴν ὑγρότητα. βαρὺ δὲ, ἡ μὲν Πύξος καὶ ἡ Ἔβενος, ὅτι πυκνά· ἡ δὲ Δρῦς, ὅτι γεῶδες. ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα πρὸς τὴν φύσιν πῶς ἀνάγεται.

CAP. VIII.

Differentiæ Medullarum, Discrimina Radicum.

ΔΙΑΦΕΡΟΥΣΙ δὲ καὶ ταῖς *μήτραις· πρῶτον μὲν εἰ ἔνια ἔχει ἢ μὴ ἔχει, καθάπερ τινές φασιν ἀλλά τε, καὶ τὴν Ἀκτήν· ἔτι καὶ ἐν αὐτοῖς τοῖς ἔχουσι, τῶν μέν ἐστι *σαρκώδης, τῶν δὲ *ξυλώδης, τῶν δὲ *ὑμενώδης. σαρκώδης μὲν, οἷον Ἀμπέλα, Συκῆς, Μηλέας, Ῥοιᾶς, Ἀκτῆς, Νάρθηκος· ξυλώδης δὲ, οἷον Πίτυος, Ἐλάτης, Πεύκης· καὶ μάλιστα ταύτης διὰ τὸ *ἔνδαδος εἶναι· τούτων δὲ ἔτι σκληρότεραι καὶ πυκνότεραι, Κρανίας, Πρίνα, Δρυὸς, Κυτίσου, Συκαμίνων, Ἔβενου, Λωτοῦ. διαφέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι· *μέλαιναι γὰρ δὴ πᾶσαι, καὶ ἡ δὲ τῆς Δρυὸς, ἣν καλοῦσι *μελάνδρυον. ἅπασαι δὲ σκληρότεραι αἱ μήτραι τῶν ξύλων, διὸ καὶ ὑπομένουσι καμπήν· μανότεραι μὲν αἱ μέν· αἱ δὲ ὑμενώδεις ἐν μὲν τοῖς δένδροις οὐκ εἰσὶν, ἢ σπάνιαι· ἐν δὲ τοῖς θαμνώδεσι, καὶ ὅλως τοῖς ὑλήμασιν, οἷον Καλάμῳ τε καὶ Νάρθηκι, καὶ τοῖς τοιούτοις, εἰσίν. ἔχει δὲ τὴν μήτραν, τὰ μὲν μεγάλην καὶ

[i] τῷ εὐθυποριῖ. Ald. Bod. [k] διὰ τὸ σκληρὸν ἔχειν ὑγρότητα. Bod.

φανεραν, ὡς Πρίνος, Δρῦς, καὶ τὰ ἄλλα τὰ προειρημένα· τὰ δὲ, ἀφανεςέραν, οἷον, Ἐλαία, Πύξος· οὐ γάρ ἐστιν ἀφορισμένην οὕτω λαβεῖν· ἀλλὰ καὶ φασί τινες ὅ κατὰ τὸ μέσον, ἀλλὰ κατὰ τὸ πᾶν ἔχειν, ὥςε μὴ εἶναι τόπον ὡρισμένον. διὸ καὶ ἔνια οὐ δ' ἂν [l] δόξειεν ὅλως ἔχειν· ἐπεὶ καὶ τοῦ Φοίνικος οὐδεμία φαίνεται διαφορὰ κατ' οὐδέν. διαφέρουσι δὲ καὶ ταῖς ῥίζαις· τὰ μὲν γὰρ πολύῤῥιζα καὶ [m] ἀκρόῤῥιζα, καθάπερ Συκῆ, Δρῦς, Πλάτανος· ἐὰν γὰρ ἔχωσι τόπον, ἐφ' ὁσονοῦν [n] προέρχονται. τὰ δὲ ὀλιγόῤῥιζα, καθάπερ [o] Ἐλάτη, Ῥοιὰ, Μηλέα· τὰ δὲ μονόῤῥιζα, καθάπερ Ἐλάτη, Πεύκη· μονόῤῥιζα οὕτως, ὅτι μίαν μεγάλην τὴν εἰς βάθος ἔχει, μικρὰς δὲ ἀπὸ ταύτης πλείους. ἔχουσι δὲ καὶ τῶν [p] μονοῤῥίζων ἔνια τὴν ἐκ τοῦ μέσου μεγίστην καὶ κατὰ βάθος, ὥσπερ [q] ἡ Ἀμυγδαλή· Ἐλαία δὲ μικρὰν ταύτην, τάς τε ἄλλας μείζους καὶ ὡς *κεκαρκινωμένας. ἔτι δὲ τῶν μὲν, παχεῖαν μᾶλλον, τῶν δὲ, ἀνωμαλεῖς, καθάπερ Δάφνης, Ἐλαίας. τῶν δὲ, πᾶσαν λεπτὰν, καθάπερ Ἀμπέλου. διαφέρουσι δὲ καὶ λειότητι καὶ τραχύτητι καὶ πυκνότητι· πάντων γὰρ αἱ [κάτω] ῥίζαι μανώτεραι τῶν ἄνω· πυκνότεραι δὲ ἄλλαι ἄλλων καὶ ξυλωδέστεραι· καὶ αἱ μὲν ἰνώδεις, ὡς αἱ τῆς Ἐλάτης· αἱ δὲ σαρκώδεις μᾶλλον, ὥσπερ αἱ τῆς Δρύος· αἱ δὲ οἷον ὀζώδεις καὶ *θυσανώδεις· ὥσπερ αἱ τῆς Ἐλαίας. τοῦτο δὲ, ὅτι λεπτὰς καὶ μικρὰς πολλὰς ἔχουσι καὶ ἀθρόας, ἐπεὶ πᾶσαν γε καὶ ταύτας ἀποφύσιν ἀπὸ τῶν μεγάλων, ἀλλ' οὐχ' ὁμοίως ἀθρόας καὶ πολλάς. ἔστι δὲ καὶ τὰ μὲν βαθύῤῥιζα, καθάπερ Δρῦς· τὰ δὲ

l δόξειν Bod. m μακρόῤῥιζα, Const. n προέσχονται. Bas.
o Ἐλαία, Const. p πολυῤῥίζων Const. q Ἀμυγδαλαί· Bas.

*ἐπιπολαιόῤῥιζα, καθάπερ Ἐλαία, [y] Ῥοία, Μηλέα, Κυπάρισσος· [ἔτι] δὲ αἱ μὲν εὐθεῖαι καὶ ὁμαλεῖς, αἱ δὲ σκολιαὶ καὶ *παραλλάττουσαι. (τοῦτο γὰρ οὐ μόνον συμβαίνει διὰ τοὺς τόπους, τῷ μὴ *εὐοδεῖν, ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς ἐστιν, ὥσπερ καὶ [z] τῆς Δάφνης καὶ τῆς Ἐλαίας.) ἡ δὲ Συκῆ, καὶ τὰ τοιαῦτα, *σκολιοῦται, διὰ τὸ μὴ εὐοδεῖν. ἅπασαι δὲ [a] *ἔμμητροι, καθάπερ καὶ τὰ στελέχη καὶ οἱ ἀκρέμονες, καὶ εὔλογον ἀπὸ τῆς *ἀρχῆς. εἰσὶ δὲ καὶ αἱ μὲν, [b] *παραβλαστικαὶ καθάπερ [c] Ἀμπέλου, Ῥοιάς· αἱ δὲ ἀπαράβλαστοι, καθάπερ Ἐλάτης, Κυπαρίττου, Πεύκης. αἱ αὐταὶ δὲ διαφοραὶ καὶ τῶν φρυγανικῶν καὶ τῶν πωδῶν, καὶ τῶν ἄλλων· πλὴν εἰ ὅλως ἔνια μὴ ἔχει [ῥίζαν], καθάπερ Ὕδνον, Μύκης, [d] Πόξος, Κράνιον. [καὶ] τὰ μὲν πολύῤῥιζα, καθάπερ Πυρὸς, Τίφη, Κριθῆ, πᾶν τὸ τοιοῦτον, καθάπερ [e] εἰκάζουσιν· τὰ δὲ ὀλιγόῤῥιζα, καθάπερ τὰ χέδροπα. χεδὸν δὲ καὶ τῶν λαχανωδῶν τὰ πλεῖστα μονόῤῥιζα, οἷον [f] Ῥάφανος, Τεῦτλον, [g] Σέλινον, Λάπαθος. πλὴν ἔνια καὶ *ἐπιφυάδας ἔχει μεγάλας, οἷον τὸ Σέλινον, καὶ τὸ Τεῦτλον· καὶ ὡς ἂν κατὰ λόγον, ταῦτα βαθυῤῥιζότερα [ἐστὶ] τῶν δένδρων. εἰσὶ δὲ τῶν μὲν [αἱ ῥίζαι] σαρκώδεις, καθάπερ Ῥαφανίδος, Γογγυλίδος, Ἄρου, Κρόκου. τῶν δὲ, ξυλώδεις, οἷον Εὐζώμου, Ὠκύμου, καὶ τῶν ἀγρίων δὲ τῶν πλείστων, [h] ὅσοις μὴ εὐθεῖαι εἰσὶν αἱ ῥίζαι, ἀλλὰ πλείους καὶ σχιζόμεναι, καθάπερ Πυρῶ, Κριθῆς, καὶ τῆς καλουμένης Πόας·

[y] Ῥοὰ, Const. [z] ἐπὶ τῆς Δ. Const. [a] ἔμμιτροι, Bod. [b] παραβλαστικαὶ εἰς τὸ ἄνω, Bod. [c] Ἄμπελος, Ῥοά. Bod. [d] Πίζις, Κεραύνιον. Const. [e] εἰκαζούσαν· Ald. Bas. εἰκαζούσαις· Const. [f] Ῥάφανις, Bod. [g] Σίλον, Bod. Σίλινον, Μαλάχη Λάπαθος. Const. [h] ὅσοι Bod. ὅσω Bas.

αὕτη γὰρ ἐν τοῖς ἐπετείοις καὶ ἐν τοῖς πολύδεσιν ἡ διαφορὰ τῶν ῥιζῶν· ὥς τε τὰς μὲν εὐθὺς ῥίζεσθαι, πλείους οὔσας καὶ ὁμαλεῖς, τῶν δὲ ἄλλων μίαν ἢ δύο τὰς μεγίστας [εἶναι]· ἄλλας δὲ ἀπὸ τούτων.

CAP. IX.

Radices bulbosæ; Scillæ, Cepæ, Ari, Cyperi, &c.

Ὅλως δὲ πλείους αἱ διαφοραὶ τῶν ῥιζῶν ἐν τοῖς *ὑλήμασι καὶ *λαχανώδεσιν. εἰσὶ γὰρ αἱ μὲν [i]ξυλώδεις, ὥσπερ αἱ τοῦ Ὠκύμου· αἱ δὲ σαρκώδεις, ὥσπερ αἱ τοῦ Τεύτλου, καὶ ἔτι δὴ μᾶλλον τοῦ Ἄρου καὶ Ἀσφοδέλου, καὶ Κρόκου· αἱ δὲ ὥσπερ ἐκ φλοιοῦ καὶ σαρκὸς, ὥσπερ αἱ τῶν Ῥαφανίδων καὶ Γογγυλίδων· αἱ δὲ, *γονατώδεις, ὥσπερ αἱ τῶν Καλάμων καὶ Ἀγρώστεων, καὶ εἴ τι καλαμῶδες. καὶ μόναι δὴ αὗται, ἢ μάλιθ', ὅμοιαι τοῖς ὑπὲρ γῆς· ὥσπερ γὰρ Καλαμοὶ, εἰσὶν ἐρριζομένοι ταῖς λεπταῖς· αἱ δὲ, *λεπυρώδεις, ἢ φλοιώδεις, οἷον [k]αἵ τε τῆς [l]Σκίλλης καὶ τοῦ Βολβοῦ, καὶ ἔτι Κρομμύου καὶ τῶν τούτοις ὁμοίων, ἀεὶ γάρ ἐστι περιαιρεῖν αὐτῶν. πάντα δὲ τὰ τοιαῦτα δοκεῖ καθάπερ δύο γένη ῥιζῶν ἔχειν· [m]καὶ ὅλως τὰ *κεφαλοβαρῆ, καὶ *κατάῤῥιζα· τήν τε σαρκώδη ταύτην καὶ φλοιώδη, καθάπερ ἡ Σκίλλα, καὶ [n]τὰς ἀπὸ ταύτης ἀποπεφυκυίας· οὐ γὰρ λεπτότητι καὶ παχύτητι διαφέρουσι μόνον, ὥσπερ αἱ τῶν δένδρων καὶ τῶν λαχάνων, [o]ἀλλ' ἀλλοῖον ἔχουσι τὸ γένος· ἐκφανεςάτη δὲ ἤδη ἥ τε τοῦ Ἄρου καὶ ἡ τοῦ Κυπείρου· ἡ μὲν γὰρ παχεῖα καὶ λεία καὶ σαρκώδης, ἡ δὲ λεπτὴ καὶ ἰνώδης.

[i] Λαχανώδεις. Ald. Bas. [k] οἵ τε Bod. [l] Σκύλλης. Ald. [m] τοῖς δὲ καὶ ὅλως Bas. [n] τῆς Bod. [o] ἀλλοῖον ἔχουσαι Bod. ἀλλὰ λεῖον Ald.

διόπερ ἀπορήσειεν ἄν τις, εἰ ῥίζας τὰς τοιαύτας θετέον. ἡ μὲν γὰρ κατὰ γῆς δόξειεν ἂν, ἡ δὲ ὑπεναντίως ἔχουσα ταῖς ἄλλαις, οὐκ ἂν δόξειεν. ἡ μὲν γὰρ ῥίζα λεπτότερα πρὸς τὸ πόῤῥω, καὶ ἀεὶ * σύνοξυς· αἱ δὲ τῶν Σκιλλῶν, καὶ τῶν Βολβῶν, καὶ τῶν Ἄρων, ἀνάπαλιν. ἔτι δὲ αἱ μὲν ἄλλαι κατὰ τὸ πλάγιον ἀφιᾶσι ῥίζας, αἱ δὲ τῶν Σκιλλῶν καὶ τῶν Βολβῶν οὐκ ἀφιᾶσιν· οὐδὲ τῶν Σκορόδων καὶ τῶν Κρομμύων. ὅλως δέ γε ἐν ταύταις αἱ κατὰ μέσον ἐκ τῆς * κεφαλῆς ἠρτημέναι φαίνονται ῥίζαι καὶ τρέφονται. τοῦτο δὲ ὥσπερ * κύημα ἢ καρπὸς, [p] ὅθεν καὶ ἔνιοι * ὅσσον λέγουσι, οὐ κακῶς. ἐπεὶ δὲ πλεῖοι ἡ * φύσις ἢ κατὰ ῥίζαν, ταῦτ' ἀπορίαν ἔχει· τὸ γὰρ δὴ πᾶν λέγειν τὸ κατὰ τὴν [γῆν,] ῥίζαν, οὐκ ὀρθόν· καὶ γὰρ ὁ [q] ἀνάκαυλος τοῦ Βολβοῦ καὶ ὁ τοῦ Γηθύου, καὶ ὅλως ὅσα κατὰ βάθος ἐστὶν, [r] εἴησαν ἂν ῥίζαι. καὶ τὸ Ὕδνον δὲ, ὁ καλοῦσί τινες Ἀχίον, καὶ τὸ Οὔϊγγον, καὶ εἴ τι ἄλλο ὑπόγειόν ἐστιν, ᾧ οὐδέν ἐστι ῥίζα· δυνάμει γὰρ δεῖ φυσικῇ διαιρεῖν καὶ οὐ τόπῳ· τάχα δὲ τοῦτο μὲν ὀρθῶς λέγεται, ῥίζα δὲ οὐδὲν ἧττόν ἐστιν, ἀλλὰ διαφορά τις αὕτη τῶν ῥιζῶν, ὥστε τὴν μέν τινα [s] τοιαύτην εἶναι, τὴν δὲ, τοιαύτην, καὶ τρέφεσθαι τὴν ἑτέραν ὑπὸ [t] τῆς ἑτέρας. καί τοι καὶ αὐταὶ καὶ αὐτῶν, αἱ σαρκώδεις, ἐοίκασιν * ἕλκειν. τὰς γοῦν τῶν Ἀρῶν πρὸ τοῦ βλαστάνειν στρέφουσι, καὶ γίνονται μείζους κωλυόμεναι [u] διϊέναι τὴν βλάστησιν, ἐπεὶ πάντων τῶν τοιούτων [x] ἡ φύσις ἐπὶ τὸ κάτω μᾶλλον ῥεπεῖν φανερόν· οἱ μὲν γὰρ καυλοὶ, καὶ ὅλως τὰ ἄνω, βραχέα καὶ

[p] ὅθεν καὶ ἔνιοι ὅσσον λέγουσι, οὐ κακῶς omittunt Ald. et Bod. [q] ἂν ὁ καυλὸς Bod. [r] εἴησαν ἄῤῥιζα. Bod. αἱ ῥίζαι. Ald. Bas. [s] τοσαύτην Bod. [t] τῶν Bod. [u] διϊέναι πρὸς τὴν Bod. [x] ἡ φύσις· καὶ τὸ κάτωγε μᾶλλον ῥίπτει, φανερόν. Bod.

ἀσθενῆ, τὰ δὲ κάτω μεγάλα καὶ πολλὰ καὶ ἰσχυρὰ, οὐ μόνον ἐπὶ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐπὶ Καλάμου καὶ Ἀγρώστιδος, καὶ ὅλως ὅσα καλαμώδη καὶ τούτοις ὅμοια.

CAP. X.

Radices Croci, Laserpitii, et Plantarum quarundam in Ægypto.

Ὅσα δὴ * ναρθηκώδη, καὶ τούτων ῥίζαι μεγάλαι καὶ σαρκώδεις· πολλὰ δὲ καὶ τῶν [y] ποωδῶν ἔχει τοιαύτας ῥίζας, οἷον, [z] Ἀσπάλαξ, Κρόκος, καὶ τὸ Περδίκιον καλούμενον· καὶ γὰρ τοῦτο παχείας τε καὶ πλείους ἔχει τὰς ῥίζας, ἢ φύλλα. καλεῖται δὲ Περδίκιον, διὰ τὸ τοὺς Πέρδικας ἐγκυλίεσθαι [ἐν αὐτῷ] καὶ ὀρύττειν· ὁμοίως δέ καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον [a] Οὔιγγον. τὰ μὲν γὰρ [b] φύλλα μὴ μεγάλα, καὶ ὁ βλαστὸς αὐτοῦ, βραχὺς, ἡ δὲ ῥίζα, μακρὰ, καὶ ἔστιν ὥσπερ καρπὸς· * διαφέρει τε καὶ ἐδίεται, καὶ συλλέγουσι δὲ, ὅταν ὁ ποταμὸς ἀποβῇ, στέφοντες βωμούς. φανερώτατα δὲ καὶ πλείστην ἔχοντα πρὸς τὰ ἄλλα διαφορὰν, τὸ Σίλφιον, καὶ ἡ καλουμένη Μαγύδαρις· ἀμφοτέρων γὰρ τούτων, καὶ ἁπάντων τῶν τοιούτων, ταῖς ῥίζαις μᾶλλον ἡ φύσις. ταῦτα μὲν οὖν ταύτῃ ληπτέα· ἔνιαι δὲ τῶν ῥιζῶν, πλείω δόξαιεν ἂν ἔχειν διαφορὰς παρὰ τὰς εἰρημένας, οἷον αἵτε τῆς Ἀραχίδνης, καὶ τοῖς ὁμοίοις τῷ Ἀράκῳ· φέρουσι γὰρ ἀμφότεραι καρπὸν [κάτω] ἐκ ἐλάττω [c] τῶν ἄνω· καὶ μίαν μὲν ῥίζαν, τὸ σαρκῶδες τοῦτο, παχεῖαν ἔχει, τὴν κατὰ [d] βάθος, τὰς δὲ ἄλλας, ἐφ' ὧν ὁ καρπὸς, λεπτοτέρας, καὶ ἐπ'

[y] ποδῶν Ald. [z] Σπάλαξ, Ald. [a] Οὔιπον. Ald. Οὔιτον. Hes. Ath. Plin. [b] φύλλα μιγάλα, Bod. [c] τοῦ ἄνω, Bod. [d] βάθυς, Ald.

ἄκρῳ χιζομένας πολλαχῆ· φιλεῖ δὲ μάλιϛα χωρία τὰ ὕφαμμα· [c] φύλλα δὲ οὐδέτερον ἔχει τούτων, οὐδ' ὅμοια τοῖς φύλλοις, ἀλλ' ὥσπερ *ἀμφίκαρπα μᾶλλόν ἐϛιν, καὶ φαίνεται θαυμάσιον. αἱ μὲν οὖν *φύσεις καὶ αἱ *δυνάμεις τοσαύτας ἔχουσι διαφοράς. αὐξάνεθαι δὲ πάντων δοκοῦσιν αἱ ῥίζαι πρότερον τῶν [d] ἄνω· εἰς βάθος [e] δὲ οὐδεμία καθήκει πλέον, ἢ ὅσον ὁ ἥλιος ἐφικνεῖται· τὸ γὰρ θερμὸν, τὸ γεννῶν· οὐ μὴν ἀλλὰ ταῦτα μεγάλα συμβάλλεται πρὸς βαθυῤῥιζίαν, καὶ ἔτι μᾶλλον πρὸς μακροῤῥιζίαν, ἡ τῆς χώρας φύσις, ἐὰν ᾖ κούφη καὶ *μανὴ καὶ *εὐδίοδος, ἐν γὰρ ταῖς τοιαύταις, πόῤῥωτέρω, καὶ μείζας αἱ αὐξήσεις. φανερὸν δὲ καὶ [f] ἐπὶ τῶν ἡμερωτάτων, [g] ἔχουσι γὰρ ὕδωρ ὁπουοῦν δίεισιν, ὡς εἰπεῖν, ἐὰν ὁ τόπος ᾖ κενὸς καὶ μηδὲν τὸ ἀντιϛατοῦν, καθάπερ [h] ἐπὶ φρέατος ἢ *ὀχετοῦ τινός. ἥ γε ἓν ἐν τῷ Λυκείῳ ἡ Πλάτανος, ἡ κατὰ τὸν ὀχετὸν, ἔτι νέα οὖσα περὶ τρεῖς καὶ τριάκοντα πήχεις ἀφῆκεν [ῥίζας], ἔχεσα τόπον τε ἅμα καὶ τροφήν. δόξειε δὲ, ὡς εἰπεῖν, ἡ Συκῆ μακροῤῥιζότατον εἶναι· καὶ ὅλως δὲ μᾶλλον τὰ μανὰ καὶ εὐθύῤῥιζα· πάντα δὲ τὰ νεώτερα τῶν παλαιῶν, ἐὰν εἰς ἀκμὴν ἥκωσιν, ἤδη βαθυῤῥιζότερα καὶ μακροῤῥιζότερα. [i] συμφώνεσι γὰρ καὶ αἱ ῥίζαι τῷ ἄλλῳ *σώματι. πάντων δὲ ὁμοίως [τῶν ῥίζων] οἱ χυλοὶ [k] τοῖς τοῦ φυτοῦ δειγότεροι, τοῖς δὲ, ὡς ἐπίπαν [διάφοροι]. διὸ καὶ ἐνίων πικροὶ, ὧν οἱ καρποὶ γλυκεῖς, ἔνιοι δὲ [l] εὐώδεις. ὥσπερ οἱ τῆς [m] Ἴριδος. Ἰδία δὲ ῥίζης φύσις καὶ δύναμις

[c] φύλλον Ald. Bod. [d] ἄνω· καὶ φύεσθαι εἰς Bod. [e] δὲ deest Ald. [f] ἐπὶ deest Bod. [g] ἔχεσα Bod. ἔχοντα Ald. [h] ἐπὶ deest Bod. [i] συμφθίνουσι Ald. Bod. [k] τοῖς φυτοις Bod. [l] θυώδεις. Const. [m] Ἴριος. Bod.

[n] τῆς Ἰνδικῆς Συκῆς· ἀπὸ γὰρ τῶν βλαστῶν ἀφίησι, μέχρις οὗ ἂν συνάψῃ τῇ γῇ καὶ ῥιζωθῇ· καὶ γίνεται περὶ τὸ δένδρον κύκλῳ συνεχές [τι] τῶν ῥιζῶν, οὐχ' ἁπτόμενον τοῦ στελέχους, ἀλλὰ ἀφεστηκός. παραπλήσιον δὲ τούτῳ, μᾶλλον δὲ τρόπον τινὰ θαυμασιώτερον, εἴ τις ἐκ τῶν φύλλων ἀφίησι ῥίζαν, οἷόν φασι περὶ Ὀποῦντα πωάριον εἶναι, ὃ καὶ ἐνθένδε ἐστὶν ἡδύ· τὸ γὰρ αὖ τῶν Θέρμων θαυμαστὸν ἧττον, ὅτι ἂν ἐν ὕλῃ βαθείᾳ σπαρῇ, διαίρει τὴν ῥίζαν πρὸς τὴν γῆν, καὶ βλαστάνει διὰ τὴν ἰσχύν. ἄλλας δὴ τὰς μὲν τῶν ῥιζῶν διαφορὰς ἐκ τούτων θεωρητέον.

CAP. XI.

Ramorum Differentiæ; Nodi &c. in Truncis.

ΤΩΝ δένδρων δὲ καὶ τοιαύτας ἄν τις λάβοι διαφοράς· ἔστι γὰρ τὰ μὲν ὀζώδη, τὰ δὲ ἄνοζα καὶ φύσει καὶ τόπῳ, καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον. ἄνοζα δὲ λέγω, οὐχ' ὥστε μὴ ἔχειν ὅλως· οὐδὲν γάρ, τοιοῦτο [o] φύτον· ἀλλ' εἴπερ ἧττον ἄλλων, οἷον, Σχοῖνος, [p] Τύφη, Κύπειρος, καὶ ὅλως εἴ τί ἔτι τῶν λιμνωδῶν, ὥστε ὀλίγους ἔχειν φύσει μὲν, οἷον Ἀκτὴ, Δάφνη καὶ Συκῆ, καὶ ὅλως πάντα τὰ λειόφλοια, καὶ ὅσα κοῖλα καὶ μανά. [q] ὀζώδεις δὲ, Ἐλαία, Πεύκη, Κότινος· τούτων δὲ τὰ μὲν, ἐν παλισκίοις, καὶ νηνέμοις, καὶ ἐφύδροις, τὰ δὲ ἐν εὐηλίοις, καὶ χειμερίοις, καὶ [r] πνευματώδεσι, καὶ λεπτοῖς, καὶ ξηροῖς. τὰ μὲν γὰρ, ἀνοζώτερα, τὰ δὲ, ὀζωδέστερα τῶν ὁμογενῶν· ὅλως δὲ ὀζωδέστερα τὰ ὀρεινὰ τῶν πεδινῶν, καὶ τὰ ξηρὰ τῶν

[n] γῆς Bod. [o] δίνδρον· Ald. Bod. [p] Τίφη Bod.
[q] ὀζῶδις Bod. [r] πυγματώδεσι Ald. πηγματώδεσι Const.

[r] ἐλείων. ἔτι δὲ κατὰ τὴν φυτείαν τὰ μὲν πυκνὰ, ἄνοζα καὶ ὀρθά· τὰ δὲ μανὰ, ὀζωδέστερα καὶ σκολιώτερα· συμβαίνει γὰρ ὥστε τὰ μὲν ἐν παλισκίῳ εἶναι, τὰ δὲ ἐν εὐηλίῳ· καὶ τὰ *ἄῤῥενα δὲ τῶν *θηλειῶν ὀζωδέστερα· ἐν οἷς δ' ἐστὶν ἄμφω, οἷον, Κυπάριτλος, Ἐλάτη, [s]Ὀστρυὶς, Κρανία· καλοῦσι γὰρ γένος τὶ, [t]Θηλυκρανίαν· καὶ τὰ ἄγρια δὲ τῶν ἡμέρων· καὶ ἁπλῶς καὶ τὰ ὑπὸ τὸ αὐτὸ γένος· οἷον Κότινος, Ἐλαία· Ἐρινεὸς, Συκῆς· Ἀχρὰς, Ἀπίαι· πάντα γὰρ ταῦτα ὀζωδέστερα [τὰ ἄγρια]· καὶ, ὡς ἐπὶ τὸ πολὺ, πάντα τὰ *πυκνὰ τῶν *μανῶν· καὶ γὰρ τὰ ἄῤῥενα πυκνότερα, καὶ τὰ ἄγρια· πλὴν εἴ τι διὰ πυκνότητα παντελῶς ἄνοζον ἢ ὀλίγοζον, οἷον Πύξος, Λωτός. εἰσὶ δὲ τῶν μὲν ἄτακτοι, καὶ ὡς ἔτυχεν, οἱ ὄζοι· τῶν δὲ τεταγμένοι καὶ τῷ διαστήματι, καὶ τῷ πλήθει, καθάπερ εἴρηται· διὸ καὶ ἀξιολογώτατα ταῦτα καλοῦσι· τῶν μὲν γὰρ οἷον δι' ἴσου, τῶν δὲ μεῖζον ἀεὶ τὸ πρὸς τῷ πάχει, καὶ τοῦτο κατὰ λόγον, ὅπερ μάλιστα [u]ἔνδηλον ἐν τοῖς Καλάμοις· τὸ γὰρ γόνυ καθάπερ *ὄζος καὶ οἱ μὲν [x]κατάλληλοι ὥσπερ οἱ τῶν Κοτίνων, οἱ δὲ ὡς ἔτυχεν. ἔστι δὲ τὰ μὲν, *δίοζα, τὰ δὲ, *τρίοζα, τὰ δὲ, πλείους ἔχοντα· ἔνια δὲ πεντάοζά ἐστι· [ὡς] καὶ τῆς μὲν Ἐλάτης ὀρθοὶ καὶ οἱ ὄζοι, καὶ οἱ κλάδοι ὥσπερ ἐμπεπηγότες· τῶν δὲ ἄλλων, οὔ· διὸ καὶ ἰσχυρότατον, ἡ Ἐλάτη. ἰδιώτατοι δὲ οἱ τῆς Μηλέας· [y] (ὅμοιοι γὰρ θηρίων προσώποις, εἷς μὲν ὁ μέγιστος, ἄλλοι δὲ περὶ αὐτὸν μικροὶ πλείους.) εἰσὶ δὲ τῶν ὄζων οἱ μὲν, *τυφλοί· οἱ δὲ, γόνιμοι. λέγω δὲ τυφλοὺς, ἀφ' ὧν

[r] ἰλαίων Bod. [s] Ὄστρυς Bod. [t] Θηλυκράναν. Bod.
[u] ἔνδηλον καὶ ἐν τοῖς Κοτίνοις καὶ ἐν τοῖς Καλάμοις· Bod. [x] καταλλήλους Bod. [y] Vid. not. ad finem libri.

μηδὲς βλαστός. οὗτοι δὲ καὶ φύσει καὶ *πηρώσει γίνονται. [z]ἢ ὅταν κολουσθῇ, ἢ ἐκβιάζηται, ἢ καὶ ἀποκοπῇ, καὶ οἷον ἐπικαυθεὶς πηρωθῇ. γίνονται δὲ μᾶλλον ἐν τοῖς παχέσι τῶν ἀκρεμόνων· ἐνίων δὲ καὶ ἐν τοῖς στελέχεσιν· ὅλως δὲ καὶ [ἐπὶ] τοῦ στελέχους καὶ τοῦ κλάδου, καθὸ ἂν ἐπικόψῃ ἢ ἐπιτέμῃ τὶς, ὄζος γίνεται. καθάπερ ἂν εἰ διαιρῶν τὸ ἓν, καὶ ποιῶν ἑτέραν ἀρχήν· εἴτε διὰ τὴν πήρωσιν, εἴτε δι' ἄλλην αἰτίαν, οὐ γὰρ δὴ κατὰ φύσιν τὸ ὑπὸ τῆς πληγῆς· ἀεὶ δὲ ἐν ἅπασιν οἱ κλάδοι φαίνονται πολυοζότεροι διὰ τὸ μηδὲν ἀνὰ μέσον [a]προσκεῖθαι· καθάπερ δὲ τῆς Συκῆς οἱ νεόβλαστοι [b]βραχύτατοι· καὶ τῆς Ἀμπέλου τὰ ἄκρα τῶν κλημάτων. ὡς γὰρ ὁ ὄζος ἐν τοῖς ἄλλοις, οὕτω καὶ *ὀφθαλμὸς ἐν Ἀμπέλῳ, καὶ ἐν Καλάμῳ γόνυ. ἐν ἐνίοις δὲ καὶ, οἷον *κράδαι, γίνονται, καθάπερ ἐν Πτελέᾳ καὶ [c]Δρυὶ, καὶ μάλιστα ἐν Πλατάνῳ, ἐὰν δὲ ἐν παχέσι καὶ ἀνύδροις καὶ πνευματώδεσι· καὶ παντελῶς πάντων δὲ [οὐ] πρὸς τῇ γῇ ἀλλ' οἷον τῇ κεφαλῇ τοῦ στελέχους· ἀπογηράσκων δὲ [ἡ κράδη] παχύτερα γίνεται· ἔνια δὲ καὶ ἔχει τοὺς καλουμένους ὑπό τινων ἢ *γόγγρους, [d]ἤ τι ἀνάλογον· οἷον ἡ Ἐλαία· κυριώτατον γὰρ ἐπὶ ταύτης τοῦτο τοὔνομα, καὶ πάσχειν δοκεῖ μάλιστα τὸ εἰρημένον· καλοῦσι δὲ ἔνιοι τοῦτο, *πρέμνον· οἱ δὲ, *κροτώνην· οἱ δὲ ἄλλο ὄνομα. τοῖς δὲ εὐθέσι καὶ μονορρίζοις καὶ ἀπαραβλάστοις οὐ γίνεται [e]ταῦθ' ὅλως, ἢ ἧττον πολὺ ἢ τοῖς παραβλαστικοῖς. ἡ δὲ Ἐλαία καὶ ὁ Κότινος καὶ τὰς κοιλότητας ἰδίας ἔχουσι, τὰς ἐν τοῖς στελέχεσιν.

[z] ἢ ὅταν ἢ μὴ λυθῇ Bod. [a] προσκυζεῖσθαι Ald. [b] τραχύτατοι Bod. [c] Δρῦς Ald. [d] ἢ τὸ ἀνάλογον· Bod. [e] τοῦθ' ὅλως, ἢ ἧττον· φοῖνιξ δὲ Bod.

ἔστι δ' οὖν τὰ μὲν εἰς μῆκος αὐξητικὰ μάλιστ', [ἢ] μόνα, οἷον Ἐλάτη, Φοῖνιξ, Κυπάριττος, καὶ ὅλως τὰ μονοστελέχη, καὶ ὅσα μὴ πολύῤῥιζα μηδὲ πολύκλαδα· τὰ δὲ, ὁμοίως τούτοις ἀναλόγως καὶ εἰς βάθος· ἔνια δὲ εὐθὺς σχίζεται· οἷον, ἡ Μηλέα· τὰ δὲ πολύκλαδα καὶ μείζω τὸν *ὄγκον ἔχει τὸν ἄνω, καθάπερ Ῥοία· ὁ μὴν, ἀλλ' οὖν μέγιστά γε συμβάλλεται πρὸς ἕκαστον ἡ *ἀγωγὴ, καὶ ὁ τόπος, καὶ ἡ τροφή. σημεῖον δὲ, ὅτι ταῦτα πυκνὰ μὲν ὄντα, μακρὰ καὶ λεπτὰ γίνεται· μανὰ δὲ, παχύτερα καὶ βραχύτερα· καὶ ἐὰν μὲν εὐθύς τις ἀφείῃ τοὺς [e] ὄζους, [ὅλως] βραχέα· ἐὰν δὲ ἀνακαθαίρῃ, μακρά· καθάπερ ἡ Ἄμπελος. ἱκανὸν δὲ κἀκεῖνο πρὸς πίστιν, ὅτι καὶ τῶν λαχάνων ἔνια λαμβάνει δένδρου σχῆμα, καθάπερ εἴπομεν τὴν Μαλάχην, καὶ τὸν Τεῦτλον· ἅπαντα δὲ ἐν τοῖς οἰκείοις τόποις ἐξαύξει, καὶ τὸ αὐτὸ κάλλιστον· ἐπεὶ καὶ τῶν ὁμογενῶν ἀνοζότερα καὶ μείζω καὶ καλλίω τὰ ἐν τοῖς οἰκείοις, οἷον, Ἐλάτη ἡ Μακεδονικὴ, τῆς Παρνασίας, καὶ τῶν ἄλλων. ἅπαντα δὲ ταῦτα, καὶ ὅλως ἡ ὕλη ἡ ἀγρία καλλίων καὶ πλείων [f] ἐν τοῖς προσβορείοις τοῦ ὄρους, ἢ ἐν τοῖς πρὸς μεσημβρίαν.

CAP. XII.

Foliorum Differentiæ : semper virentia, decidua. Anomala quædam.

ΕΣΤΙ δὲ τὰ μὲν ἀείφυλλα· τὰ δὲ φυλλοβόλα· τῶν μὲν *ἡμέρων ἀείφυλλα [εἰσὶ] Ἐλαία, Φοῖνιξ, Δάφνη, Μύῤῥινος, Πεύκης τι γένος, Κυπάριττος· τῶν δὲ ἀγρίων, Ἐλάτη, Πεύκη, Ἄρκευθος, Σμίλαξ, Θύια, καὶ

e ὄρους, Ald. f τοῦ ὄρους ἐν τοῖς προσβορείοις Ald.

ἣν Ἀρκάδες καλοῦσι Φελλόδρυν, Φίλυρα, Κέδρος, Πίτυς, [g] Μυρίκη, Πύξος, Πρίνος ἀγρία, Κήλαστρον, Φιλύκη, Ἀφάρκη· (ταῦτα δὲ φύεται περὶ τὸν Ὄλυμπον·) [h] Ἀνδράχνη, Κόμαρος, Τέρμινθος, ἀγρία Δάφνη. δοκεῖ δὲ ἡ Ἀνδράχνη, καὶ ὁ [i] Κόμαρος τὰ μὲν κάτω φυλλοβολεῖν, τὰ δὲ ἔσχατα τῶν ἀκρεμόνων ἀείφυλλα ἔχειν, *ἐπιφύειν δὲ ἀεὶ τοὺς ἀκρέμονας. Τῶν μὲν οὖν δένδρων, ταῦτα· τῶν δὲ *θαμνωδῶν, Κιττὸς, Βάτος, Ῥάμνος, Κάλαμος, Κεδρίς· (ἔστι γάρ τι μικρὸν, ὃ οὐ δενδροῦται·) τῶν δὲ *φρυγανικῶν καὶ *ποαδῶν, Πήγανον, Ῥάφανος, Ῥοδωνιὰ, Ἰωνιὰ, Ἀβρότονον, Ἀμάρακον, Ἕρπολλος, Ὀρίγανον, Σέλινον, Ἱπποσέλινον, Μήκων, καὶ τῶν ἀγρίων εἴδη πλείω. διαμένει δὲ καὶ τούτων ἔνια τοῖς ἄκροις, τὰ δὲ ἄλλα ἀποβάλλει, οἷον, Ὀρίγανον, Σέλινον, [k] Ἱπποσέλινον. ἐπεὶ καὶ τὸ Πήγανον κακοῦται καὶ ἀλλάττεται. πάντα δὲ καὶ τῶν ἄλλων τὰ ἀείφυλλα, στενοφυλλότερα, καὶ [l] ἔχουσί τινα *λιπαρότητα καὶ εὐοδίαν. ἔνια δὲ, οὐκ ὄντα τῇ φύσει, παρὰ τὸν τόπον ἐστὶν ἀείφυλλα, καθάπερ ἐλέχθη περὶ τῶν ἐν Ἐλεφαντίνῃ καὶ Μέμφει· κατωτέρω δὲ ἐν τῷ Δέλτα μικρὸν πάνυ χρόνον διαλείπει [ἔνια] τοῦ μὴ ἀεὶ βλαστάνειν. ἐν Κρήτῃ δὲ λέγεται Πλάτανόν τινα εἶναι ἐν τῇ Γορτυναίᾳ πρὸς [m] πηγῇ τινὶ, ἣ οὐ φυλλοβολεῖ. μυθολογοῦσι δὲ, ὡς [n] ὑπὸ ταύτης ἐμίγη τῇ Εὐρώπῃ ὁ Ζεύς· τὰς δὲ πλησίον πάσας φυλλοβολεῖν. ἐν δὲ Συβάρει Δρῦς ἐστιν εὐσύνοπτος ἐκ τῆς πόλεως, ἣ οὐ φυλλοβολεῖ. φασὶ δὲ οὐ βλαστάνειν αὐτὴν ἅμα ταῖς ἄλλαις,

[g] Μυῤῥίκη, Bod. [h] Ἀδράχνη, Const. [i] Οἴναρος Bod. [k] Ἱπποσέλινον deest Bod. [l] ἔχοντα Ald. Bod. [m] σκηνῇ Bas. κρηνῇ Const. [n] ἐπὶ ταύτῃ Bod.

ἀλλὰ μετὰ *κύνα· λέγεται δὲ καὶ ἐν Κύπρῳ Πλάτανος εἶναι τοιαύτη. φυλλοβολεῖ δὲ πάντα τοῦ μετοπώρου, καὶ μετὰ τὸ μετόπωρον, πλὴν τὸ μὲν θᾶττον, τὸ δὲ [n]βραδύτερον, ὥστε καὶ τοῦ χειμῶνος ἐπιλαμβάνειν. οὐκ ἀνάλογον δὲ αἱ φυλλοβολίαι ταῖς βλαστήσεσιν, ὥστε τὰ [o]πρότερον βλαστήσαντα πρότερον φυλλοβολεῖν, ἀλλ' ἔνια πρωὶ βλαστάνει μὲν, οὐδὲν δὲ προτερεῖ τῶν ἄλλων [τῷ φυλλοβολεῖν]. ἀλλὰ καὶ τινῶν καὶ ὑστερεῖ, καθάπερ ἡ Ἀμυγδάλη· τὰ δὲ, ὀψιβλαστεῖ μὲν, οὐδὲν δὲ, ὡς εἰπεῖν, ὑστερεῖ τῶν ἄλλων, ὥσπερ ἡ Συκάμινος. δοκεῖ δὲ καὶ ἡ χώρα συμβάλλεσθαι, καὶ ὁ τόπος ὁ ἔνικμος, πρὸς τὸ διαμένειν· τὰ γὰρ ἐν τοῖς ξηροῖς καὶ ὅλως *λεπτογείοις πρότερον φυλλοβολεῖ· καὶ τὰ πρεσβύτερα δὲ τῶν νέων· ἔνια δὲ, καὶ πρὸ τοῦ πεπάναι τὸν καρπὸν, ἀποβάλλει τὰ φύλλα, καθάπερ αἱ ὄψιμαι Συκαῖ καὶ Ἀχράδες. τῶν δὲ *[p]ἀειφύλλων ἡ ἀποβολὴ καὶ [q]ἡ βλάστησις κατὰ *μέρος, οὐ γὰρ δὴ ταῦτα ἀεὶ διαμένει, ἀλλὰ τὰ μὲν βλαστάνει, τὰ δὲ ἀφαυαίνεται· τοῦτο δὲ περὶ τροπὰς μάλιστα γίνεται θερινάς· εἰ δέ τινων καὶ μετ' *ἀρκτοῦρον, ἢ καὶ κατ' ἄλλην [r]ὥραν, ἐπισκεπτέον· καὶ τὰ μὲν περὶ τὴν φυλλοβολίαν οὕτως ἔχει.

CAP. XIII.

Foliorum Differentiæ quoad Figuram. Succorum Varietates.

ΤΑ δὲ φύλλα τῶν μὲν ἄλλων δένδρων ὅμοια πάντων αὐτὰ ἑαυτοῖς, τῆς δὲ Λεύκης, καὶ τοῦ [s]Κιστοῦ, καὶ τοῦ καλουμένου Κρότωνος, ἀνόμοια καὶ ἑτεροσχήμονα· τὰ

[n] βράδυ Bod. [o] πρότερον deest Ald. [p] ἀφύλλων Bod. [q] ἡ ἄνθησις Bod. [r] χώραν, Ald. κατ' ἄλλον καιρὸν, alii. [s] Κιττοῦ, Ald. Bod.

μὲν γὰρ νέα, περιφερῆ, τὰ δὲ παλαιότερα, *γωνοειδῆ, καὶ εἰς τοῦτο ἡ μετάστασις πάντων· τοῦ δὲ Κιττοῦ, ἀνάπαλιν, νέα μὲν ὄντος, ἐγγωνιώτερα, πρεσβυτέρου δὲ, περιφερέστερα· μεταβάλλει γὰρ καὶ οὕτως. ἴδιον δὲ καὶ τὸ τῇ Ἐλαίᾳ, καὶ τὸ τῇ [t]Φιλύρᾳ, καὶ τῇ Πτελέᾳ, καὶ τῇ Λεύκῃ συμβαῖνον, *στρέφειν γὰρ δοκοῦσι τὰ ὕπτια μετὰ τροπὰς θερινὰς, καὶ τούτῳ γνωρίζουσιν, ὅτι γεγένηνται τροπαί. πάντα δὲ τὰ φύλλα διαφέρει, κατὰ τὰ ὕπτια καὶ τὰ *πρανῆ. καὶ τῶν μὲν ἄλλων τὰ ὕπτια [u]*πωδέστερα καὶ λειότερα· τὰς γὰρ ἶνας καὶ τὰς φλέβας ἐν τοῖς *πρανέσιν ἔχουσιν, ὥσπερ ἡ χεὶρ· τῆς Ἐλαίας δὲ λευκοτέρα [τὰ ὕπτια], καὶ ἧττον λεῖα· λεῖα δὲ καὶ τὰ τοῦ Κιττοῦ· πάντα δὴ, ἢ τά γε πλεῖστα, *ἐκφανῆ ἔχει τὰ ὕπτια, καὶ ταῦτα γίνεται τῷ ἡλίῳ φανερά· καὶ στρέφεται τὰ πολλὰ πρὸς τὸν ἥλιον, διὸ καὶ οὐ ῥάδιον εἰπεῖν, ὁπότερον πρὸς τῷ κλωνὶ μᾶλλόν ἐστιν· ἡ μὲν γὰρ ὑπτιότης, μᾶλλον δοκεῖ ποιεῖν τὸ πρανὲς, ἡ δὲ φύσις οὐχ' ἧττον βούλεται τὸ ὕπτιον· ἄλλως τε καὶ ἡ *ἀνάκλασις [γίνεται] διὰ τὸν ἥλιον. ἴδοι δὲ ἄν τις, ὅσα πυκνὰ καὶ κατάλληλα, καθάπερ [x]τὰ τῶν Μυῤῥίνων. οἴονται δέ τινες καὶ τὴν [y]στροφὴν τοῦ ὑπτίου διὰ τοῦ πρανοῦς εἶναι, διὰ τὸ ἔνικμον ἀεὶ τοῦτο καὶ *χνοῶδες εἶναι, οὐ καλῶς λέγοντες. ἀλλὰ τοῦτο μὲν ἴσως συμβαίνει χωρὶς τῆς ἰδίας φύσεως, καὶ διὰ τὸ μὴ ὁμοίως ἀλλοιοῦσθαι, ἡ δὲ [z]στροφὴ διὰ τῶν φλεβῶν ἢ ἰνῶν ὁμοίως· ἀμφοτέροις δὲ ἐκ θατέρου εἰς θάτερον, [στρεφεῖν] οὐκ εὔλογον, μὴ [x]ἔχουσι πόρους

[t] Φιλλύρᾳ Ald. [u] πιωδίστερα Bas. [x] ἢ τῶν Μυῤῥίνων Bod. [y] τροφὴν Bod. [z] τροφὴ Bod. [x] ἔχοντι Bod.

μηδὲ βάθος [y] διϊόν. ἀλλὰ περὶ μὲν τροφῆς διὰ τίνων, ἕτερος λόγος. διαφέρουσι δὲ καὶ τὰ φύλλα πλείοσι διαφοραῖς· τὰ μὲν γάρ ἐστι πλατύφυλλα, καθάπερ Ἄμπελος, Συκῆ, Πλάτανος· τὰ δὲ στενόφυλλα, καθάπερ Ἐλαία, [z] Ῥοιὰ, Μύῤῥινος· τὰ δὲ ὥσπερ [a] *σπαθόφυλλα, καθάπερ Πεύκη, Πίτυς, Κέδρος. τὰ δὲ οἷον *σαρκόφυλλα (τοῦτο δὲ, ὅτι σαρκῶδες ἔχουσι τὸ φύλλον) οἷον Κυπάριττος, Μυρίκη, Μηλέα· τῶν δὲ φρυγανικῶν, Κνέωρος, Στοιβή· καὶ τῶν πωωδῶν, Ἀείζωον, Πόλιον· τοῦτο δὲ καὶ πρὸς τοὺς σῆτας τοὺς ἐν τοῖς ἱματίοις, ἀγαθόν· τὰ γὰρ αὖ τῶν Τευτλίων ἢ Ῥαφάνων ἄλλον τρόπον σαρκώδη, καὶ τὰ τῶν πηγανίων καλουμένων, ἐν πλάτει γὰρ, καὶ οὐκ ἐν στρογγυλότητι τὸ σαρκῶδες. καὶ τῶν θαμνωδῶν δὲ ἡ [b] Μυρίκη σαρκῶδες τὸ φύλλον ἔχει· ἔνια δὲ καὶ καλαμόφυλλα, καθάπερ ὁ Φοῖνιξ, καὶ ὁ Κόϊξ,, καὶ ὅσα τοιαῦτα. ταῦτα δὲ, ὡς καθόλου εἰπεῖν [c] γωνιόφυλλα· καὶ γὰρ ὁ Κάλαμος, καὶ ἡ Κύπειρος, καὶ ὁ Βούτομος, καὶ τ' ἄλλα δὲ τῶν λιμνωδῶν, τοιαῦτα. πάντα δὲ ὥσπερ ἐκ δυοῖν σύνθετα, καὶ τὸ μέσον οἷον *τρόπις, [d] ἔνδοθεν δὲ τοῖς ἄλλοις μέγας *πόρος ὁ μέσος. διαφέρουσι δὲ καὶ τοῖς χρήμασι. τὰ μὲν γὰρ περιφερῆ, καθάπερ τὰ τῆς Ἀπίου, τὰ δὲ, προμηκέστερα, καθάπερ τὰ τῆς [e] Μηλέας. τὰ δὲ εἰς ὀξὺ προήκοντα καὶ [f] παραγωνίζοντα, καθάπερ τὰ τοῦ Σμίλακος· καὶ τὰ μὲν [g] *εὔχρηστα καὶ οἷον *πριονώδη, καθάπερ τὰ τῆς Ἐλάτης, καὶ τὰ τῆς Πτερίδος· τρόπον, δέ τινα σχιστά [ἐστι] τὰ τῆς

[y] διϊών. Ald. [z] Ῥοὰ, Ald. [a] σπανόφυλλα, Ald. Bas. [b] Ἐρείκη Const. [c] γωνυόφυλλα· Ald. Bas. [d] ὅθεν τοῖς Bod. [e] Μελίας. Bod. [f] παραγονίζοντα, Ald. [g] εὐθύσχιστα Const.

Ἀμπέλου, καὶ τὰ τῆς Συκῆς, ἢ ὥσπερ ἂν εἴποι τις, [h] *σκολοπώδη. ἔνια δὲ καὶ *ἔντομας ἔχοντα, καθάπερ τὰ τῆς Πτελέας, καὶ τὰ τῆς Ἡρακλεωτικῆς [Κάρυας], καὶ τῆς Δρυός· τὰ δὲ καὶ *παρακανθίζοντα καὶ ἐκ τοῦ ἄκρου, καὶ ἐκ τῶν πλαγίων, οἷον, τὰ τῆς Πρίνου, τὰ τῆς [i] Φελλόδρυος, καὶ Σμίλακος, καὶ Βάτου, καὶ Παλιούρου, καὶ τὰ τῶν ἄλλων· τὰ δι' ἀκανθώδη ἐκ τῶν ἄκρων, [k] καθὰ τὰ τῆς Πεύκης, καὶ Πίτυος, καὶ Ἐλάτης, ἔτι δὲ Κέδρου, καὶ [l] Κεδρίας. φυλλάκανθον δὲ ὅλως ἐν μὲν τοῖς δένδροις οὐκ ἔστιν οὐδὲν, ὧν ἡμεῖς ἴσμεν· ἐν δὲ τοῖς ἄλλοις ὑλήμασίν ἐστιν, οἷον ἥ τε Ἄκορνα, καὶ ἡ Δρυπὶς, καὶ ὁ Ἄκανος, καὶ σχεδὸν ἅπαν τὸ τῶν ἀκανθωδῶν γένος· ὥσπερ γὰρ φύλλον, ἐστὶν ἄκανθα πᾶσιν, εἰ δὲ μὴ φύλλα τις ταῦτα θήσει, συμβαίνοι ἂν ὅλως ἄφυλλα εἶναι. ἐνίοις δὲ ἄκανθαν μὲν [φασὶν] εἶναι, φύλλον δὲ ὅλως οὐκ ἔχειν, καθάπερ ὁ [m] Ἀσπάραγος. πάλιν δὲ ὅτι τὰ μὲν ἄμισχα, καθάπερ τὰ τῆς Σκίλλης καὶ τοῦ Βολβοῦ· τὰ δὲ ἔχοντα μίσχον· καὶ τὰ μὲν μακρὸν, οἷον ἡ Ἄμπελος, καὶ ὁ Κιττός· τὰ δὲ βραχὺν, καὶ οἷον [n] ἐμπεφυκότα, καθάπερ Ἐλαία, οὐχ' ὥσπερ τὰ τῆς Πλατάνου [o] ἢ τῆς Ἀμπέλου *προσηρτημένα. διαφορὰ δὲ, καὶ τὸ μὴ ἐκ τῶν αὐτῶν εἶναι τὴν *πρόσφυσιν, ἀλλὰ τοῖς μὲν πλείοσι, ἐκ τῶν ἀκρεμόνων, τῆς [p] Δρυὸς δὲ καὶ ἐκ τοῦ στελέχους. τῶν δὲ λαχανωδῶν τοῖς πολλοῖς εὐθὺς ἐκ τῆς ῥίζης, οἷον Κρομμύου, Σκορόδου, Κιχωρίου· ἔτι δὲ Ἀσφοδέλου, Σκίλλης, Βολβοῦ, [q] Σιχυριγχίου, καὶ ὅλως τῶν βολβωδῶν· καὶ τού-

[h] κορωνοποσίδη. Const. [i] Δρυὸς, Bod. [k] κατὰ τὸ τῆς Πεύκης, Bod. [l] Κεδρίδος. Const. [m] Ἀσφάραγος. Const. [n] ἐμπιπηγότα, Theod. [o] ἢ τῆς Ἀμπέλου προσηρτημένον. Bod. [p] Vid. not. ad finem libri. [q] Ἰσυριγκίου, Ald. Bas.

των δὲ, οὐχ' ἡ πρώτη μόνον ἔκφυσις, ἀλλὰ καὶ ὅλος ὁ καυλὸς ἄφυλλος, [n] ἐπ' ἐνίων δ' ἐπιγίνεται φύλλα, εἰκὸς, οἷον, Θρικαδίνης, Ὠκύμυ, Σελίνυ, καὶ τῶν σιτηρῶν ὁμοίως. ἔχει δὲ ἔνια τούτων καὶ τὸν καυλὸν λεῖον πρῶτον, εἶτ' ἀκανθίζοντα, ὡς ἡ Θριδακίνη, καὶ [o] τὰ ἀκανθώδη πάντα, καὶ τῶν θαμνωδῶν τινα· καὶ ἔτι δὲ μᾶλλον καὶ τὰ [p] ἀκανθώδη, οἷον Βάτος, Παλίουρος. κοινὴ δὲ διαφορὰ πάντων ὁμοίως δένδρων καὶ τῶν ἄλλων, ὅτι τὰ μὲν, πολύφυλλα, τὰ δὲ ὀλιγόφυλλα· ὡς δὲ ἐπὶ τὸ πᾶν τὰ μὲν πλατύφυλλα, τὰ δὲ [q] στενόφυλλα· τὰ δὲ ὀξύφυλλα· τὰ δὲ [r] εὔτακτα, καθάπερ Μύῤῥινος, τὰ δὲ, ἄτακτα, καὶ ὡς ἔτυχε, καθάπερ σχεδὸν τὰ πλεῖστα τῶν ἄλλων [s] ἐστί. ἴδιον δὲ ἐπὶ τῶν λαχανωδῶν, οἷον Κρομμύου, [t] Γητείου, τὸ *κοιλόφυλλον. *ἁπλῶς αἱ διαφοραὶ τῶν φύλλων [εἰσὶ], ἢ μεγέθει, ἢ πλήθει, ἢ σχήματι, ἢ πλατύτητι, ἢ κοιλότητι, ἢ στενότητι, ἢ τραχύτητι, ἢ λειότητι· καὶ τῷ παρακανθίζειν, ἢ μή· ἔτι δὲ κατὰ τὴν πρόσφυσιν, ὅθεν, ἢ δι' οὗ. τὸ μὲν ὅθεν, ἀπὸ ῥίζης, ἢ κλάδου, ἢ καυλοῦ, ἢ ἀκρέμονος· τὸ δὲ δι' οὗ, ἢ διὰ μίσχου, ἢ δι' αὐτοῦ. (καὶ εἴδη πολλὰ ἐξ αὐτοῦ.) καὶ ἔνια καρποφόρα, μεταξὺ περιειληφότα τὸν καρπὸν, ὥσπερ ἡ Ἀλεξανδρεία Δάφνη, ἐπιφυλλόκαρπος. αἱ μὲν οὖν διαφοραὶ τῶν φύλλων κοινωτέρως πᾶσαι εἴρηνται, καὶ σχεδόν εἰσιν ἐν τούτοις. σύγκειται δὲ τὰ μὲν ἐξ *ἰνὸς, καὶ *φλοιοῦ, καὶ *σαρκός. [u] οἷον τὰ τῆς Συκῆς, καὶ Ἀμπέλου· τὰ δὲ ὥσπερ ἐξ ἰνὸς μόνον, οἷον [τὰ] τοῦ Καλάμου, καὶ Σίτου.

n ἰνίων ὅταν ἂν γένηται φύλλα, Bod. Ald. o τὰ φύλλα ἀκανθώδη Const. p ἀκανθώδη deest Bod. q στενόφυλλα deest Ald. Bod. r ἄτακτα, Bas. Ald. s ἦν. Bod. t αὐτοῦ Theod. u οἷον τὰ τῆς deest Bod.

CAP. XIV.

Succus in variis Partibus; Foliis; Floribus; Fructibus.

ΤΟ δὲ ὑγρὸν ἁπάντων κοινὸν, ἅπασι γὰρ ἐνυπάρχει καὶ τούτοις, καὶ τοῖς ἄλλοις τοῖς ἐπετείοις [μέρεσι], [x] ὡς ἔτι μίσχος, ἄνθος, καρπὸς, καὶ εἴτι ἄλλο, μᾶλλον δὲ καὶ τοῖς μὴ ἐπετείοις, οὐδὲν γὰρ ἄνευ τούτου. δοκεῖ δὲ καὶ τῶν [y] μίσχων, τὰ μὲν, ἐξ ἰνῶν μόνων συγκεῖσθαι, καθάπερ τὰ τοῦ Σίτου καὶ τοῦ Καλάμου· οἱ δ' ἐκ αὐτῶν, ὥνπερ οἱ καυλοί· τῶν δὲ *ἀνθῶν, τὰ μὲν ἐκ φλοιοῦ, καὶ φλεβὸς, τὰ δ' ἐξ σαρκὸς μόνον, οἷον τὰ ἐν μέσῳ τῶν Αἰρῶν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν [z] καρπῶν, οἱ μὲν γὰρ, ἐκ σαρκὸς καὶ ἰνὸς, οἱ δὲ, ἐκ σαρκὸς μόνον· οἱ δε [ἐκ σαρκὸς] καὶ ἐκ δέρματος σύγκειντα· τὸ δὲ ὑγρὸν ἀκολουθεῖ καὶ τούτοις. ἐκ σαρκὸς μὲν καὶ ἰνὸς, ὁ τῶν Κοκκυμήλων καὶ Σικύων· ἐξ ὑγρᾶ δὲ καὶ δέρματος, ὁ τῶν Συκαμίνων καὶ τῆς Ῥοιᾶς. ἄλλοι δὲ κατ' ἄλλον τρόπον μεμερισμένοι [εἰσί]. πάντων δὲ, ὡς εἰπεῖν, τὸ μὲν ἔξω φλοιὸς, τὸ δὲ ἐντὸς σάρξ· τῶν δὲ καὶ πυρήν.

CAP. XV.

Semina Arborum: et quæ Semina congesta, et quæ discreta. De Ficu Ægyptia.

ΕΣΧΑΤΟΝ δὲ ἐν ἅπασι τὸ σπέρμα· τοῦτο δὲ [a] ἔχον ἐν ἑαυτῷ ὑγρὸν καὶ θερμὸν *σύμφυτον, ὧν ἐκλειπόντων ἄγονα [ἐστὶ], καθάπερ τὰ οὔρινα ᾠά. καὶ τῶν μὲν εὐθὺς τὸ σπέρμα μετὰ τὸ περιέχον, οἷον, Φοίνικος,

x ὥς ἐστι Bod. y ἀμίσχων, Const. z σαρκῶν, Bod.
a ἔχει Const.

Καρύου, Ἀμυγδάλης· [πλείω δ' εἰσὶ τὰ περιέχοντα τοῦτο ὡς τὰ τοῦ Φοίνικος·] τῶν δὲ, μεταξὺ σὰρξ, καὶ πυρὴν, ὥσπερ Ἐλαίας, καὶ Κοκκυμηλέας, καὶ ἑτέρων· ἔνια δὲ καὶ ἐν λοβῷ· τὰ δὲ ἐν ὑμένι· τὰ δὲ ἐν *ἀγγείῳ· τὰ δὲ καὶ γυμνόσπερμα τελείως. ἐν λοβῷ μὲν οὖν μόνον τὰ ἐπέτεια· καθάπερ τὰ χεδροπὰ, καὶ ἕτερα πλείω τῶν ἀγρίων, ἀλλὰ καὶ τῶν δένδρων ἔνια, καθάπερ ἥ τε Κερωνία (ἣν [b] τινες καλοῦσι Συκῆν Αἰγυπτίαν) καὶ ἡ [c] Κερκὶς, καὶ ἡ [d] Κολούτεα περὶ Λιπάραν. ἐν ὑμένι δὲ ἔνια τῶν ἐπετείων, ὥσπερ ὁ Πυρὸς καὶ ἡ Κέγχρος. ὡσαύτως δὲ καὶ ἔνια *ἀγγειοσπέρματα, καὶ *γυμνοσπέρματα. ἀγγειοσπέρματα μέν· οἷον, ἥτε Μήκων, καὶ ὅσα Μήκωνι [e] ὅμοια. κατὰ γὰρ Σήσαμον [f] ἰδιώτερος. γυμνοσπέρματα δὲ, τῶν τε λαχάνων πολλά· καθάπερ [g] Ἄνηθον, Κοριάννον, Κύμινον, Μάραθρον, καὶ ἕτερα πλείω· τῶν δὲ δένδρων οὐδὲν γυμνόσπερμον, ἀλλ' ἢ σαρξὶ περιεχόμενον, ἢ δέρμασιν. τὰ μὲν [h] δερματικοῖς, ὥσπερ ἡ Βάλανος καὶ τὸ Εὐβοϊκὸν [Κάρυον]. τὰ δὲ, ξυλώδεσιν, ὥσπερ ἡ Ἀμυγδάλη, καὶ τὸ Κάρυον. οὐδὲν δὲ ἐναγγειόσπερμον, εἰ μή τις τὸν κῶνον, ἀγγεῖον θήσει, διὰ τὸ χωρίζεσθαι τῶν καρπῶν. αὐτὰ δὲ τὰ σπέρματα, τῶν μὲν εὐθὺς σαρκώδη, καθάπερ ὅσα καρυηρὰ καὶ βαλανηρά· τῶν δὲ, [i] πυρῆνα τὸ σαρκῶδες ἔχει, καθάπερ Ἐλαίας καὶ Δαφνίδος, καὶ ἄλλων. τῶν δὲ [k] πυρῆν μόνον, ἢ πυρηνώδες τι καὶ ὥσπερ ξηρόν· καθά-

[b] τινα Bod. [c] Κικὶς, Bod. Κηκὶς Ald. [d] Κολοίτια Bod. [e] ὅμοια deest Ald. Bas. [f] ὑδιώτερος. Ald. [g] Κορίαννον, Ἄνισον, Const. [h] σπερματικοῖς, Ald. Bas. [i] ἐν πυρῆνι τὸ σαρκῶδες ἔχεται, Bod. [k] ἐν πυρῆνι μόνον, ἢ πυρηνώδεϊ γι καὶ ὥσπερ ξηρά· Bod.

περ τὰ * κνικώδη, καὶ κεγχραμιδώδη, καὶ πολλὰ τῶν λαχανηρῶν. ἐμφανέστατα δὲ τὰ τοῦ Φοίνικος, οὐδὲ γὰρ κοιλότητα ἔχει τοῦτο οὐδεμίαν, ἀλλ' [l] ὅλον ἔξορθον. οὐ μὴν ἀλλ' ὑγρότης δή τις καὶ θερμότης ὑπάρχει δηλονότι καὶ τούτῳ, καθάπερ εἴπομεν. διαφέρουσι δὲ καὶ τῷ, τὰ μὲν ἀθρόα μετ' ἀλλήλων εἶναι, τὰ δὲ, διεστῶτα, καὶ ρεδὸν ὥσπερ τὰ τῆς Κολοκύντης δὲ καὶ [m] Σικύας, καὶ τῶν δένδρων, ὥσπερ Συκῆς, Μηλέας· καὶ τῶν ἀθρόων τὰ μὲν, [n] ἔν τινι περιέχεσθαι, καθάπερ τὰ τῆς Ῥοιᾶς, καὶ τῆς Ἀπίου, καὶ Μηλέας, καὶ τῆς Ἀμπέλου, καὶ Συκῆς, τὰ δὲ μετ' ἀλλήλων μὲν εἶναι, μὴ περιέχεσθαι δὲ ὑφ' ἑνὸς, ὥσπερ τὰ σταχυηρὰ τῶν ἐπετείων· εἰ μή τις θείη τὸν στάχυν ὡς περίεχον· οὕτω δὲ ἔσται δὲ ὁ βότρυς, καὶ τ' ἄλλα τὰ βοτρυώδη· καὶ ὅσα δὴ φέρει δι' * εὐθοσίαν καὶ χώρας ἀρετὴν ἀθρόους τοὺς καρπούς, ὥσπερ ἐν Συρίᾳ φασὶ, καὶ ἄλλοθι, τὰς Ἐλαίας. ἀλλὰ καὶ αὐτὴ δοκεῖ τις εἶναι διαφορὰ, τῷ τὰ μὲν ὑφ' ἑνὸς * μίσχου καὶ μιᾶς * προσφύσεως, ἀθρόα [o] γίνεσθαι, καθάπερ ἐπί τε τῶν βοτρυηρῶν καὶ σαχυηρῶν εἴρηται. μὴ περιεχόμενα κοινῷ [p] τινὶ, τὰ δὲ μὴ γίνεσθαι, οἷον ἡ ῥὰξ βότρυος καὶ τῆς Ῥοιᾶς ὁ πυρήν· καὶ ἀνάπαλιν ὁ τοῦ Πυροῦ καὶ Κριθῆς καὶ Κέγχρυ. ἥκισα δὲ ἂν δόξειεν τὰ τῶν Μήλων καὶ τὰ τῶν Ἀπίων, ὅπυ συμψαύει τε, καὶ περιείληπται καθάπερ ὑμένι τινὶ δερματικῷ, περὶ ὃν τὸ περικάρπιον. ἀλλ' ὅμως καὶ τούτων ἕκαστον ἰδίαν ἀρχὴν ἔχει καὶ φύσιν. φανερώτατα δὲ τῷ κεχωρίσθαι τὰ τῆς [q] Ῥοιᾶς, ὁ γὰρ πυρὴν ἑκάστῳ

[l] ὅλον ἔξορθον. Bod. [m] Σικύου, Const. [n] ἔν τινι Bod. ἐν ὑμένι τινὶ Const. [o] γίνεσθαι deest Bod. [p] ἐπεὶ καθ' ἕκαστόν γε λαμβάνοντι τῶν σπερμάτων ἢ τῶν περιεχόντων, ἰδίαν ἀρχὴν ἔχει τῆς φύσεως· οἷον Bod. [q] Ῥοᾶς, Bod.

προσπέφυκεν, οὐχ ὥσπερ τὰ τῶν Συκῶν ἄδηλα διὰ τὴν ὑγρότητα. καὶ γὰρ τοῦτο ἔχουσι [r] διαφορὸν, καίπερ ἀμφότερα περιεχόμενα σαρκώδει τινὶ, καὶ τῷ τοῦτο περιειληφότι μετὰ τῶν ἄλλων· [s] τὰ μὲν γὰρ περὶ ἕκαστον πυρῆνα ἔχει τὸ σαρκῶδες τοῦτο ὑγρόν· αἱ δὲ κεγχραμίδες ὥσπερ κοινόν τι πᾶσι, καθάπερ καὶ τὸ γίγαρτον, καὶ ὅσα τὸν αὐτὸν ἔχει τρόπον. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς τάχ' ἄν τις λάθοι πλείους. ὧν δεῖ τὰς κυριωτάτας, καὶ μάλιστα τὰς τῆς φύσεως μὴ ἀγνοεῖν. αἱ δὲ κατὰ χυλοὺς καὶ τὰ σχήματα καὶ τὰς ὅλας μορφὰς, σχεδὸν φανεραὶ πᾶσιν, ὥστε μὴ δεῖσθαι λόγου. πλὴν ἢ τοσοῦτον, ὅτι σχῆμα [t] οὐδὲ πᾶν περικάρπιον εὐθύγραμμον, οὐδὲ *γωνίας ἔχει.

CAP. XVI.

De Succorum Odorumque Differentia.

ΤΩΝ δὲ χυλῶν, οἱ μέν εἰσιν οἰνώδεις· ὥσπερ Ἀμπέλου, Συκαμίνου, Μύρτου· οἱ δὲ, ἐλαιώδεις, ὥσπερ Ἐλαίας, Δάφνης, Καρύας, Ἀμυγδάλης, Πεύκης, Πίτυος, Ἐλάτης· οἱ δὲ, μελιτώδεις, οἷον Συκῆς, Φοίνικος, Διὸς Βαλάνου· οἱ δὲ, δριμεῖς, οἷον Ὀριγάνου, Θύμβρας, Καρδάμου, Νάπυος· οἱ δὲ, πικροὶ, ὥσπερ Ἀψίνθιου, Κενταυρίου. διαφέρουσι δὲ καὶ ταῖς εὐωδίαις· οἷον [u] Ἀνήθου, Κεδρίδος· ἐνίων δὲ *ὑδαρεῖς ἂν δόξειεν, οἷον οἱ τῶν Κοκκυμηλέων· οἱ δὲ, ὀξεῖς, ὥσπερ ῥοῶν, καὶ ἐνίων μήλων. [x] ἁπάντων δὲ τοὺς *οἰνώδεις [χύλους] ἐν τούτῳ

[r] διαφορὰν, Bod. [s] τὸ μὲν Bod. [t] οὐδὲν περικαρπίων εὐθύγραμμον, Bod. [u] Ἀνήσου, Bas. [x] ἁπάντων δὲ οἰνώδεις καὶ τοὺς Bod. ἰνώδεις Ald.

τῷ γένει θετέον, [y] ἄλλους δὲ ἐν ἄλλοις εἴδεσιν, ὑπὲρ ὧν ἁπάντων ἀκριβέστερον ἐν τοῖς περὶ χυλῶν ῥητέον· αὐτάς τε τὰς ἰδέας διαριθμουμένους, ὁπόσαι καὶ [z] αἱ πρὸς ἀλλήλους διαφοραὶ, καὶ τὶς ἡ ἑκάστου φύσις καὶ δύναμις. ἔχει δὲ καὶ ἡ τῶν δένδρων αὐτῶν *ὑγρότης, ὥσπερ ἐλέχθη, διαφορὰ εἴδη· ἡ μὲν γάρ ἐστιν ὀπώδης· ὥσπερ ἡ τῆς Συκῆς καὶ τῆς Μήκωνος· ἡ δὲ, πιτιώδης, οἷον, [a] Ἐλάτης, Πεύκης, τῶν κωνοφόρων· ἄλλη δὲ ὑδαρὴς, οἷον, Ἀμπέλου, Ἀπίου, Μηλέας· καὶ τῶν λαχανωδῶν δὲ, οἷον, Σικύου, Κολοκύντης, Θριδακίνης· αἱ δὲ, ἥδη *δριμύτητά τινα ἔχουσι, καθάπερ ἡ τοῦ Θύμου, καὶ Θύμβρας· αἱ δὲ, καὶ εὐωδίαν, ὥσπερ αἱ τοῦ Σελίνου, Ἀνήθου, Μαράθρου, καὶ τῶν τοιούτων, ὡς δὲ ἁπλῶς εἰπεῖν, ἅπασαι κατὰ τὴν ἰδίαν φύσιν ἑκάστου δένδρου, καὶ ὡς καθόλου εἰπεῖν, φυτοῦ· πᾶν γὰρ ἔχει *κράσιν τινὰ καὶ μίξιν ἰδίαν, ἥπερ οἰκεῖα δηλονότι τυγχάνει τοῖς ὑποκειμένοις καρποῖς, ὧν τοῖς πλείστοις συνεμφαίνεταί τις ὁμοιότης, οὐκ ἀκριβὴς, οὐδὲ *ἐπαφής· ἀλλ' ἐν τοῖς περικαρπίοις, [b] δι' ὧν μᾶλλον κατεργασίαν λαμβάνει καὶ πέψιν καθαρὰν καὶ εἰλικρινῆ ἡ τοῦ χυλοῦ φύσις· δεῖ γὰρ ὥσπερ τὸ μὲν *ὕλην ὑπολαβεῖν, τὸ δὲ εἶδος καὶ μορφήν. ἔχει δὲ αὐτὰ τὰ σπέρματα, καὶ οἱ χιτῶνες οἱ περὶ αὐτὰ, διαφορὰν τῶν χυλῶν, ὡς δὲ ἁπλῶς εἰπεῖν, ἅπαντα τὰ μόρια τῶν δένδρων καὶ τῶν φυτῶν· οἷον, ῥίζα, καυλὸς, ἀκρέμων, φύλλον, καρπὸς, ἔχει τινὰ οἰκειότητα πρὸς τὴν ὅλην φύσιν, εἰ δὲ καὶ παραλλάττει κατά τε τὰς ὀσμὰς καὶ τοὺς χυλοὺς, ὡς τὰ μὲν εὔοσμα καὶ εὐώδη,

[y] ἄλλον Bod.
[z] τὰς πρὸς ἀλλήλους διαφορὰς, Bod.
[a] Ἐλαίας, Bod.
[b] διὸ Bod.

τὰ δὲ ἄοσμα καὶ *ἄχυλα παντελῶς εἶναι τῶν τοῦ αὐτοῦ μορίων. ἐνίων γὰρ εὔοσμα τὰ ἄνθη μᾶλλον ἢ τὰ φύλλα· τῶν δὲ ἀνάπαλιν τὰ φύλλα μᾶλλον καὶ οἱ κλῶνες, ὥσπερ τῶν στεφανωματικῶν· τῶν δὲ, οἱ καρποί· τῶν δὲ οὐδέτερον. ἐνίων δὲ αἱ ῥίζαι· τῶν δέ τι μέρος. ὁμοίως δὲ καὶ κατὰ τὰς χυλὰς, τὰ μὲν γὰρ βρωτὰ, τὰ δὲ ἄβρωτα τυγχάνει καὶ ἐν φύλλοις καὶ περικαρπίοις. [y] ἰδιώτατον δὲ τὸ ἐπὶ τῆς Φιλύρας. ταύτης γὰρ τὰ μὲν φύλλα γλυκέα, καὶ πολλὰ τῶν ζώων ἐσθίει· ὁ δὲ καρπὸς, οὐδενὶ βρωτός· ἐπεὶ τόγε *ἀνάπαλιν οὐδὲν θαυμαστὸν, ὥστε [z] τῶν μὲν φύλλα μὴ ἐδιέεθαι, τὰς δὲ καρποὺς οὐ μόνον ὑφ' ἡμῶν, ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ζώων. ἀλλὰ καὶ περὶ τούτου καὶ τῶν ἄλλων τῶν τοιούτων ὕστερον πειρατέον θεωρεῖν τὰς *αἰτίας. νῦν δὲ τοσοῦτον ἔστω δῆλον, ὅτι κατὰ πάντα τὰ μέρη πλείους εἰσὶ διαφοραὶ πολλαχῶς.

CAP. XVII.

Florum Genera et Differentiæ.

[a] ΕΤΙ δὲ καὶ τῶν ἀνθῶν, τὰ μέν ἐστι *χνοώδη, καθάπερ τὰ τῆς Ἀμπέλου, καὶ Συκαμίνου, καὶ τοῦ Κιττοῦ· τὰ δὲ *φυλλώδη, καθάπερ Ἀμυγδάλης, Μηλέας, Ἀπίου, Κοκκυμηλέας. καὶ τὰ μὲν μέγεθος ἔχει, τὸ δὲ τῆς Ἐλαίας, φυλλῶδες ὄν, ἀμέγεθες. ὁμοίως δὲ καὶ ἐν τοῖς ἐπετείοις καὶ ποώδεσι, τὰ μὲν φυλλώδη, τὰ δὲ, χνοώδη. [b] τούτων μὲν δὲ, τὰ μὲν δίχροα, τὰ δὲ μονόχροα, [c] τῶν δένδρων δὲ τάγε πολλὰ [d] μονόχροα ἢ καὶ λευκανθῆ,

[y] ἰδιαίτατον Bod. [z] τὰ μὲν φύλλα Bod. [a] Ἐπεὶ καὶ Bod. [b] πάντων δὲ, Bod. [c] τὰ μὲν τῶν δένδρων τάγε πόλλα Bod. [d] μονοείδη Const.

μόνον γὰρ, ὡς εἰπεῖν, τὸ τῆς Ῥοιᾶς φοινικῶν, καὶ Ἀμυγδάλων τινῶν *ὑπέρυθρον, ἄλλου δὲ οὐδενὸς τῶν ἡμέρων οὔτε *ἀνθῶδες, οὔτε δίχρουν, ἀλλ' εἴτινος τῶν ἀγρίων, οἷον, τὸ τῆς Ἐλάτης, κρόκινον γὰρ τὸ ταύτης ἄνθος. καὶ ὅσα δή φασιν [e]ἐν τῇ ἔξω θαλάττης [γῇ] ῥόδων ἔχειν τὴν χρόαν· ἐν δὲ τοῖς ἐπετείοις σχεδὸν τάγε πλείω τοιαῦτα, [ἔτι] καὶ δίχροα καὶ *διανθῆ, λέγω δὲ διανθὲς, ὅτι ἕτερον ἄνθος ἐν τῷ ἄνθει ἔχει κατὰ μέσον, ὥσπερ τὸ Ῥόδον, καὶ τὸ Κρίνον καὶ τὸ Ἴον τὸ μέλαν. ἔνια δὲ καὶ μονόφυλλα φύεται, διαγραφὴν ἔχοντα, μόνον ὄν, τῶν πλειόνων, ὥσπερ τὸ τῆς Ἰασιώνης, οὐ γὰρ [f]κεχώρισται ἐν τῷ ἄνθει ταύτης τὸ φύλλον ἕκαστον. οὐδὲ δεῖ τοῦ [g]χωρισμοῦ τὸ κάτω μέρος, ἀλλὰ ἐκ τῶν ἄκρων ἀποφύσεις [h]γωνιώδεις [εἰσὶ], σχεδὸν δὲ τὸ τῆς Σμίλακος τοιοῦτόν ἐστι. διαφέρει δὲ καὶ κατὰ τὴν ἔκφυσιν καὶ θέσιν· τὰ μὲν γὰρ ἔχει [i][τὰ ἄνθη] περὶ αὐτὸν τὸν καρπὸν, οἷον Ἄμπελος, Ἐλαία, ἧς καὶ διαπίπτοντα διατετρημένα φαίνεται, καὶ τοῦτο σημεῖον λαμβάνουσιν, εἰ καλῶς ἀπήνθηκεν, ἐὰν γὰρ συγκαυθῇ, ἢ βρεχθῇ, συναποβάλλει τὸν καρπὸν, καὶ οὐ τετρημένον γίνεται. σχεδὸν δὲ καὶ τὰ πολλὰ [k]τούτων ἐν μέσῳ τὸ περικάρπιον ἔχει, τάχα δὲ καὶ ἐπ' αὐτοῦ τοῦ *περικαρπίου, καθάπερ Ῥοιὰ, Μηλέα, [l]Ἄπιος, Κοκκυμηλέα, Μύρρινος· καὶ τῶν γε φρυγανικῶν, Ῥοδωνιὰ, καὶ τὰ πόλλα τῶν *στεφανωτικῶν· κάτω γὰρ ὑπὸ τὸ ἄνθος ἔχει τὰ σπέρματα. φανερώτατον δὲ ἐπὶ τοῦ Ῥόδου διὰ τὸν ὄγκον· ἔνια δὲ

[e] ἐν τῇ ἔξω θαλάττῃ Bod. [f] καχώρισαι Ald. κεχώρισαι ταύτῃ ἐν τῷ ἄνθει Bod. [g] χωρίου Bod. χειρίου Ald. [h] γονιώδεις Bod. [i] τὰ ἄνθη deest Bod. [k] τῶν ἐν μέσῳ Bod. [l] Ἄγνος, Bod.

καὶ ἐπ' αὐτῶν τῶν στομάτων, ὥσπερ ὁ Ἄκορος, καὶ ὁ [m] Κνίκος, καὶ πάντα τὰ [n] ἀκανθώδη, καθ' ἕκαστον [o] [καρπὸν] γὰρ ἔχει τὸ ἄνθος. ὁμοίως δὲ καὶ τῶν Ποωδῶν ἔνια, καθάπερ τὸ Ἀνθέμιον· ἐν δὲ τοῖς λαχανηροῖς, [p] ὥσπερ Σίκυος, καὶ ἡ Κολοκύντη, καὶ ἡ Σικύα. πάντα γὰρ ἐπὶ τῶν [q] καρπῶν ἔχει [τὸ ἄνθος]. καὶ προσαυξανομένων, ἐπιμένει τὰ ἄνθη πολὺν χρόνον. ἄλλα δὲ ἰδιωτέρως, οἷον ὁ Κιττὸς, καὶ ἡ Συκάμινος· ἐν αὐτοῖς μὲν γὰρ ἔχει τοῖς ὅλοις περικαρπίοις, οὐ μὲν οὔτε ἐπ' ἄκροις οὔτε περιειληφόσι καθ' ἕκαστον, ἀλλ' ἐν τοῖς ἀνὰ μέσον, εἰ μὴ ἄρα οὐ σύνδηλα διὰ τὸ χνοῶδες. ἔστι δὲ καὶ * ἁπλᾶ τῶν ἀνθῶν ἔνια, καθάπερ ἐπὶ τῶν Σικύων, ἃ ἐκ τῶν ἄκρων φύεται τοῦ κλήματος, διὸ καὶ ἀφαιροῦσιν αὐτὰ, κωλύει γὰρ τὴν τοῦ Σικύου βλάστησιν. φασὶ δὲ καὶ τῆς Μηλέας τῆς Μηδικῆς, ὅσα μὲν ἔχει τῶν ἀνθῶν ὥσπερ ἠλακάτην τινὰ πεφυκυῖαν [r] ἐκ μέσου, εἶναι γόνιμα, ὅσα δὲ μὴ ἔχει, ταῦτ' ἄγονα, εἰ δὲ καὶ ἐπ' ἄλλου τινὸς ταῦτα συμβαίνει τῶν ἀνθοφόρων, ὥστε [s] ἄγονον ἄνθος φύειν, εἴτε κεχωρισμένον εἴτε μὴ, σκεπτέον· ἐπεὶ γένη γε ἔνια καὶ Ἀμπέλου καὶ Ῥοιᾶς [t] ἀδύνατα τελειοκαρπεῖν, ἀλλὰ [u] μὴν μέχρι τοῦ ἄνθους ἡ γένεσις. γίνεται δὲ καὶ τό, τε τῆς Ῥοιᾶς ἄνθος πολὺ καὶ πυκνὸν, καὶ [x] ἀνώθεν ὅλος ὁ * ὄγκος πλατὺς, ὥσπερ ὁ τῶν [y] Ῥοδῶν, κάτωθεν δὲ στενώτερος δι' οὗ μικρὸν, καὶ ὥσπερ ἐκτετραμμένος * κύτινος, ἔχων τὰ ἄνω * χει-

[m] Κνίκος, Const. [n] ἀνθώδη, Bod. [o] καρπὸν deest Bod. [p] ὅπερ Ald. Bas. [q] ἄκρων Bod. [r] ἐκ μέσου τοῦ, lege ἐκ τοῦ μέσου, Const. [s] ἄτονον, Ald. Bas. [t] ἀδύνατον εἰ τελειοκάρπει. Bas. [u] μὴ Bod. [x] ἀνώθεν deest Bod. [y] Ῥοῶν, Bod.

λώδη. φασὶ δέ τινες καὶ τῶν ὁμοιογενῶν τὰ μὲν ἀνθεῖν, τὰ δὲ οὔ· καθάπερ τῶν Φοινίκων, τὸν μὲν ἄῤῥενα ἀνθεῖν, τὴν δὲ θῆλυν οὐκ ἀνθεῖν, ἀλλ' εὐθὺς προφαίνειν τὸν καρπόν. τὰ μὲν οὖν τῷ γένει [τούτῳ] τοιαύτην τὴν διαφορὰν ἔχει, καθάπερ ὅλως, ὅσα μὴ δύναται τελειοκαρπεῖν· ἡ δὲ τοῦ ἄνθους φύσις, ὅτι πλείους ἔχει διαφορὰς, φανερὸν ἐκ τῶν προειρημένων.

CAP. XVIII.

Quomodo distent in fructificando Arbores.

ΔΙΑΦΕΡΕΙ δὲ τὰ δένδρα καὶ τοῖς τοιούτοις κατὰ τὴν καρποτοκίαν· τὰ μὲν γὰρ, ἐκ τῶν *νέων [z] βλαστῶν φέρει, τὰ δὲ ἐκ τῶν *ἔνων, τὰ δὲ ἐξ ἀμφοτέρων. ἐκ μὲν τῶν νέων, Συκῆ, Ἄμπελος· ἐκ δὲ τῶν ἔνων, Ἐλαία, Ῥοιὰ, Μηλέα, Ἀμυγδαλῆ, Ἄπιος, Μύῤῥινος, καὶ σχεδὸν τὰ τοιαῦτα πάντα ἐκ τῶν ἔνων. ἐὰν δὲ ἄρα τὶ συμβῇ *κυῆσαι καὶ ἀνθῆσαι (γίνεται γὰρ καὶ ταῦτα ἐνίοις, ὥσπερ καὶ τῷ Μυῤῥίνῳ, καὶ μάλισθ', ὡς εἰπεῖν, περὶ τὰς βλαστήσεις τὰς μετ' ἀρκτοῦρον) οὐ δύνανται τελειοῦν, ἀλλ' ἡμιγενῆ φθείρεται. ἐξ ἀμφοτέρων δὲ, καὶ τῶν νέων καὶ τῶν ἔνων, εἴτινες ἄρα Μηλέαι τῶν [a] διφόρων, καὶ εἴτι ἄλλο [οὕτως] κάρπιμον. ἔτι δὲ καὶ ὁ *ὄλυνθος ἐκπέττων, καὶ σῦκα φέρων ἐξ ἔνων. ἰδιωτάτη δὲ ἡ ἐκ τοῦ στελέχους ἔκφυσις, ὥσπερ τῆς ἐν Αἰγύπτῳ Συκαμίνου· καὶ ταύτην γάρ φασι φέρειν ἐκ τοῦ στελέχους· [b] οἱ δὲ μὲν ἐκ τῶν ἀκρεμόνων, ὥσπερ [c] ἡ Κερωνία. αὕτη γὰρ ἐκ τούτων φέρει, πλὴν οὐ πο-

[z] βλάστον Ald. Bas.
[a] διαφόρων Bod. διφόρων Const.
[b] οἱ δὲ ταύτης μὲν Bas.
[c] τῆς κερωνίας. Bod.

λύν. καλῶσι δὲ Κερωνίαν, ἀφ' ἧς τὰ σῦκα τὰ Αἰγύπτια καλούμενα. ἔστι δὲ καὶ τὰ μὲν ἀκρόκαρπα τῶν [d]*δένδρων, καὶ ὅλως τῶν φυτῶν· τὰ δὲ, *πλαγιόκαρπα. τὰ δὲ ἀμφοτέρως· πλείω δὲ ἀκρόκαρπα τῶν ἄλλων, ἢ τῶν δένδρων, οἷον τῶν τε σιτηρῶν τὰ σταχυώδη, καὶ τῶν θαμνωδῶν, Ἐρείκη, καὶ [e]Σπειραία, καὶ Ἄγνος, καὶ ἄλλ' ἄττα· καὶ τῶν λαχανωδῶν τὰ *κεφαλόρριζα, ἐξ ἀμφοτέρων δὲ, καὶ τῶν δένδρων ἔνια καὶ τῶν λαχανωδῶν, οἷον [f]Βλίτον, [g]Ἀνδράφραξις, Ῥάφανος. ἐπεὶ καὶ ἡ Ἐλαία ποιεῖ πῶς τοῦτο, καί φασιν ὅταν ἐπ' ἄκρον ἐνέγκῃ, σημεῖον εὐφορίας εἶναι. ἀκρόκαρπος δέ πως καὶ ὁ Φοῖνιξ, πλὴν τοῦτό γε καὶ ἀκρόφυλλον καὶ [h]ἀκρόβλαστον. ὅλως γὰρ ἐν τῷ ἄνω πᾶν τὸ ζωτικόν. τὰς μὲν οὖν κατὰ μέρη διαφορὰς [τῶν καρπῶν] πειρατέον ἐκ τούτων θεωρεῖν.

CAP. XIX.

Repetuntur Differentiæ Plantarum.

ΑΙ δὲ τοιαῦται τῆς ὅλης οὐσίας φαίνονται [διαφοραὶ] δηλονότι τὰ μὲν ἥμερα, τὰ δὲ ἄγρια· καὶ τὰ μὲν κάρπιμα, τὰ δὲ ἄκαρπα· καὶ ἀείφυλλα καὶ φυλλοβόλα, καθάπερ ἐλέχθη· τὰ δὲ ὅλως ἄφυλλα· καὶ τὰ μὲν, ἀνθητικὰ, τὰ δὲ ἀνανθῆ, καὶ τὰ μὲν πρωϊβλαστῆ δὲ, καὶ πρωϊκαρπα, τὰ δὲ ὀψιβλαστῆ, καὶ ὀψίκαρπα· ὡσαύτως δὲ καὶ ὅσα παραπλήσια τούτοις. [i]καὶ τοιαῦτα ἐν τοῖς μέρεσιν διαφοραὶ εἰσι· ἀλλ' ἐκείνη ἰδιωτάτη, καὶ τρόπον τινὰ μεγίστη διάστασις, ἥπερ καὶ ἐπὶ

[d] δίναιων, Bod. [e] πειραία, Ald. [f] βλίττον, Const. [g] ἀναδράφαξις, Ald. [h] ἀκρόβλατον. Bod. [i] τά γε τοιαῦτα ἐν τοῖς μέρεσιν, ἢ οὐκ ἄνευ τῶν μερῶν Bod.

τῶν ζώων, ὅτι τὰ μὲν, ἔνυδρα· τὰ δὲ, χερσαῖα. καὶ γὰρ τῶν φυτῶν ἐστὶ τὸ τοιοῦτον γένος, ὁ οὐ δύναται φύεσθαι [k] εἰ μὴ ἐν ὑγρῷ· τὰ δὲ, φύεται μὲν, οὐχ ὅμοια δὲ, ἀλλὰ χείρω. πάντων δὲ τῶν δένδρων, ὡς ἁπλῶς εἰπεῖν, καὶ τῶν φυτῶν, εἴδη πλείω τυγχάνει καθ' ἕκαστον γένος· σχεδὸν γὰρ οὐδέν ἐστιν ἁπλοῦν. ἀλλ' ὅσα μὲν ἥμερα καὶ ἄγρια λέγεται, ταύτην ἐμφανεστάτην ἔχει καὶ μεγίστην διαφορὰν, οἷον, Συκῆ, Ἐρινεός· Ἐλαία, Κότινος· Ἄπιος, Ἀχράς· ὅσα δὲ ἐν ἑκατέρῳ τούτων, [l] ἐν τοῖς καρποῖς τε καὶ φύλλοις καὶ ταῖς ἄλλαις μορφαῖς τε καὶ τοῖς μορίοις. ἀλλὰ τῶν μὲν ἀγρίων * ἀνώνυμα τὰ πλεῖστα, καὶ ἔμπειροι ὀλίγοι· τῶν δὲ ἡμέρων καὶ ὠνομασμένων, πλείω, καὶ ἡ αἴσθησις κοινοτέρα· λέγω δὲ, οἷον, Ἀμπέλου, Συκῆς, Ῥοιᾶς, Μηλέας, Ἀπίου, Δάφνης, Μυρρίνης, [m] καὶ τῶν ἄλλων. ἡ γὰρ χρῆσις οὖσα κοινὴ, συνθεωρεῖν ποιεῖ τὰς διαφοράς. ἴδιον δὲ καὶ τοῦτ' ἐφ' ἑκατέρων, τὰ μὲν γὰρ ἄγρια τῷ ἄρρενι καὶ τῷ θήλει, ἢ [n] μόνως ἢ μάλιστα, διαιροῦσι· τὰ δὲ ἥμερα πλείοσιν ἰδέαις. ἔστι δὲ τῶν μὲν [o] ῥᾶόν τε λαβεῖν καὶ διαριθμῆσαι τὰ εἴδη· τῶν δὲ, χαλεπώτερον, διὰ τὴν πολυχοίαν. ἀλλὰ δὴ τὰς μὲν τῶν μορίων διαφορὰς καὶ τῶν ἄλλων ἕξεων, ἐκ τούτων πειρατέον θεωρεῖν· περὶ δὲ τῶν γενέσεων, μετὰ ταῦτα λεκτέον, τοῦτο γὰρ ὥσπερ ἐφεξῆς τοῖς εἰρημένοις ἐστίν.

[k] φύεσθαι ἐν ὑγρῷ· Bod. [l] ἐν τοῖς καρποῖς deest Ald.
[m] καὶ τῶν ἄλλων deest Ald. [n] μόνοις Bod. [o] ῥᾶον τι Bod.

NOTÆ

IN LIBRUM PRIMUM.

Partes constituentes Plantarum.

CAP. I.

Ταχὰ δ' οὐχ ὁμοίως. Brevitas summa, ut recte observavit D. Moldenhawer, in comparatione Animalium cum Plantis ad finem capitis hujusce; de qua consulendus Aristoteles Hist. Anim. v. 3.

Ὥςι οὔδεν ἄτοπον. Vide super hac re Lib. de Caus. Plant. ii. 20, 22, 23. v. 2.

Δι' ἴσου, sc. διαςήματος. Æquidistans.

CAP. II.

Ἔςι δὶ πρῶτα καὶ μέγιςα. Sic Aristoteles Hist. Anim. ὅσα τῶν μέρων, ὅλα ὄντα, ἕτερα μέρη ἔχει ἐν αὐτοῖς ἴδια· οἷον κεφαλὴ κ. τ. λ.

Χρονιώτερα ταῖς ῥίζαις. Quarum radix perennat. Bot.

Τῷ ἐφ' ἵν, sc. εἶναι. Trunco simplici instrui. Vid. Plin. Nat. Hist. xiv. l. 30.

Ὁμοιομέρης. ἀνομοιομέρης. Consulendus de hac re Aristoteles de Gen. Anim. i. 1. et Lex. Theophr.

Ἐκ τῶν αὐτῶν ὁτιοῦν μέρος. Partes singulæ ex iisdem vasis, fibris, membranis, &c.

Τὰ μέγιστα μέρη σχεδὸν ταῦτά ἐστιν. Finis cap. ii. apud Bodæum.

Ἄλλα δ' ἐξ ὧν ταῦτα· ad ὁμοιομερὴ pergit Auctor.

CAP. III.

Μενίςωρ. Rei Herbariæ Auctor, cujus opera haud extant.

Ἀνωνύμως, simpliciter τὸ ὑγρόν.

Ὑγρότητα καὶ θερμότητα σύμφυτον. De calido vitæ principio copiosissime tractat Mold. Tent. p. 83. Vocat. θέρμ. γόνιμον.

de Caus. Plant. i. 4. Confer item Galen. Ab Aristotele vocat, τὸ θέρμον φυσικόν. ii. 3.

Ἀλλὰ δ' εἴδη ἕτερα. Diversa sc. ab ὑγρῷ καὶ θέρμῳ. Initium cap. iv. Bod.

Ἰνὰς—φλεβάς. Mira sagacitas Auctoris in describendis tenuissimis hisce vasculis: quæ tamen nostro seculo ad ἀκμὴν producta sunt. Copiosissime de hac re Mold. Tent. p. 91.

Ξύλον, σάρξ. Vid. Mold. p. 108.

Μήτρα comparatur μυελῷ ἐν ὀστοῖς. Sed breviter tamen, et anguste, ut solet, μήτραν vegetabilium describit Auctor; perspicue tamen, si vim verborum perpendas. Alibi mentio fit, i. 9. iv. 2. De Caus. Plant. v. 6, 7, 24.

CAP. IV.

Ἐφ' ὧν ἐνδέχεται. In iis quæ divisionem admittunt.

Παρὰ τὴν ἀγωγήν. Ope culturæ, &c. Freq. usus apud Theophrastum.

Ἐλαίας κοπάδας. Vox κοπάδες de sylva cædua interpretatur, sed hic forsan de arbore decapitato.

CAP. VI.

Πάντων δὲ λεπτέον ἀεὶ— Obscura lectio, si sana: sensus est, πάντων δὲ λεπτέον ἀεὶ τὰς διαφορὰς τοῖς τόποις respectu climatis, &c.

Ἄλλο κατ' ἄλλο γένος τῶν ὑγρῶν, i. e. Plantæ aquaticæ respectu τόπων inter se discrepant.

Ἐλάττω—μείζω. Priores Fuci et Ulvæ, posteriores alibi δενδρύφια vocati; Gorgoniæ, Corallinæ. Vid. iv. 8.

CAP. VII.

Παχός. Hic crassitiem vel molem trunci indicat. Opponitur τῇ λεπτότητι, gracilitati.

Ἐξ ὧν ἡ σύνθεσις. Respectu partium componentium. Opponitur τοῖς κατὰ τὰ πάθη καὶ τὰς δυνάμεις.

CAP. VIII.

Μήτραις. Vid. cap. iii. p. 9. l. 6. N. B. Cap. IX. Bodæi.

Ἔνια μὴ ἔχει—καὶ τὴν Ἀκτήν. In junioribus Sambuci ramis non inest medulla.

Μέλαιναι πᾶσαι μήτραι. Significatio vocis μελὰς Scaligerum latuit. Vid. Bod. p. 24. et Lex. Theophr.

Ὅλως ἔνια μὴ ἔχει. De Fungis sermo est: vid. Cat. Syst. quorum nulla affinitas cum plantis aliis. Vid. Bod. p. 27.

Διαφέρουσι καὶ ταῖς ῥίζαις. Vid. de hac re Plin. xvi. 31.

Θυσανώδεις. Fimbriati, Plin. sed alius sensus vocis θύσανοι, vittæ, fibrarum penicilli. Poll. Vid. Lex. Theophr.

CAP. IX.

Τοῖς ὑπὲρ γῆς, sc. μέρεσι.

Ἡ μὲν γὰρ ῥίζα, i. e. radix in genere.

CAP. X.

Στέφοντες βωμούς. Forsitan legend. λέγοντες θωμοὺς, colligentes acervos.

Φέρουσι καρπόν. Adde κάτω: sub terra de tuberibus. Vid. Icon. Ἀραχίδνας, Bod. p. 35.

Ὁ καρπὸς, sc. tuber e radice.

Πρότερον τῶν ἄνω, sc. μέρων.

Ταῦτα μεγάλα συμβάλλεται. Notandum est vocem φύσις pluraliter sumendam.

Πάντων δ' ὁμοίως οἱ χυλοί. Initium cap. Bod.

Ἀπὸ γὰρ τῶν βλαστῶν. Mira descriptio habitus Ficus Indicæ L. Angl. "The Banyan Tree."

Ἂν ὕλη βαθεία. Sensus est, si materies aliqua interveniat inter semen et terram, διαίρει τὴν ῥίζαν πρὸς τὴν γῆν, flectit radicem versus terram donec attingat.

CAP. XI.

Ἐν οἷς εἰσιν ἄμφω, sc. γένη. Etsi distinctio sexualis occurrat in Palma, communiter tamen voces ἄῤῥην, θῆλυς varietatibus specierum attribuuntur, utpote quæ robustiores et infructiosiores, vel e contra observantur.

Ἰδιώτατοι δὲ οἱ τῆς Μηλέας. Verba hæc parenthesi inclusa ex margine irrepserunt, ut suspicor, et descriptionem habitus Ἐλάτης interrumpunt. Etsi vix possibile sit conjicere quid sibi vult Auctor respectu θηρίων προσώποις, locum tamen sic interpretatur Plin. Nat. Hist. l. xvi. c. 30. "Malis proprium genus

" ramorum, ferarum enim rostra reddunt, adhærentibus uni " maximo minoribus."

Ὄζων, οἱ μὲν τυφλοί. Observ. vocem ὄζος duplici sensu occurrere, ut ramus, et nodus in trunco.

Διὰ τὸ μηδὲν ἀνὰ μέσον προσκεῖσθαι. Quia nulla intervalla sunt. Scal.

Κοιλοτήτας ἰδίας. Vid. voc. ἧλος Lex. Theophr. Hypoxyli species, ut suspicor. Vid. iv. 16.

Ἔστι μὲν οὖν. Capitulum priori addendum utpote continuatio.

Εἰς μῆκος αὐξητικά. De trunco sermo est: qui vel procerus, et non ramosus, vel qui εὐθὺς σχίζεται. Suspicor etiam quæ sequuntur, τὰ δὲ ὁμοίως τούτοις, sic legenda esse; ῥίζα δὲ ὁμοίως τούτοις. Sic Virgilius: " Quantum vertice ad auras æthereas " tantum radice ad Tartara."

Λεπτὰ γίνεται, sc. ἀγωγῇ.

CAP. XII.

Ἔτι δὲ τὰ μὲν ἀείφυλλα. Hic initium fit cap. xv. Bodæus.

Τοῦ χειμῶνος μεταλαμβάνειν. Hyemem usque ad mediam durare.

CAP. XIII.

Ὥσπερ ἡ χείρ. Plinius in loco xvi. 24. ait, φλίβας ἐν τοῖς πρανέσιν, " incisuras subter," id est, lineas cavas, ut in palma manus.

Ὁπότερον πρὸς τῷ κλωνὶ, i. e. ex conversione foliorum dubium esse utra pars superior, utra inferior; ἡ γὰρ ὑπτιότης respectu situs, diversa a folii natura.

Μὴ ὁμοίως ἀλλοιῶσθαι. Opponitur conversionibus διὰ τῶν φλίβων ἢ ἰνῶν, i. e. non modo constanti, regulari.

Βάθος διῖδν interpretandum de crassitudine folii.

Πρινώδη. Forsan κτενώδη vel κτανεώδη. Vid. Præf. Illustr. Theophr. p. v. Item descr. Ἐλάτης, l. iii.

Δρυὸς ἐκ τοῦ στελέχους. Plinius idem observat de foliis Quercus, Nat. Hist. xvi. 24. Bodæus ait se nunquam observasse. Suspicor errorem textus: legend. forsan Κυπρίας. Vid. de Συκῇ Κυπρ. iv. c. 2.

Ὅλος ὁ κυλὸς ἄφυλλος. Accurate describit scapum Botanicorum.

Δι' αὐτοῦ. Ex seipso: de folio sessili. Bot.

Μεταξὺ περιειληφότα τ. κ. Fructu in medio folii.

CAP. XIV.

Τοῖς μὴ ἐπετείοις [μέρεσι]. Partes plantæ persistentes, ut truncus, rami, &c. Οὐδὲν γὰρ ἄνευ τούτου [ὑγροῦ].

Τῶν ἀνθῶν, τὰ μὲν ἐκ φλοιοῦ. Mirum quid sibi vult Theophr. Flores ex cortice et nervis. Error certe textus, et legendum pro τῶν ἀνθῶν, τῶν ἄλλων (sc. μίσχων). De Floribus vid. c. 21. 22.

CAP. XV.

Εὐθὺς τὸ σπέρμα μετὰ τὸ περιέχον. Semen simplici tegmine. In hoc capite sex notantur seminum genera, quorum enumeratio confusa et prælonga. Hæc sunt 1. sem. simplicia cum tegmine; Palmæ. 2. ἐκ πυρῆνος καὶ σαρκὸς—Drupæ. 3. ἐν λοβῷ—siliquosæ. 4. ἐν ὑμένι τινὶ, folliculo membranaceo, ut Pyrus, Malus. 5. ἀγγειοσπέρματα, Pericarpio laxo, rigido; Papaver. 6. γυμνοσπέρματα, sine tegmine; umbelliferæ.

Οἷον ἡ ῥάξ. Hic loci textus corruptissimus. Distinctio Theophr. granorum plurium κοινῷ τινὶ περιεχομένων, ut ῥὰξ vel γίγαρτον in uva: itemque in semine. N. B. Πυρῆνες Mali Granati opponuntur granis singulis Tritici &c. Ἥκιστα δ' ἂν δόξειεν τὰ τῶν Μηλῶν. Minime tamen iis adjungenda τὰ τ. Μ. quæ in parte interiore fructus membranis circumvolvuntur.

Ἀλλ' ὁμοίως καὶ τούτων ἕκαστον. Vid. errorem librarii in transcribendo supra ἐπὶ καθέκαστόν γε λαμβάνοντι.

CAP. XVI.

Ἐν τοῖς περὶ χυλῶν. Hist. de Caus. Plant. l. vi.

Θριδακίνης. Succus ὑδάρης dicitur minus recte. Fors. error textus, utpote supra pro ὀπώδης de succo Ficus et Papaveris γαλακτώδης ponend.

Ἤπερ οἰκεῖα. Sensus est, succum peculiarem cujusvis plantæ ὁμοιότητα τινὰ ἔχειν, in seipso antequam coctio et maturatio fiat in fructu quæ efficitur ope pericarpii.

Ἐνίων εὔοσμα. Vid. fusius de odoribus Theophr. de Caus. Plant. l. i. 6. ut et de succis.

CAP. XVII.

Ἔξω θαλάττης. Mare rubrum intelligitur.

Διαγραφὴν ἔχοντα. Aquilegia vulgaris sub nomine Ἰασιώνης a Botanicis plerisque indicatur; et descriptio, etsi intricata, mire convenit convolutionibus petalorum: etiam οὐ κεχώρισται ἐν τῷ ἄνθει.

N. B. Quibusdam forte magis arridebit Bodæi conjectura, Convolvulum sepium &c. hic indicari, quo sensu διαγραφὴν μόνον τῶν πλειόνων interpretandum de amplitudine floris.

Διατετρημένα φαίνεται. Mira Auctoris ἀκρίβεια, quando flos foratus, i. e. sine stigmate decidit, fructus incipiens manet; quando συγκαυθῇ ἢ βρεχῇ, vel sole nimio vel pluvia afficiatur συναποβάλλει τὸν καρπόν. Vid. obs. infra, ὅσα τῶν ἄνθων ὥσπερ ἠλακάτην ἔχει, εἶναι γόνιμα.

Ἐπ' αὐτῶν τῶν στομάτων. De Plantis syngenesiis sermo est; στόμα igitur receptaculum commune in hac classe.

Ὥσπερ ἠλακάτην. De stigmate floris Citri Aurantii.

Εὐθὺς προφαίνειν τὸν καρπὸν, i. e. sine flore vel petalis.

CAP. XVIII.

Ὁ ὄλυνθος. Ficus Carica, &c. a Linnæo inter Tricœcias annumeratur. Ὁ Ἐρινεὸς, ex quo τὰ ἐρινὰ, (quæ forsan οἱ ὄλυνθοι,) arbor Mas; Συκῆ arbor Monœcia.

CAP. XIX.

Αἱ δὲ τοιαῦται. Summarium et recapitulatio libri hujus.

Εἴδη πλείω καθ' ἕκαστον γένος. Species plures sub uno genere. Distinctio vere Linnæana!

Ἥμερα καὶ ἄγρια. Hic distinctio sumitur ex sexu: sed quid sibi vult? Plantas sylvestres sexu distingui, cultas vero πλείοσιν ἰδίαις; anne indicat varietates fructuum?

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Β'.

CAP. I.

De Modo Generationis Sationisque in Arboribus.

Αἱ *γενέσεις τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν, ἢ αὐτόματοι· ἢ ἀπὸ σπέρματος· ἢ ἀπὸ ῥίζης· ἢ ἀπὸ παρασπάδος· ἢ ἀπὸ ἀκρέμονος· ἢ ἀπὸ κλωνός· ἢ ἀπ' αὐτοῦ τοῦ ξυλέχους ἐστίν· ἢ ἔτι τοῦ ξύλου κατακοπέντος εἰς μικρά· καὶ γὰρ οὕτως ἀναφύεται. τούτων δὲ ἡ μὲν αὐτόματος, πρώτη τίς· ἡ δὲ ἀπὸ σπέρματος καὶ ῥίζης φυσικώτατα δόξαιεν ἂν, ὥσπερ γὰρ αὐτόματοι καὶ αὐταί· διὸ καὶ τοῖς ἀγρίοις ὑπάρχουσιν· αἱ δὲ ἄλλαι τέχνης, ἢ ἀπὸ προαιρέσεως. ἅπαντα δὲ βλαστάνει κατά τινα τῶν τρόπων τούτων, τὰ δὲ πολλὰ κατὰ πλείους. Ἐλαία μὲν γὰρ πάντως φύεται, πλὴν ἀπὸ *κλωνός. [a] οὐ γὰρ δύναται [b] καταπηγνυμένης, ὥσπερ ἡ Συκῆ, τῆς κράδης, καὶ ἡ Ῥοιὰ τῆς ῥάβδου, καίτοι φασί γέ τινες ἤδη καὶ χάρακος [c] παγείσης συμβιῶσαι καὶ γενέσθαι δένδρον, ἀλλὰ σπάνιόν τι τὸ τοι-

[a] καὶ οὐ Ald. [b] καταπηγνυμένη, Bod. [c] παγείσης, καὶ πρὸς τὸν Κιττὸν συμβιῶσαι Bod.

οὗτον, θάτερα δὲ, ἢ τὰ πολλὰ, τῆς φύσεως. Συκῆ δὲ τοὺς μὲν ἄλλυς τρόπυς φύεται πάντας, ἀπὸ δὲ τῶν *πρέμνων καὶ τῶν ξύλων οὐ φύεται· Μηλέα δὲ καὶ Ἄπιος ἀπὸ τῶν ἀκρεμόνων σπανίως. ὁ μὴν ἀλλὰ τά τε πολλὰ, ἢ πάνθ', ὡς εἰπεῖν, *ἐνδέχεθαι δοκεῖ καὶ ἀπὸ τούτων, ἐὰν λεῖοι καὶ νέοι καὶ [d]εὐαυξεῖς ὦσιν· ἀλλὰ φυσικώτεραί πως ἐκεῖναι. τὸ δὲ ἐνδεχόμενον ὡς δυνατὸν ληπτέον, ὅλως γὰρ ὀλίγα τὰ ἀπὸ τῶν ἄνω μᾶλλον βλαστάνοντα καὶ γεννώμενα, καθάπερ Ἄμπελος ἀπὸ τῶν κλημάτων, αὕτη γὰρ οὐδ' ἀπὸ τῆς *πρώρας, ἀλλ' ἀπὸ τοῦ κλήματος φύεται· καὶ εἰ δή τι τοιοῦτον ἕτερον, ἢ δένδρον ἢ φρυγανῶδες· ὥσπερ δοκεῖ τό, τε Πήγανον, καὶ ἡ [e]Ἰωνία, καὶ τὸ Σισύμβριον, καὶ ὁ Ἔρπυλλος, καὶ τὸ Ἐλένιον. κοινωτάτη μὲν οὖν ἐστὶ πᾶσιν, ἥ τε ἀπὸ τῆς παρασπάδος, καὶ ἀπὸ σπέρματος· ἅπαντα δὲ ὅσα ἔχει σπέρματα καὶ ἀπὸ σπέρματος γίνεται· ἀπὸ δὲ παρασπάδος καὶ τὴν Δάφνην φασὶν, ἐάν τις τὸ [f]*περίεργον παρελὼν φυτεύσῃ. δεῖ δὲ τὸ παρασπώμενον *ὑπόρριζον, ἢ ὑπόπρεμνον εἶναι. οὐ μὴν ἀλλὰ καὶ ἄνευ τούτυ θέλει βλαστάνειν καὶ Ῥοιὰ, καὶ Μηλέα ἐαρινή· βλαστάνει δὲ καὶ ἡ Ἀμυγδάλη φυτευομένη· κατὰ πλείστυς δὲ τρόπυς, ὡς εἰπεῖν, ἡ Ἐλαία βλαστάνει, ἀπὸ τοῦ στελέχυς, καὶ ἀπὸ τοῦ πρέμνυ κατακοπτομένου, καὶ ἀπὸ τῆς ῥίζης, καὶ ἀπὸ τοῦ ξύλυ, καὶ ἀπὸ ῥάβδυ, καὶ ἀπὸ χάρακος, ὥσπερ εἴρηται· τῶν δ' ἄλλων, ὁ Μύῤῥινος· καὶ γὰρ οὗτος ἀπὸ τῶν ξύλων καὶ τῶν πρέμνων φύεται. δεῖ δὲ καὶ τούτου, καὶ τῆς Ἐλαίας τὰ ξύλα διαιρεῖν μὴ ἐλάττω σπιθαμιαῖον, καὶ τὸν φλοιὸν μὴ περιαιρεῖν. τὰ μὲν οὖν δένδρα βλα-

[d] αὐξεῖς Bas. [e] ὠνία, Bod. [f] τὸν περιέχοντα Ald.

στάνει καὶ γίνεται κατὰ τοὺς εἰρημένους τρόπους. αἱ γὰρ *ἐμφυτεῖαι καὶ οἱ *ἐνοφθαλμισμοὶ, καθάπερ μίξεις τινές εἰσιν, ἢ κατ' ἄλλον τρόπον γενέσεις· περὶ ὧν ὕστερον λεκτέον.

CAP. II.

Quomodo Suffrutices, et Herbæ, itemque Arbores nascantur.

ΤΩΝ δὲ φρυγανωδῶν καὶ ποωδῶν τὰ μὲν πλεῖστα ἀπὸ σπέρματος καὶ ῥίζης· τὰ δὲ, καὶ [g] ἀμφοτέρως· ἔνια δὲ καὶ ἀπὸ τῶν βλαστῶν, ὥσπερ εἴρηται. Ῥοδωνιὰ δὲ, καὶ Κρινωνιὰ, κατακοπέντων τῶν καυλῶν, ὥσπερ καὶ ἡ Ἄγρωστις. φύεται δὲ ἡ *Κρινωνιὰ καὶ *Ῥοδωνιὰ, καὶ ὅλου τοῦ καυλοῦ τεθέντος. ἰδιωτάτη δὲ ἡ ἀπὸ *δακρύων· καὶ γὰρ οὕτω δοκεῖ τὸ Κρίνον φύεσθαι, ὅταν ξηρανθῇ τὸ ἀποῤῥυὲν [δάκρυ]. φασὶ δὲ καὶ περὶ τοῦ Ἱπποσελίνου, καὶ γὰρ τοῦτο ἀφίησι δάκρυον. φύεται δέ τις καὶ Κάλαμος, ἐάν τις διατέμνῃ τὰς *ἠλακάτας πλαγίας, ἢ καὶ καταχρύψῃ κόπρῳ καὶ γῇ. ἰδίως δὲ ἀπὸ ῥίζης [h] φύεται καὶ τὰ κεφαλόῤῥιζα. τοσαυταχῶς δὲ οὔσης τῆς δυνάμεως, τὰ μὲν πολλὰ τῶν δένδρων, ὥσπερ ἐλέχθη πρότερον, ἐν πλείοσι τρόποις, ὥς φασιν, ἐςίν· ἔνια δὲ ἀπὸ σπέρματος φύεται μόνον. οἷον Ἐλάτη, Πεύκη, Πίτυς· ὅλως πᾶν τὸ κωνοφοροῦν· ἔτι δὲ Φοῖνιξ, πλὴν εἰ ἄρα ἐν Βαβυλῶνι καὶ ἀπὸ τῶν [i] ῥάβδων, ὥς φασί τινες [k] μοσχεύειν· Κυπάριττος δὲ, παρὰ μὲν τοῖς ἄλλοις ἀπὸ σπέρματος, ἐν Κρήτῃ δὲ καὶ ἀπὸ τοῦ στελέχους, οἷον καὶ [l] ἀπὸ τῆς κουρᾶς ἐν Τάῤῥᾳ. παρὰ

[g] ἀμφοτέρω· Bod. ἀμφοτέρας· Ald. Bas. [h] φύισθαι Bod. [i] φύλλων· Const. [k] μωλύειν, Ald. Bas. [l] ἀπὸ τῆς ῥοείας Ald. Bas.

τούτοις γάρ ἐστιν ἡ κουριζομένη Κυπάριττος. αὕτη δὲ ἀπὸ τῆς τομῆς βλαστάνει πάντα τρόπον τεμνομένη, καὶ ἐπὶ γῆς, καὶ ἀπὸ τοῦ μέσου, καὶ ἀπὸ τοῦ ἀνωτέρου. βλαστάνει δὲ ἐνιαχοῦ ἀπὸ τῶν ῥιζῶν, σπανίως δέ. περὶ δὲ Δρυὸς ἀμφισβητοῦσιν· οἱ μὲν γὰρ, ἀπὸ σπέρματός φασι μόνον· οἱ δὲ καὶ ἀπὸ ῥίζης *γλίσχρως· οἱ δὲ, καὶ ἀπ' αὐτοῦ τοῦ στελέχους κοπέντος. ἀπὸ παρασπάδος δὲ καὶ ῥίζης οὐδὲν [m] φύεται τῶν μὴ *παραβλαστανόντων. ἁπάντων δὲ ὅσων πλείους [n] εἰσὶ γενέσεις, ἡ ἀπὸ παρασπάδος, καὶ ἔτι μᾶλλον ἡ ἀπὸ *παραφυάδος, ταχίστη δὲ, καὶ [μάλιστα] [o] εὐαυξὴς, ἐὰν ἀπὸ ῥίζης ἡ *παραφυὰς ᾖ. καὶ τὰ μὲν οὕτως, ἢ ὅλως τὰ ἀπὸ *φυτευτηρίων πεφυτευμένα, πάντα δοκεῖ τοὺς καρποὺς *ἐξομοιοῦν.

CAP. III.

Quamobrem degenerent aliquando Sata: quæ non degenerant, sed meliora quoque fiunt, etiam in Arboribus.

Ὅσα δὲ ἀπὸ τοῦ καρποῦ, τῶν δυναμένων καὶ οὕτω βλαστάνειν, ἅπανθ', ὡς εἰπεῖν, χείρω, τὰ δὲ καὶ ὅλως *ἐξίσταται τοῦ γένους. οἷον Ἄμπελος, Μηλέα, Συκῆ, [p] Ῥοιὰ, Ἄπιος. ἔκ τε γὰρ τῆς κεγχραμίδος οὐδὲν γίνεται γένος ὅλως ἥμερον, ἀλλ' ἡ Ἐρινεὸς, ἢ Ἀγρία Συκῆ, διαφέρουσα πολλάκις καὶ τῇ χροιᾷ. καὶ γὰρ ἐκ μελαίνης λευκὴ, καὶ ἐκ λευκῆς μέλαινα γίνεται· ἔκ τε τῆς Ἀμπέλου τῆς γενναίας, *ἀγεννὴς [φύεται]· καὶ πολλάκις ἕτερον γένος (ὅτε δὲ ὅλως οὐδὲν ἥμερον, ἀλλὰ ἄγριον ἐνίοτε, καὶ τοσοῦτον ὥστε μὴ [q] *ἐκπέτεσθαι τὸν

[m] φύεσθαι Bod. [n] αἱ Ald. Bas. [o] εὐαξὴς, Bas.
[p] Ῥοὰ, Const. [q] ἐκπίπτειν Const.

καρπὸν, αἱ δὲ ὥστε μηδὲ ἀδρύνειν, ἀλλὰ μέχρι τοῦ ἀνθῆσαι μόνον ἀφικνεῖσθαι). φυτεύονται δὲ καὶ ἐκ τῶν τῆς Ἐλαίας πυρήνων Ἀγριέλαιος, καὶ ἐκ τῶν τῆς Ῥοιᾶς κόκκων τῶν [r] γλυκέων [Ῥοιὰ] ἀγεννής. καὶ ἐκ τῶν *ἀπυρήνων, *σκληρὰ, πολλάκις δὲ καὶ ὀξεῖα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τῶν Ἀπίων καὶ ἐκ τῶν Μήλεων· ἐκ μὲν τῶν Ἀπίων, μοχθηρὰ ἡ Ἀχρὰς, [s] ἐκ δὲ τῶν Μήλεων χείρον τι τῷ γένει· καὶ ἐκ γλυκείας ὀξεῖα, καὶ ἐκ Στρυθίου Κυδώνιος. χείρων δὲ ἡ Ἀμυγδάλη [ἐκ τοῦ καρύου] καὶ τῷ χυλῷ, καὶ τῷ σκληρῷ ἐκ μαλακῆς, διὸ καὶ αὐξηθεῖσαν *ἐγκεντρίζειν κελεύουσιν, εἰ δὲ μὴ, τὸ μόσχευμα καταφυτεύειν πολλάκις. χείρων δὲ καὶ ἡ Δρῦς· ἀπὸ γοῦν τῶν ἐν [t] Ἠπείρῳ πολλοὶ φυτεύσαντες, οὐκ ἐδύνανθ' ὁμοίαν ποιεῖν. Δάφνην δὲ καὶ Μυῤῥίνην διαφέρειν ποτέ φασιν [ἐκ τῶν κόκκων]. ὡς ἐπιτοπολὺ δὲ ἐξίστασθαι, καὶ οὐδὲ τὸ χρῶμα διασώζειν, ἀλλ' ἐξ ἐρυθροῦ καρποῦ γίνεσθαι [u] μέλανα, ὥσπερ καὶ [x] τὴν ἐν Ἀντάνδρῳ. πολλάκις δὲ καὶ τὴν Κυπάριττον ἐκ θηλείας ἄῤῥενα. μάλιστα δὲ τούτων ὁ Φοῖνιξ δοκεῖ διαμένειν, ὥσπερ εἰπεῖν, τελείως· καὶ ἐκ τῶν ἀπὸ σπέρματος, ἡ Πεύκη, ἡ Κωνοφόρος, καὶ ἡ Πίτυς ἡ [y] *Φθειρόφορος· ταῦτα μὲν οὖν ἐν τοῖς ἡμερουμένοις, ἐν δὲ τοῖς ἀγρίοις δῆλον ὅτι πλείω κατὰ λόγον, ὡς ἰσχυροτέροις, ἐπεὶ θάτερόν ἐστιν ἄτοπον [z] εἴδ' ἐστὶν ἡ [φύσις] χείρων καὶ ἐν ἐκείνοις, καὶ ὅλως ἐν τοῖς ἀπὸ σπέρματος μόνον· εἰ μή τινα τῇ θεραπείᾳ δύνανται μεταβάλλειν. διαφέρουσι δὲ καὶ τόποι τό-

[r] γλαυκείων Ald. Bas. [s] ἐκ δὲ τῶν μήλων, χείρων τι Bod.
[t] Πύῤῥᾳ Ald. Bas. [u] μέλανον, Bod. [x] τὸν Bod.
[y] φθοροποιός· Ald. φθειροποιός· Const. [z] εἶδ' deest Bod.

πων, καὶ ἀὴρ ἀέρος· ἐνιαχοῦ γὰρ ἐκφέρειν ἡ χώρα δοκεῖ τὰ ὅμοια· καθάπερ καὶ ἐν Φιλίπποις· ἀνάπαλιν δὲ ὀλίγα καὶ ὀλιγαχοῦ λαμβάνειν μεταβολὴν, ὥστε ἐκ σπέρματος ἀγρίου ποιεῖν ἥμερον [καρπὸν], ἢ ἐκ χείρονος ἁπλῶς ποιεῖν [a] βελτίονα, τοῦτο γὰρ ἐπὶ τῆς Ῥοιᾶς μόνον ἀκηκόαμεν ἐν Αἰγύπτῳ καὶ ἐν Κιλικίᾳ συμβαίνειν. ἐν Αἰγύπτῳ μὲν γὰρ τὴν ὀξεῖαν, καὶ σπαρεῖσαν καὶ φυτευθεῖσαν, γλυκεῖαν [φασὶ] γίνεσθαί πως ἢ οἰνώδη, περὶ δὲ Σόλους τῆς Κιλικίας [b] παρὰ ποταμὸν Πίνναρον, [c] οὗ ἡ μάχη πρὸς Δαρεῖον ἐγένετο, αἱ Ῥοαὶ πᾶσαι γίνονται ἀπύρηνοι· εὔλογον δὲ καὶ εἴ τις τὸν παρ' ἡμῖν Φοίνικα φυτεύει ἐν Βαβυλῶνι, κάρπιμόν τε γίνεσθαι καὶ ἐξομοιοῦσθαι τοῖς ἐκεῖ· τὸν αὐτὸν δὲ τρόπον καὶ εἴ τις ἑτέρα προσάλληλον ἔχει καρπόν. ὅτω κρείττων γὰρ [d] ὁ τόπος τῆς ἐργασίας καὶ τῆς θεραπείας. σημεῖον δὲ, ὅτι μεταφερόμενα τἀκεῖθεν ἄκαρπα, τὰ δὲ καὶ ὅλως ἀβλαστῆ γίνεται. μεταβάλλει δὲ [τὰ φυτὰ] καὶ διὰ τὴν τροφὴν καὶ διὰ τὴν ἄλλην ἐπιμέλειαν, οἷον καὶ τὸ ἄγριον ἐξημερῶται, καὶ αὐτῶν δὲ τῶν ἡμέρων ἔνια καὶ ἀποῤῥεῖ· [e] οἷον τὰ ῥοὰ καὶ τὰ ἀμυγδάλα. πλὴν ἐκεῖνο δέ τινες καὶ ἐκ κριθῶν ἀναφῆναί φασι πυροὺς, καὶ ἐκ πυρῶν κριθὰς· καί πως τοῦ αὐτοῦ πυθμένος ἄμφω· ταῦτα μὲν οὖν ὡς μυθωδέστερα δεῖ δέχεσθαι. μεταβάλλει δὲ οὖν τὰ μεταβάλλοντα τὸν τρόπον τοῦτον, ἢ αὐτομάτως ἐξαλλαγῇ τῆς [f] χώρας, ὥσπερ ἐν Αἰγύπτῳ καὶ Κιλικίᾳ, περὶ τῶν

[a] βέλτιον, Ald. Bas. [b] παρὰ τὸν ποταμὸν τὸν λεγόμενον Πίνναρον, Const. [c] οὗ ἡ μάχη Ἀλεξάνδρῳ πρὸς Δαρεῖον ἐγένετο, αἱ Ῥοαὶ γίνονται ἀπύρηνοι, Const. [d] αὐτὸς τῆς ἐργάσιας Bod. [e] οἷον τὰ Ῥοά, Const. [f] ὥρας, Ald. Bas.

Ῥοιῶν εἴπομεν, δι' οὐδεμίαν θεραπείαν. ὡσαύτως δὲ καὶ ὅπου τὰ κάρπιμα ἄκαρπα γίνεται, καθάπερ καὶ [g] ἡ Πέρσεα ἐν Αἰγύπτῳ, καὶ ὁ Φοίνιξ ἐν τῇ Ἑλλάδι, καὶ εἰ δή τις κομίσειε τὴν ἐν Κρήτῃ λεγομένην Αἴγειρον. ἔνιοι δέ φασι καὶ τὴν [h] Οὔην, ἐὰν εἰς [i] *ἀλεεινὸν ἔλθῃ σφόδρα τόπον, ἄκαρπον γίνεσθαι, φύσει γὰρ [k] ψυχρά. εὔλογον δὲ ἀμφοτέρως συμβαίνειν κατὰ τὰς ἐναντιώσεις, εἴπερ μηδὲ ὅλως ἔνια φύεσθαι θέλει μεταβάλλοντα τοὺς τόπους. καὶ κατὰ μὲν τὰς χώρας αἱ τοιαύται μεταβολαὶ, κατὰ δὲ τὴν *φυτείαν, τὰ ἀπὸ τῶν σπερμάτων φυτευόμενα, καθάπερ ἐλέχθη· παντοῖαι γὰρ αἱ ἐξαλλαγαί· καὶ [l] ταῦτα τῇ θεραπείᾳ μεταβάλλει· ἡ Ῥοιὰ καὶ Ἀμυγδαλῆ· Ῥοιὰ μὲν κόπρον ὕειαν λαβοῦσα, καὶ ὕδατος πλῆθος *ῥυτοῦ· Ἀμυγδαλῆ δὲ, ὅταν *πάτταλόν τις ἐνθῇ, καὶ τὸ *δάκρυον ἀφαιρῇ τὸ ἐπιῤῥέον πλείω χρόνον, καὶ τὴν ἄλλην ἀποδιδῶ θεραπείαν. ὡσαύτως δὲ δηλονότι, καὶ ὅσα ἐξημεροῦται τῶν ἀγρίων, ἢ ἐπαγριοῦται τῶν ἡμέρων. τὰ μὲν γὰρ θεραπείᾳ, τὰ δὲ ἀθεραπευσίᾳ μεταβάλλει· πλὴν εἴ τις λέγει μηδὲ μεταβολὴν, ἀλλ' ἐπίδοσιν εἰς τὸ βέλτιον εἶναι καὶ χεῖρον· οὐ γὰρ οἷόν τε τὸν Κότινον ποιεῖν Ἐλαίαν, οὐδὲ τὴν Ἀχράδα ποιεῖν Ἄπιον, μηδὲ Ἐρινεὸν Συκῆν. ὃ γὰρ ἐπὶ τοῦ Κοτίνου φασὶ συμβαίνειν, ὡς ἐὰν ἀποκόπῃς τὴν *θαλίαν, ἢ ὅλως [m] μεταφυτευθῇς, φέρειν *φαυλίας, μετακίνησίς τις γίνεται οὐ μεγάλη. ταῦτα μὲν οὖν ὁποτέρως δεῖ λαβεῖν, οὐδὲν ἂν διαφέροι.

[g] τὸ Πέρσιον Bod. [h] Ὄην, Bod. [i] ἰλεεινὸν Ald. Bas. ἡλεεινὸν Const. [k] ψυχρὰ φιλεῖ vel ζητεῖ. Const. [l] τούτων τῇ θεραπείᾳ μεταβάλλει ἡ Ῥοὰ καὶ τῇ Ἀμυγδαλῇ· Const. τοῦτο τῇ θεραπείᾳ. Bod. [m] μεταφυτευθῇ, φέρειν θάλος, Bod.

CAP. IV.

Ostenta in Arboribus.

ΦΑΣΙ δὲ καὶ αὐτομάτην τινὰ γίνεσθαι τῶν τοιούτων μεταβολήν· ὁτὲ μὲν τῶν καρπῶν, ὁτὲ δὲ καὶ ὅλως αὐτῶν τῶν δένδρων, ἃ καὶ σημεῖα νομίζουσιν οἱ μάντεις. οἷον Ῥοιὰν [n] ὀξεῖαν γλύκεα [ῥοὰ] ἐξενεγκεῖν. καὶ πάλιν ἁπλῶς αὐτὰ τὰ δένδρα, ὥστε ἐξ ὀξείας γλυκεῖαν γίνεσθαι, καὶ ἐκ γλυκείας ὀξεῖαν, χεῖρον δι' τοῦτο, [o] εἰς γλυκεῖαν μεταβάλλειν· καὶ ἐξ Ἐρινεοῦ εἰς Συκῆν, καὶ ἐκ Συκῆς εἰς Ἐρινεόν· χεῖρον δὲ τὸ ἐκ Συκῆς. καὶ [p] ἐξ Ἐλαίας εἰς Κότινον, καὶ ἐκ Κοτίνου εἰς Ἐλαίαν· ἥκιστα δὲ τοῦτο. πάλιν δὲ Συκῆν ἐκ λευκῆς εἰς μέλαιναν, καὶ ἐκ μελαίνης εἰς λευκήν· ὁμοίως δὲ τοῦτο καὶ [q] ἐν Ἀμπέλῳ. καὶ ταῦτα μὲν ὡς τέρατα, καὶ παρὰ φύσιν λαμβάνουσιν· ὅσα δὲ καὶ * συνήθη τῶν τοιούτων, οὐδὲ [r] θαυμάζουσιν ὅλως, οἷον τὸ τῆς [s] Καπνίου Ἀμπέλου καλουμένης· ἐκ μέλανος γὰρ βότρυος λευκὸν, καὶ ἐκ λευκοῦ μέλαν φέρει· οὐδὲ γὰρ οἱ μάντεις τὰ τοιαῦτα * κρίνουσιν, ἐπεὶ [t] οὐδ' ἐκεῖνα, ἃ, παρ' οἷς πέφυκεν, ἡ χώρα μεταβάλλει, ὥσπερ ἐλέχθη περὶ τῆς Ῥοιᾶς ἐν Αἰγύπτῳ. ἀλλὰ τοῦτο ἐνθαῦτα θαυμαστὸν, διὰ τὸ μίαν μόνον ἢ δύο, καὶ ταύτας ἐν τῷ παντὶ χρόνῳ σπανίας, (ἀλλ' εἴπερ ἐν τῷ παντί;) μᾶλλον δὲ ἐν τοῖς καρποῖς γίνεσθαι τὴν παραλλαγὴν, ἢ ἐν ὅλοις τοῖς δένδροις, ἐπεὶ καὶ τοιαύτη τὶς ἀταξία γίνεται περὶ τοὺς

[n] ὀξεῖαν, γλυκεῖαν Bod. [o] τὸ εἰς γλυκεῖαν Bod. [p] ἐξ Ἐλαίας Κότινον, καὶ ἐκ Κοτίνου Ἐλαίαν· Bod. [q] ἐξ Ἀμπέλου. Bod. [r] θαυμάζειν Ald. Bas. [s] κάπνιων Ald. [t] εἰδ' ἐκεῖνα παρ' οἷς Bod.

καρπούς, [u] οἷον ἤδη ποτὲ Συκῆ τὰ σῦκα ἔφυσεν ἐκ τοῦ ὄπισθεν τῶν ἐρινῶν· καὶ Ῥοιὰ δὲ καὶ Ἄμπελος ἐκ τῶν στελεχῶν· καὶ Ἄμπελος, ἄνευ φύλλων ὤν, καρπὸν ἤνεγκεν· Ἐλαία δὲ τὰ μὲν φύλλα ἀπέβαλε, τὸν δὲ καρπὸν ἐξήνεγκεν· ὃ καὶ Θετταλῷ, τῷ Πεισιστράτου, γενέσθαι λέγεται· συμβαίνει δὲ καὶ διὰ χειμῶνας τοῦτο· καὶ δι' ἄλλας αἰτίας ἔνια τῶν δοκούντων εἶναι παρὰ λόγον, οὐκ ὄντων δέ, οἷον Ἐλαία ποτὲ [x] περικαυθεῖσα τελείως. [y] ἀνεβλάστησεν ὅλη, καὶ αὐτὴ, καὶ ἡ * θάλεια. ἐν δὲ τῇ Βοιωτίᾳ [z] Συκῇ, καταβρωθέντων τῶν * ἔργων ὑπ' ἀτελάβων, πάλιν ἀνεβλάστησε· ἥκιστα δὲ ἴσως τὰ τοιαῦτα ἄτοπα, διὰ τὸ φανερὰς ἔχειν τὰς αἰτίας, ἀλλὰ μᾶλλον [a] τὸ μὴ ἐκ τῶν οἰκείων τόπων φέρειν τοὺς καρπούς, [μᾶλλον] ἢ μὴ [b] οἰκείους. μάλιστα δὲ τῆς ὅλης φύσεως γίνεται μεταβολὴ, καθάπερ ἐλέχθη. περὶ μὲν οὖν τὰ δένδρα τοιαῦταί τινές εἰσι μεταβολαί.

CAP. V.

Quæ Herbæ degenerent, meliorescantve. Sisymbrium in Mentham; Triticum in Lolium. Legumina coctibilia et incoctibilia: et quo pacto crassescant.

ΤΩΝ δὲ ἄλλων, τό, τε Σισύμβριον εἰς [c] Μίνθην δοκεῖ μεταβάλλειν, ἐὰν μὴ κατέχηται τῇ θεραπείᾳ. διὸ καὶ μεταφυτεύουσι πολλάκις, καὶ ὁ Πυρὸς εἰς Αἶραν· ταῦτα

[u] ἡ Συκῆ ἐν τῇ Ἑλλάδι, καὶ περὶ Κιλικίαν, καὶ Κύπρον ὀλυνθοφόρον. αἱ μὲν τὰ μὲν σῦκα ἔφυσεν ἔμπροσθεν τῶν * θρίων, τὰς δ' ἐρινεὰς ἐξόπισθεν. αἱ δ' ὅλως ἐκ τοῦ ἔνου βλαστοῦ καὶ οὐκ ἐκ τοῦ νέου. Const. [x] ἀποκαυθεῖσα Ald. [y] ἀνεβλάστησεν Bas. [z] Συκῆ deest Ald. [a] τῷ μὴ Bod. [b] οἰκείως. Bod. [c] Καλαμίνθην ex Plin. Const.

μὲν οὖν ἐν τοῖς δένδροις αὐτομάτως, (εἴπερ γίνεται) τὰ δ' ἐν τοῖς ἐπετείοις διὰ παρασκευῆς, οἷον ἡ Τίφη καὶ ἡ Ζειὰ μεταβάλλουσιν εἰς Πυρὸν, ἐὰν *πτισθεῖσαι σπείρωνται· καὶ τοῦτο οὐκ εὐθὺς, ἀλλὰ τῷ τρίτῳ ἔτει· σχεδὸν δὲ παραπλήσιον τοῦτό γε τῷ τὰ σπέρματα κατὰ τὰς χώρας μεταβάλλειν, μεταβάλλει γὰρ καὶ ταῦτα καθ' ἑκάστην [d]χώραν, καὶ σχεδὸν ἐν τῷ ἴσῳ χρόνῳ, ὡς καὶ ἡ Τίφη· μεταβάλλουσι δὲ καὶ οἱ ἄγριοι Πυροὶ, καὶ αἱ Κριθαὶ θεραπευόμεναι καὶ ἐξημερούμεναι κατὰ τὸν ἴσον χρόνον. καὶ ταῦτα μὲν ἔοικε χώρας τε μεταβολῇ, ἢ καὶ θεραπείᾳ γίνεσθαι, καὶ ἔνια [e]ἀμφοτέρως· τὰ δὲ τῇ θεραπείᾳ μόνον, οἷον, πρὸς τὸ τὰ Ὄσπρια μὴ γίνεσθαι *ἀτέραμνα, βρέξαντα κελεύουσιν ἐν νίτρῳ νυκτὶ, τῇ ὑστεραίᾳ σπείρειν ἐν ξηρᾷ. Φακούς τε ὥστε ἁδροὺς γίνεσθαι, φυτεύουσιν [f]*ἐμβολήτους· τοὺς Ἐρεβίνθους δὲ, ὥστε μεγάλους [γίνεσθαι], αὐτοῖς *κελύφεσι βρέξαντα σπείρειν. μεταβάλλουσι δὲ καὶ κατὰ τὰς ὥρας τοὺς [g]σπόρους πρὸς κυφότητα, καὶ [h]δ' *ἀλυπίαν· οἷον, ἐάν τις τοὺς Ὀρόβους ἐαρινοὺς σπείρῃ τρὶς, ἀλύποι γίνονται, καὶ οὐχ ὡς οἱ μετοπωρινοὶ, *βαρεῖς. γίνεται δὲ καὶ ἐν τοῖς λαχάνοις μεταβολὴ διὰ τὴν θεραπείαν, οἷον, Σέλινον, ἐὰν σπαρὲν καταπατηθῇ καὶ κυλινδρωθῇ, ἀναφύεσθαί φασιν *ὅλον· μεταβάλλει δὲ, καὶ τὴν χώραν ἐξαλάττον, καθάπερ καὶ τ' ἄλλα· καὶ τὰ μὲν τοιαῦτα κοινὰ πάντων ἐστίν. εἰ δὲ κατά τινα πήρωσιν ἢ ἀφαίρεσιν μέρους, δένδρον ἄγονον γίνεται, καθάπερ τὰ ζῶα, τοῦτο ἐπισκεπτέον. οὐδὲν γοῦν φανερὸν κατά τε τὴν διαίρεσιν εἰς τὸ πλείω

[d] ὥραν, Bod. [e] ἀμφοτέρους· Bod. [f] ἴμβολον· Ald. Bas. ἰμβόλῳ· Bod. [g] πόρους Ald. Bas. Bod. [h] δι' ἀλυπίαν. Bod.

καὶ ἐλάττω φέρειν, ὥσπερ κακούμενον, ἀλλ' ἢ ἀπόλλυται τὸ ὅλον, ἢ διαμένοντα καρποφορεῖ· τὸ δὲ γῆρας, κοινή τις φθορὰ πᾶσιν. ἄτοπον δ' [i] οὐκ ἂν δόξειεν. μᾶλλον δ' ἐν τοῖς ζώοις αἱ τοιαῦται μεταβολαὶ φυσικαί, καὶ πλείους· καὶ γὰρ κατὰ τὰς ὥρας ἔνια δοκεῖ μεταβάλλειν, ὥσπερ καὶ ὁ Ἴεραξ, καὶ Ἔποψ, καὶ ἄλλα τῶν ὁμοίων ὀρνέων· καὶ κατὰ τῶν τόπων ἀλλοιώσεις, ὥσπερ ὁ Ὕδρος [k] ἐς Ἔχιν, ξηραινομένων τῶν *λιβάδων· φανερώτατα δὲ καὶ κατὰ τὰς γενέσεις ἔνια τῶν ζώων, καὶ μεταβάλλει διὰ πλειόνων. οἷον, ἐκ *Κάμπης γίνεται [l] *Χρυσαλίς· εἶτ' ἐκ ταύτης *Ψύχη· καὶ ἐπ' ἄλλων δέ ἐςι τοῦτο πλειόνων. οὐδὲν δ' ἴσως ἄτοπον, οὐδὲ ὅμοιον τὸ ζητούμενον. ἀλλ' ἐκεῖνο συμβαίνει περὶ τὰ δένδρα καὶ ὅλως πᾶσαν τὴν ὕλην, ὥσπερ ἐλέχθη καὶ πρότερον, ὥστε αὐτομάτως μεταβλαστάνειν, μεταβολῆς τινὸς γενομένης ἐκ τῶν οὐρανίων τοιαύτης.

CAP. VI.

Propagationes Arborum ex Semine, Stolonibus, Surculis; item per Insitionem.

ΤΑ μὲν οὖν περὶ τὰς γενέσεις καὶ μεταβολὰς ἐκ τούτων, θεωρητέον. ἐπεὶ καὶ αἱ ἐργασίαι καὶ αἱ θεραπεῖαι μεγάλα συμβάλλονται, καὶ ἔτι πρότερον αἱ φυτεῖαι, καὶ ποιοῦσι μεγάλας διαφορὰς, λεκτέον καὶ περὶ τούτων· καὶ πρῶτον περὶ τῶν φυτειῶν. αἱ μὲν οὖν ὧραι πρότερον εἴρηνται, καθ' ἃς δὴ τά τε φυτὰ λαμβάνειν κελεύουσιν, ὡς μάλιςα, καὶ ἐξ ὁμοίας γῆς [m] εἰ δὲ μὴ, μὴ

[i] οὐκ deest Ald. Bas. [k] ἐπίχει, Ald. Bas. ἐπιίχει Const. Scal. [l] χρυσαλλίς. Const. [m] εἰς ἣν μέλλει φυτεύειν, ἢ χείρονος. Ald. Bas. Bod.

χείρονος. τοὺς δὲ *γυροὺς προσορύττειν ὡς πλείστου χρόνυ, καὶ βαθυτέρυς, εἰ μὴ τοῖς ἐπιπολαιορρίζοτέροις. λέγουσι δέ τινες, ὡς οὐδεμία ῥίζα κατωτέρω διϊκνεῖται τριῶν ἡμιποδίων, διὸ καὶ ἐπιτιμῶσι τοῖς ἐν μείζονι βάθει φυτεύυσιν· οὐκ ἐοίκασι δὲ ὀρθῶς λέγειν ἐπὶ πολλῶν· ἀλλ' ἐὰν μὲν *χώματος ἐπιλάβηται βαθέως, καὶ χώρας τοιαύτης, ἢ καὶ τόπυ, πολλῷ μακρότερον ὠθεῖ τὸ τῇ φύσει βαθύρριζον· Πεύκην δέ τις μεταφυτεύων μεμοχλευμένην, ἔφη μείζω τὴν ῥίζαν ἔχειν ἢ ὀκτάπηχυν, καίπερ οὐχ ὅλης ἐξαιρεθείσης, ἀλλ' ἀπορραγείσης. τὰ δὲ *φυτευτήρια, ἐὰν μὲν ἐνδέχεται, *ὑπόρριζα· εἰ δὲ μὴ, δεῖ μᾶλλον [n] πρὸς τὰ κάτω, ἢ πρὸς ἄνω λαμβάνειν, πλὴν Ἀμπέλυ. καὶ τὰ μὲν ἔχοντα ῥίζας, ὀρθὰ ἐμβάλλειν, τὰ δὲ μὴ ἔχοντα *ὑποβάλλειν τῇ φυτευτηρίυ, οἷον σπιθαμὴν ἢ μικρῷ πλεῖον. ἔνιοι δὲ κελεύουσι καὶ τῶν ὑπορρίζων ὑποβάλλειν· τιθέναι δὲ καὶ τὴν θέσιν ὁμοίως, ἥνπερ εἶχεν [o] ἐπὶ τῶν δένδρων· τὰ πρὸς βορρᾶν, καὶ τὰ πρὸς ἕω, καὶ τὰ πρὸς μεσημβρίαν. ὅσα δὲ ἐνδέχεται τῶν φυτῶν, δεῖ *προμοχεύειν· τὰ μὲν, ἐπ' αὐτῶν τῶν δένδρων· οἷον Ἐλαία, Μηλέα, Ἀπίος, Συκῆ· τὰ δὲ ἀφαιροῦντας, οἷον, Ἀμπέλυ· ταύτην γὰρ ὐχ οἷόν τε ἐπ' αὐτῆς μοχεύειν. ἐὰν δὲ *ὑπόρριζα τὰ φυτά· μηδὲ [p] ἀπόπρεμνα λαμβάνειν ἐνδέχεται, (καθάπερ ἐκ τῆς Ἐλαίας, καὶ Συκῆς, καὶ τῶν ἄλλων.) [q] ξύλον τμητέον, καὶ μεταβληθέντος λίθου, φυτευτέον. φυτεύεται καὶ ἡ Συκῆ, ἐάν τις κράδην παχεῖαν ἀποξύνας σφυρᾷ παίσῃ, ἄχρι οὗ ἂν ἀπολίπῃ μικρὸν ὑπὲρ τῆς γῆς, εἶτ'

[n] πρὸ τῶν κάτω ἢ τῶν ἄνω Bod. [o] ἔνια τῶν δένδρων Bod.
[p] ὑπόπρεμνα Const. [q] ξύλον τμητέον, καὶ μεταβληθέντος λίθυ φυτευτέον omittunt Ald. Bas.

ἐπ' αὐτῆς [r] ἄμμον, βαλὼν ἄνωθεν, ἐπιχώσῃ· καὶ γίνεσθαι δέ φασι καλλίω ταῦτα τὰ φυτὰ, μέχρι οὗ ἂν ᾖ νέα. παραπλήσια καὶ τῶν Ἀμπέλων, ὅταν ἀπὸ τοῦ πατάξαι· (προοδοποιεῖ γὰρ οὕτω) φυτεύεσι δ' οὕτως καὶ Ῥοιὰν, καὶ ἄλλα τῶν δένδρων. ἡ Συκῆ δὲ, ἐὰν ἐν *σκίλλῃ φυτευθῇ, θᾶττον παραγίνεται, καὶ ἧττον ὑπὸ σκωλήκων κατεσθίεται. ὅλως δὲ πᾶν ἐν σκίλλῃ φυτευόμενον εὔβλαστες, καὶ θᾶττον αὐξάνεται. ὅσα δὲ ἐκ τοῦ στελέχους, καὶ διακοπτόμενα φυτεύεται, κάτω τρέποντα τὴν τομὴν δεῖ φυτεύειν, διακόπτειν δὲ μὴ ἐλάττω σπιθαμιαῖον, ὥσπερ ἐλέχθη, καὶ τὸν φλοιὸν δεῖ προσεῖναι. φύεται δὲ ἐκ τῶν τοιούτων τὰ *ἔρνη, βλαστανόντων δὲ δεῖ προσχωννύειν, ἄχρις οὗ ἂν γένηται ἄρτια. αὕτη μὲν οὖν τῆς Ἐλαίας ἰδία, [φυτεία] καὶ τοῦ Μυῤῥίνου. αἱ δὲ ἄλλαι κοινότεραι πᾶσιν· (ἄριστον δὲ καὶ ῥιζώσαθαι·) καὶ φυτείας μάλιστα τῆς τυχούσης [δεῖται] ἡ Συκῆ. φυτεύειν δὲ καὶ Ῥοιᾶς, καὶ Μυῤῥίνους, καὶ Δάφνας πυκνὰς κελεύουσι, μὴ πλέον διεστώσας ἢ ἐννέα πόδας, Μηλέας δὲ μικρῷ μακρότερον, Ἀπίους δὲ καὶ Ὄχνας ἔτι μᾶλλον, Ἀμυγδαλᾶς δὲ καὶ Συκᾶς πολλῷ πλέον· ὡσαύτως δὲ καὶ τὴν Ἐλαίαν. ποιεῖσθαι δὲ καὶ πρὸς *τόπον τὰς [s] ὑποστάσεις· ἐν γὰρ τοῖς ὀρεινοῖς ἔλαττον ἢ ἐν τοῖς πεδινοῖς· μέγιστον δὲ, ὡς εἰπεῖν, τὸ τὴν *πρόσφορον ἑκάστῳ χώραν ἀποδιδόναι· τότε γὰρ εὐθενεῖ μάλιστα. ὡς δὲ ἁπλῶς εἰπεῖν, Ἐλαίᾳ μὲν καὶ Συκῇ καὶ Ἀμπέλῳ τὴν πεδινὴν φάσιν οἰκειοτάτην εἶναι· τοῖς δὲ *ἀκροδρύοις τὰς [t] ὑπωρείας. χρὴ δὲ καὶ ἐν αὐτοῖς τοῖς ὁμογένεσι μὴ ἀγνοεῖν τὰς οἰκείας [χώρας].

[r] ἄμμου, Ald. Bas. [s] ἀποστάσεις· [t] ἐπωρείας. Bod. ὀπώρας. Const.

ἐν πλείστῃ δὲ, ὡς εἰπεῖν, διαφορᾷ τὰ τῶν Ἀμπέλων ἐστὶν, ὅσα γάρ ἐςιν εἴδη [χώρας], τοσαῦτά τινές φασι καὶ Ἀμπέλων εἶναι. [u] φυτευόμενα μὲν οὖν κατὰ φύσιν ἀγαθὰ [δεῖ] γίνεσθαι· παρὰ φύσιν δὲ ἄκαρπα· ταῦτα μὲν οὖν ὥσπερ κοινὰ πάντων.

CAP. VII.

Phœnix, Dactylifera, &c. et aliæ Species Palmarum.

ΤΩΝ δὲ Φοινίκων ἴδιος ἡ φυτεία· παρὰ τὰ ἄλλα καὶ ἡ μετὰ ταῦτα θεραπεία. φυτεύουσι γὰρ πλείους εἰς ταὐτὸ τιθέντες· δύο ἄνω, καὶ δύο κάτω *ἐπιδοῦντες· πρανεῖς δὲ πάντας. τὴν γὰρ ἔκφυσιν ὅτ' ἐκ τῶν ὑπλίων καὶ [x] κυρτῶν ποιεῖται, καθάπερ τινές φασιν, ἀλλ' ἐκ [y] τῶν ἄρχων, διὸ καὶ ἐν τῇ ἐπιζεύξει τῶν ἐπιτιθεμένων οὐ δεῖ περικαλύπτειν τὰς ἀρχὰς, ὅθεν καὶ αἱ ἐκφύσεις· φανεραὶ δέ εἰσι τοῖς ἐμπείροις. διὰ τοῦτο δὲ εἰς τὸ αὐτὸ πλείους τιθέασιν, ὅτι ἀπὸ τοῦ ἑνὸς ἀσθενὴς ἡ φυτεία. τούτων δὲ αἵ τε ῥίζαι πρὸς ἀλλήλας συμπλέκονται, καὶ εὐθὺς αἱ πρῶται βλαστήσεις, ὥστε ἓν γίνεσθαι τὸ στέλεχος. ἡ μὲν οὖν ἀπὸ τῶν καρπῶν φυτεία, τοιαύτη τίς. ἡ δὲ ἀπ' αὐτοῦ τοῦ στελέχους, [γίνεται] ὅταν ἀφέλωσι τὸ ἄνω, ἐν ᾧπερ ὁ ἐγκέφαλος. ἀφαιροῦσι δὲ ὅσον δίπηχυ καὶ χίσαντες τοῦτο κάτω τιθέασι [z] εἰς τὸ ὑγρόν· φιλεῖ δὲ χώραν ἀμμώδη [a] καὶ ἁλμώδη. διὸ καὶ, ὅπου μὴ τοιαύτη τυγχάνει, περιπάτησιν ἅλας οἱ γεωργοί. τοῦτο δὲ δεῖ ποιεῖν μὴ περὶ τὰς αὐτὰς ῥίζας, ἀλλ' ἄποθεν ἀποχήσαντα [b] περιπάτειν ὅσον *ἡμίεκτον. ὅτι δὲ τοιαύτην

[u] φυτευόμενα Bod. [x] κόλων Ald. κοίλων Gaz. [y] τῶν ἄνω, Bod. [z] εἰς deest Bod. [a] καὶ ἁλμώδη deest Bod. [b] περιπλάτειν Ald. Bas.

ζητεῖ χώραν, κἀκεῖνο ποιοῦνταϛ σημεῖον· πανταχοῦ γὰρ, ὅπε πλῆθος Φοινίκων, ἀμμώδεις αἱ χώραϛ [c]. καὶ γὰρ ἐν [d] Βαβυλῶνι φησὶν, ὅπου οἱ Φοίνικες πεφύκασι, καὶ ἐν Λιβύῃ δὲ, καὶ ἐν Αἰγύπτῳ καὶ Φοινίκῃ, καὶ τῆς Συρίας δὲ τῆς κοίλης, ἣν [e] Ἰουδαῖοι πλεῖστοι τυγχάνουσιν ἔχοντες, ἐν τρισὶ μόνοις τόποις ἀμμώδεσιν [f] εἶναϛ τοὺς δυναμένους θησαυρίζεθαϛ, τοὺς δὲ ἐν τοῖς ἄλλοις οὐ διαμένειν, ἀλλὰ σήπεθαϛ· χλωροὺς δὲ ἡδεῖς εἶναϛ· καὶ *ἀναλίσκειν οὕτως. φιλεῖ δὲ καὶ ὑδρείαν σφόδρα τοῦτο τὸ δένδρον· περὶ δὲ κόπρου διαμφισβητοῦσιν, οἱ μὲν γὰρ οὔ φασι χαίρειν, ἀλλ' ἐναντιώτατον εἶναϛ· οἱ δὲ, κεχρῆθαϛ, καὶ ἐπίδοσιν πολλὴν ποιεῖν. δεῖ δὲ ὑδρεύειν εὖ μάλα μετὰ τῆς κόπρου, καθάπερ οἱ ἐν Ῥόδῳ. τοῦτο μὲν οὖν ἐπισκεπτέον, ἴσως γὰρ οἱ μὲν οὕτως, οἱ δὲ ἐκείνως θεραπεύουσι. καὶ μετὰ τοῦ ὕδατος ὠφέλιμον ἡ κόπρος, ἄνευ δὲ τούτου, βλαβερά. ὅταν δὲ *ἐνιαύσιος γένηταϛ, μεταφυτεύεσι, καὶ τῶν ἁλῶν συμπαραλαμβάνουσι· καὶ πάλιν ὅταν διέτη, χαίρεσι γὰρ σφόδρα τῇ μεταφυτείᾳ. μεταφυτεύουσι δὲ, οἱ μὲν ἄλλοι τοῦ ἦρος, οἱ δὲ ἐν Βαβυλῶνι περὶ τὸ *ἄστρον· καὶ ὅλως οἴγε πολλοὶ [g] τότε φυτεύουσιν, ὥστε καὶ παραγινομένου καὶ αὐξανομένε θᾶτλον. νέε μὲν ὄντος οὐχ ἅπτονταϛ, πλὴν *ἀναδοῦσι τὴν *κόμην, ὅπως [h] ὀρθοφυῆταϛ, καὶ ῥάβδοι μὴ ἀπαρτῶνταϛ, μετὰ δὲ ταῦτα περιτέμνουσιν, ὁπόταν ἀδρὸς ἤδη γένηταϛ, καὶ πάχος ἔχῃ· ἀπολείπεσι δὲ ὅσον σπιθαμὴν τῶν ῥάβδων. φέρει δὲ, ἕως μὲν ἂν ᾖ νέος, ἀπύρηνον τὸν καρπὸν, μετὰ δὲ τοῦτο πυρηνώδη. ἄλλοι

[c] Adde καὶ ἀλμώδεις. Const. [d] Βαβυλῶν Bod. [e] Ἰνδοί Const. [f] ἀμμώδισιν καὶ ἀλμώδισιν εἶναι Const. [g] τότε deest Ald. [h] ὀρθοφυῆ Ald. Bas.

δέ τινες λέγουσιν, ὡς οἵγε κατὰ Συρίαν [Φοίνικες] οὐδεμίαν προσάγουσιν ἐργασίαν, ἀλλ' [i] ἢ διακαθαίρουσι καὶ ἐπιβρέχουσιν. ἐπιζητεῖ δὲ μᾶλλον τὸ *ναματιαῖον ὕδωρ, ἢ τὸ ἐκ τοῦ Διός. εἶναι δὲ πολὺ τοιοῦτον ἐν τῷ Αὐλῶνι, ἐν ᾧ καὶ τὰ φοινικόφυτα τυγχάνει. τὸν Αὐλῶνα, δὲ τοῦτον λέγειν τοὺς Σύρους, ὅτι διὰ τῆς Ἀραβίας μέχρι τῆς ἐρυθρᾶς θαλάσσης [διατείνει], καὶ πολλοὺς φάσκειν ἐληλυθέναι· τούτου δὲ ἐν τῷ κοιλοτάτῳ πεφυκέναι τοὺς Φοίνικας. ταῦτα μὲν οὖν τάχ' ἀμφοτέρως ἂν εἴη· κατὰ γὰρ τὰς χώρας, ὥσπερ καὶ κατ' αὐτὰ τὰ δένδρα διαφέρειν καὶ τὰς ἐργασίας, οὐκ ἄτοπον. γένη δὲ τῶν Φοινίκων ἐστὶ πλείω· πρῶτον μὲν καὶ ὥσπερ ἐν μεγίστῃ διαφορᾷ, τὸ μὲν κάρπιμον, τὸ δὲ ἄκαρπον, ἐξ ὧν οἱ περὶ Βαβυλῶνα τάς τε κλίνας, καὶ τὰ ἄλλα σκεύη ποιοῦνται· ἔπειτα τῶν καρπίμων, οἱ μὲν ἄρρενες, αἱ δὲ θήλειαι. διαφέρουσι δὲ ἀλλήλων, καθὸ ὁ μὲν ἄρρην ἄνθος πρῶτον φέρει ἐπὶ τῆς *σπάθης, ἡ δὲ θήλεια καρπὸν [k] εὐθὺς μικρόν. αὐτῶν δὲ τῶν καρπῶν διαφοραὶ πλείους, οἱ μὲν γὰρ [l] ἀπύρηνοι, οἱ δὲ πυρῆνα ἔχοντες· (οἱ δὲ σκληροπύρηνοι, οἱ δὲ μαλακοπύρηνοι.) καὶ τὰς χροιάς, οἱ μὲν λευκοὶ, οἱ δὲ μέλανες, οἱ δὲ ξανθοί. τὸ δὲ ὅλον οὐκ ἐλάττω χρώματά φασιν εἶναι τῶν συκῶν. οὐδὲ ἁπλῶς τὰ γένη. διαφέρει δὲ καὶ κατὰ τὰ μεγέθη καὶ κατὰ τὰ σχήματα, καὶ γὰρ σφαιροειδεῖς ἔνιοι, ὡσανεὶ μῆλα, καὶ τὰ μεγέθη τηλικοῦτοι, ὡς τέτταρας εἰς τὸν πῆχυν [m] εἶναι. ἄλλοι δὲ μικροὶ, ἥλικοι ἐρέβινθοι· καὶ τοῖς χυλοῖς καὶ πολὺ διαφέροντες· κράτιστον δὲ καὶ

[i] ἢ ἀλλ' ἰδία καθαίρουσι καὶ Ald. Bas. [k] εὐθὺ μακρόν. Ald. εὐθὺς μακρόν. Bod. [l] ἀπύρηνοι· οἱ δὲ μαλακοπύρηνοι. Bod. [m] εἶναι. ἐπὰ δὲ καὶ πῆχυν εὐπόδες. ἄλλοι Bod. V. not. ad fin. lib.

τῶν λευκῶν καὶ τῶν μελάνων, τὸ βασιλικὸν καλούμενον γένος, ἐν ἑκατέρῳ, καὶ μεγέθει καὶ ἀρετῇ. σπάνια δὲ εἶναι ταῦτα λέγουσι, ᾠδὸν γὰρ ἐν μόνῳ τῷ [n] Βαγώου κήπῳ, τοῦ παλαιοῦ περὶ Βαβυλῶνα. ἐν Κύπρῳ δὲ ἴδιον τι γένος Φοινίκων ἐστὶν, ὃ οὐ πεπαίνει τὸν καρπὸν, [o] ἀλλ' ὠμὸς ὢν, ἡδὺς σφόδρα καὶ γλυκύς ἐστι, τὴν δὲ γλυκύτητα ἰδίαν ἔχει. ἔνιοι δὲ οὐ μόνον διαφέρουσι τοῖς καρποῖς, ἀλλὰ καὶ αὐτῷ τῷ δένδρῳ· καὶ κατὰ τὸ μῆκος καὶ τὴν ἄλλην μορφήν· οὐ γὰρ μεγάλοι καὶ μακροὶ, [p] ἀλλὰ βραχεῖς· ἔτι δὲ καρπιμώτεροι τῶν ἄλλων, καὶ καρποφοροῦντες εὐθὺς τριετεῖς· πολλοὶ δὲ καὶ οὗτοι περὶ Κύπρον. εἰσὶ δὲ καὶ περὶ Συρίαν καὶ περὶ Αἴγυπτον Φοίνικες, οἳ φέρουσι τετραέτεις καὶ πενταέτεις, ἀνδρομήκεις ὄντες. ἕτερον δέ τι γένος ἐν Κύπρῳ, ὃ καὶ τὸ φύλλον πλατύτερον ἔχει, καὶ τὸν καρπὸν μείζω πολλῷ καὶ ἰδιόμορφον, μεγέθει μὲν, ἡλίκος ῥόον, τῷ σχήματι δὲ προμήκης· οὐκ εὔχυλος δὲ ὥσπερ ἄλλοι, ἀλλ' ὅμοιος [q] τοῖς ῥοοῖς, ὥστε μὴ *καταδέχεσθαι, ἀλλὰ *διαμασησαμένους ἐκβάλλειν. γένη μὲν οὖν, ὥσπερ εἴρηται, πολλά. θησαυρίζεσθαι δὲ μόνους δύνασθαί φασι, [r] τοὺς ἐν τῷ Αὐλῶνι τῆς Συρίας· τοὺς δὲ ἐν Αἰγύπτῳ καὶ Κύπρῳ καὶ παρὰ τοῖς ἄλλοις χλωροὺς ἐναλίσκεσθαι. ἔστι δὲ ὁ Φοῖνιξ ὡς μὲν ἁπλῶς εἰπεῖν μονοστέλεχης καὶ μονοφυής· οὐ μὴν ἄλλα γίνονταί τινες διφυεῖς, ὥσπερ ἐν Αἰγύπτῳ, καθάπερ [s] *δίκρανοι ὄντες, τὸ δὲ *ἀνάσημα τοῦ στελέχους ἀφ' οὗ ἡ σχίσις, πεντάπηχυ· πρὸς ἄλληλα δὲ πως ἰσάζοντα

[n] Βάγτου Bod. [o] ἀλλὰ καὶ ὠμὸς Const. [p] κατὰ δ' ἀλλὰ Ald. [q] ταῖς ῥίζαις, Bod. [r] ἐν Συρίᾳ τοὺς ἐν τῷ Αὐλῶνι· τοὺς δὶ Bod. [s] δικρόαν ἔχοντες, Bod.

[τὰ κράνη·] φασὶ δὲ καὶ τοὺς ἐν Κρήτῃ πλείους εἶναι τοὺς διφυεῖς, ἐνίους δὲ καὶ τριφυεῖς. ἐν δὲ τῇ Λαπαίᾳ τινὰς καὶ [t] πεντεκέφαλους· μάλιςα γοῦν ἐν ταῖς εὐτροφωτέραις χώραις γενέσθαι πλείω τὰ τοιαῦτα, [u] κατὰ τὸ ὅλον δὲ, καὶ τὰ εἴδη καὶ τὰς διαφοράς. ἄλλο δέ τι γένος ἐστὶν, ὃ φασὶ γενέσθαι πλεῖστον περὶ τὴν Αἰθιοπίαν, ὃ καλοῦσι [x] Κύκας· οὗτοι καὶ θαμνώδεις, οὐχὶ ἓν τὸ στέλεχος ἔχοντες, ἀλλὰ πλείω, καὶ ἐνίοτε συνηρτημένα μέχρι τινός εἰσι· τὰς δὲ ῥάβδους οὐ μακρὰς, ἀλλ' ὅσον πηχυαίας μὲν, ἀλλὰ λείας, ἐπὶ δὲ τῶν ἄκρων τὴν *κόμην. ἔχουσι δὲ καὶ τὸ φύλλον πλατὺ, καὶ ὥσπερ ἐκ δυοῖν συγκείμενον ἐλαχίστοιν· καλοὶ δὲ καὶ τῇ ὄψει φαίνονται, τὸν δὲ καρπὸν καὶ τῷ σχήματι καὶ τῷ μεγέθει καὶ τῷ χυλῷ *διάφορον ἔχουσι. στρογγυλώτερον γὰρ [y] μήλου καὶ μεῖζον καὶ εὐστομώτερον, ἧττον δὲ γλυκύ. πεπαίνουσι δὲ ἐν τρισὶν ἔτεσιν, ὥστε καρπὸν ἔχειν. *ἐπικαταλαμβάνοντος τοῦ νέου τὸν ἔνον· ποιοῦσι δὲ καὶ ἄρτους ἐξ αὐτῶν. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον. οἱ δὲ [z] Χαμαιριφεῖς καλούμενοι τῶν Φοινίκων, ἕτερόν τι γένος ἐστὶν, ὥσπερ *ὁμώνυμον· καὶ γὰρ ἐξαιρεθέντος τοῦ ἐγκεφάλου ζῶσι, καὶ κοπέντες ἀπὸ τῶν ῥιζῶν παραβλαστάνουσι. διαφέρουσι δὲ καὶ τῷ καρπῷ καὶ τοῖς φύλλοις, πλατὺ γὰρ καὶ μαλακὸν ἔχουσι τὸ φύλλον, διὸ καὶ πλέκουσιν ἐξ αὐτοῦ τάς τε *σπυρίδας καὶ τοὺς *φορμούς· πολλοὶ δὲ καὶ ἐν τῇ Κρήτῃ γίνονται, καὶ ἔτι μᾶλλον ἐν Σικελίᾳ.

[t] πεντεγκέφαλον· οὐκ ἄλλως γοῦν Bod. πεντεγκέφαλον· οὐ καλῶς γοῦν Bas. [u] καὶ τὸ ὅλον δὲ τὰ εἴδη Bod. [x] Κοίκας· Const. [y] μήλου deest Bod. [z] Χαμαιῤῥιπεῖς Const.

CAP. VIII.

De Plantatione et Cultura Arborum quarundam.

ΤΑΥΤΑ μὲν οὖν ἐπὶ πλεῖον εἴρηται τῆς ὑποθέσεως· ἐν δὲ ταῖς τῶν ἄλλων φυτείαις, *τἀνάπαλιν τίθενται τὰ φυτευτήρια, [a] καθάπερ ἐκ τῶν κλημάτων. οἱ μὲν οὖν οὐδὲν διαφέρειν φασίν· ἥκιστα δ' ἐπὶ τῶν Ἀμπέλων· [b] ἔνιοι δέ φασι τὴν Ῥοιὰν οὕτω μείζονα γίνεσθαι, καὶ σκιάζειν μᾶλλον τὸν καρπὸν, ἔτι δὲ ἧττον ἀποβάλλειν τοὺς [c] *κυτίνους. συμβαίνειν δὲ τοῦτό φασι καὶ ἐπὶ τῆς Συκῆς, οὐ γὰρ ἀποβάλλειν ἀνάπαλιν φυτευθεῖσαν, ἔτι δὲ [d] *εὐθατοτέραν γίνεσθαι· οὐκ ἀποβάλλειν δὲ, οὐδὲ ἐάν τις ἀποκλάσῃ, φυομένης εὐθὺς, [e] τὸ ἄκρον. αἱ μὲν οὖν φυτεῖαι καὶ γενέσεις ὃν τρόπον ἔχουσι, σχεδὸν ὡς τύπῳ περιλαβεῖν, εἴρηνται. περὶ δὲ τῆς ἐργασίας καὶ τῆς θεραπείας, τὰ μέν ἐστι κοινὰ, τὰ δὲ ἴδια καθ' ἕκαστον· κοινὰ μὲν, ἥτε *σκαπάνη, καὶ ἡ ὑδρεία, καὶ ἡ κόπρωσις. ἔτι δὲ ἡ *διακάθαρσις, καὶ ἡ ἀφαίρεσις τῶν αὔων. διαφέρουσι δὲ τῷ μᾶλλον καὶ ἧττον· τὰ μὲν φίλυδρα καὶ φιλόκοπρα, τὰ δὲ οὐχ ὁμοίως, οἷον, ἡ Κυπάριττος, ὥσπερ οὐ φιλόκοπρος οὐδὲ φίλυδρος, ἀλλὰ καὶ ἀπόλλυσθαί φασι, ἐάνγε νέαν οὖσαν ἐφυδρεύωσι πολλῷ. Ῥοιὰ δὲ καὶ Ἄμπελος φίλυδραι· Συκῆ δὲ, [f] εὐθλαστοτέρα μὲν ὑδρευομένη, τὸν δὲ καρπὸν ἴσχει χείρονα, πλὴν τῆς Λακωνικῆς, αὕτη δὲ φίλυδρος. διακαθαίρεσθαι δὲ πάντα ζητεῖ. βελτίω μὲν [εἶσι] τῶν αὔων ἀφαιρουμένων, ὥσπερ ἀλλοτρίων, ἃ καὶ τὰς αὐξήσεις καὶ τὰς τροφὰς ἐμποδίζει.

[a] ἢ καθάπερ Const. [b] ἔνιοι δὲ ῥοάδα γίνεσθαι, Bod. [c] κικίννους. Bod. [d] ἀβαποτέραν Ald. Bas. [e] τὸν κάρπον. Bas. [f] ἀβλαστοτέρα Ald. Bas.

διὸ καὶ ὅταν ᾖ [g]*γεράνδρυον, ὅλως κόπτεσιν, ἡ γὰρ βλάστησις νέα γίνεται τοῦ δένδρου. πλείστης δὲ διακαθάρσεως φησὶν Ἀνδροτίων δεῖσθαι, Μύῤῥινον καὶ Ἐλαίαν, ὅσῳ γὰρ ἂν ἐλάττω καταλίπῃς, ἄμεινον βλαστήσει, καὶ τὸν καρπὸν οἴσει πλείω· [h]πλὴν Ἀμπέλου δηλονότι· ταύτης γὰρ πολλὰ [i]καταλείπειν ἀναγκαιότερον, καὶ πρὸς βλάστησιν καὶ πρὸς εὐκαρπίαν. ἁπλῶς δὲ καὶ ταύτην, καὶ τὴν ἄλλην θεραπείαν πρὸς τὴν ἰδίαν φύσιν ἑκάστῳ ποιητέον. δεῖσθαι δέ φησιν Ἀνδροτίων καὶ κόπρου δριμυτάτης, καὶ πλείστης ὑδρείας, ὥσπερ καὶ τῆς διακαθάρσεως, Ἐλαίαν καὶ Μύῤῥινον, καὶ Ῥοιάν, οὐ γὰρ ἔχειν μήτραν οὐδὲ νόσημα κατὰ γῆς οὐδέν· ἀλλ' ἐπειδὰν παλαιὸν ᾖ τὸ δένδρον, ἀποτέμνειν δεῖ τοὺς ἀκρέμονας, ἔπειτα τὸ στέλεχος θεραπεύειν, ὡσπεραὶ ἐξ ἀρχῆς φυτευθέν. οἱ δέ φασι πολυχρονιώτατον καὶ ἰσχυρότατον Μύῤῥινον εἶναι καὶ Ἐλαίαν. ταῦτα μὲν οὖν ἐπισκέψαιτ' ἄν τις, εἰ καὶ μὴ πάντα, ἀλλὰ περί γε τῆς μήτρας. ἡ δὲ κόπρος οὔτε πᾶσιν ὁμοίως, οὔθ' ἡ αὐτὴ πᾶσιν ἁρμόττει· τὰ μὲν γὰρ δριμείας δεῖται, τὰ δὲ ἥτλον, τὰ δὲ παντελῶς κούφης. δριμυτάτη δὲ, ἡ τοῦ ἀνθρώπου, καθάπερ καὶ [k]Χαραδρίας, ἀρίστην μὲν εἶναι ταύτην φασί. δευτέραν δὲ, τὴν ὕειαν· τρίτην δὲ, αἰγός· τετάρτην δὲ, προβάτου· πέμπτην δὲ, βοός· ἕκτην δὲ, ὄνων. ἡ δὲ *συρματίτις ἄλλη, καὶ ἄλλως. ἡ μὲν γὰρ, ἀσθενεστέρα ταύτης, ἡ δὲ κρείττων. τὴν δὲ σκαπάνην πᾶσιν οἴονται συμφέρειν, ὥσπερ καὶ τὴν [l]σκάλσιν τοῖς ἐλάττοσιν, εὐτραφέστερα γὰρ γίνεσθαι. τρέφειν δὲ δοκεῖ καὶ ἡ *κονίασις

g γεράνδρυον, Bod.
h μάλιστα ἐπὶ τοῦ Ἀμπέλου Const.
i πολλ' ἀφαιρεῖν Const.
k χαρτόδρας· Bod. πιριστερῆς· Const.
l ὄσκαλσιν Ald. Bas.

ἔνια, καὶ θάλλειν ποιεῖν, οἷον τὸν βότρυν. διὸ καὶ ὑποκονιοῦσι πολλάκις, οἱ δὲ καὶ τὰς Συκᾶς ὑποσκάπτουσιν ἔνθα τούτου [m] δεῖ. Μεγαροῖ δὲ καὶ τοὺς * Συκίους, καὶ τὰς Κολοκύντας, ὅταν οἱ ἐτησίαι πνεύσωσι, σκάλλοντες κονιορτοῦσι, καὶ οὕτω γλυκυτέρους καὶ ἁπαλωτέρους ποιοῦσιν, οὐχ ὑδρεύοντες. τοῦτο μὲν οὖν ὁμολογούμενον, τὴν δὲ Ἄμπελον οὔ φασι δεῖν ἢ ὑποκονιοῦν, ἢ ὅλως ἅπτεσθαι, * περκάζοντος τοῦ βότρυος· ἀλλ' εἴπερ, ὅταν ἀπομελανθῇ· οἱ δὲ, τὸ ὅλον μηδὲ τότε, πλὴν ὅσον ὑποτίλαι τὴν βοτάνην. ὑπὲρ μὲν τούτων ἀμφισβητοῦσιν, ἐὰν δέ τις μὴ φέρῃ καρπὸν, ἀλλ' εἰς βλάστησιν τρέπηται, χίζεσι τοῦ στελέχους τὸ κατὰ γῆν, καὶ λίθον ἐντιθέασιν, ὅπως ἂν [n] μὴ ῥαγῇ, καὶ [ἕτως] φασὶ φέρειν, ὁμοίως δὲ καὶ ἐάν τις τῶν ῥιζῶν τινὰ περιτέμνῃ· διὸ καὶ τῶν Ἀμπέλων τοῦτο ποιοῦσιν ὅταν [o] * τραγῶσι τὰ ἐπιπολῆς. τῶν δὲ Συκῶν πρὸς τὸ περιτέμνειν, καὶ τέφραν περιπλάττεσι καὶ [p] * κατασχάζεσι τὰ στελέχη, καί φασι φέρειν μᾶλλον. Ἀμυγδαλῇ δὲ καὶ πάτταλον ἐγκόψαντες σιδηροῦν, ὅταν τιτράνωσιν, ἄλλον ἀντεμβάλλουσι δρύϊνον, καὶ τῇ γῇ κρύπτουσιν, ὃ καλοῦσί τινες κολάζειν, ὡς ὑβρίζον τὸ δένδρον. ταὐτὸν δὲ τοῦτο καὶ ἐπὶ τῆς Ἀπίας, καὶ ἐπ' [q] ἄλλων τινὲς ποιοῦσιν, ἐν Ἀρκαδίᾳ δὲ καὶ [r] τὴν * εὐθύνην Οὔας καλοῦσι, πολὺ γὰρ τὸ δένδρον τοῦτο παρ' αὐτοῖς, καί φασιν ὅταν πάθῃ τοῦτο, καὶ τὰς μὲν μὴ φερούσας φέρειν, τὰς δὲ μὴ πετιούσας, ἐκπέτειν καλῶς. Ἀμυγδάλην δὲ καὶ ἐκ πικρᾶς γίνεσθαι γλυκεῖαν, ἐάν

[m] δεῖ deest Bas. [n] μὴ deest Bod. [o] τρυγῶσι Bod. [p] κατασχοῦσι Ald. Bas. [q] ἄλλην Bas. [r] τὴν εὐθύνην καλοῦσι γαῖαν. Bod. τὴν δαδοῦχον καλοῦσι ὅαν. Const.

τις περιορύξας τὸ στέλεχος, καὶ τιτράνας ὅσον παλαιστιαῖον, πανταχόθεν τὸ ἀποῤῥέον δάκρυον ἐπὶ ταὐτὸ ἐᾷ καταῤῥεῖν. τοῦτο μὲν ἂν εἴη πρός τε τὸ φέρειν ἅμα καὶ πρὸς τὸ εὐκαρπεῖν.

CAP. IX.

Fructificationes abortivæ; Caprificatio; Cynips, Psenes L. Fœcundatio Palmarum.

* ΑΠΟΒΑΛΛΕΙ δὲ [s] πρὸ τοῦ πέψαι τὸν καρπὸν Ἀμυγδαλῆ, Μηλέα, Ῥοιὰ, Ἄπιος· καὶ μάλιστα δὴ πάντων Συκῆ καὶ Φοῖνιξ, πρὸς ἃ καὶ τὰς βοηθείας ζητοῦσιν, ὅθεν καὶ ὁ * ἐρινασμός. ἐκ γὰρ τῶν ἐρίνων κρεμαννυμένων αἱ [t] Ψῆνες ἐνδυόμενοι, κατεσθίουσι καὶ [u] * πειραίνουσι τὰς κορυφὰς [τῶν Συκῶν]. διαφέρουσι δὲ καὶ χώραι πρὸς τὰς ἀποβολάς· περὶ γὰρ Ἰταλίαν οὔ φασιν ἀποβάλλειν· διὸ οὐδὲ [x] ἐρινάζουσι, οὐδὲ ἐν τοῖς καταβορείοις καὶ λεπτογείοις, οἷον, καὶ ἐν Φαλίκῳ τῆς Μεγαρίδος, οὐδὲ τῆς Κορινθίας ἔν τισι τόποις. ὡσαύτως δὲ καὶ ἡ τῶν πνευμάτων * κατάστασις· βορείοις γὰρ μᾶλλον ἢ νοτίοις ἀποβάλλουσι, κἂν πυκνότερα ᾖ πλείω γένηται, μᾶλλον. ἔτι δὲ αὐτῶν τῶν δένδρων ἡ φύσις· τὰ [y] πρωΐα γὰρ ἀποβάλλει, τὰ δὲ ὄψια οὐκ ἐκβάλλει, καθάπερ ἡ Λακωνικὴ [Συκῆ] καὶ αἱ ἄλλαι, διὸ καὶ οὐκ ἐρινάζουσι ταύτας. ταῦτα μὲν οὖν ἔν τε τοῖς τόποις καὶ τοῖς γένεσι καὶ τῇ καταστάσει τοῦ ἀέρος ἔχει τὰς διαφοράς· οἱ δὲ Ψῆνες, ἐκδύονται μὲν ἐκ τοῦ ἐρινοῦ, καθά-

[s] ἀπὸ Bod. [t] συκῶν Const. χῆνες Bod. [u] πιαίνουσι, for. τιτραίνουσι Const. [x] ἐρινοῦσιν, Bod. [y] πρῶτα Bod.

περ εἴρηται, γίνονται δὲ ἐκ τῶν *κεγχραμίδων· σημεῖον δὲ λέγουσιν, ὅτι ἐπειδὰν ἐκδύωσιν, οὐκ ἔνεισι κεγχραμίδες. ἐκδύονται δὲ οἱ πολλοὶ, ἐγκαταλείποντες, ἢ πόδα ἢ πτερόν. γένος δέ τι καὶ ἕτερόν ἐστι τῶν Ψηνῶν, ὃ καλοῦσι Κεντρινάς. οὗτοι δὲ ἀργοὶ καθάπερ Κηφῆνες· καὶ τοὺς εἰσδυομένους τῶν ἑτέρων κτείνουσιν, αὐτοὶ δὲ ἐναποθνήσκουσιν. ἐπαινοῦσι δὲ μάλιστα τῶν ἐρινῶν τὰ μέλανα, τὰ ἐκ τῶν πετρωδῶν χωρίων, πολλὰς γὰρ ἔχει ταῦτα κεγχραμίδας. γινώσκεται δὲ τὸ ἐρινασμένον [σῦκον], τῷ ἐρυθρὸν εἶναι καὶ ποικίλον καὶ ἰσχυρόν· τὸ δὲ ἀνερίναστον λευκὸν καὶ ἀσθενές. προσιθέασι καὶ τοῖς δεομένοις τὰ ἐρινὰ, ὅταν [z] μὴ ὕσῃ, ὅπου δὲ πλεῖστος κονιορτὸς, ἐνταῦθα πλεῖστα καὶ ἰσχυρότατα γίνεται τὰ ἐρινά· φασὶ δὲ *ἐρινάζειν καὶ τὸ *Πόλιον, [a] ὁπόταν Αἰγίπυρος ᾖ πολύς· καὶ τὴν τῆς Πτελέας [b] *κνίπεριν. ἐγγίνεται γὰρ καὶ ἐν [c] τούτοις θηρίδια ἄττα, Κνίπες, οἳ, ὅταν ἐν τοῖς σύκοις γίνωνται, κατεσθίουσι τοὺς Ψῆνας. ἄκος δὲ τούτου φασὶν εἶναι, τοὺς *καρκίνους προσπερονᾶν, πρὸς γὰρ τούτοις τρέπεσθαι τοὺς Κνίπας. ἀλλὰ γὰρ δὴ ταῖς μὲν Συκαῖς αὗται βοήθειαι, τοῖς δὲ Φοίνιξιν αἱ ἀπὸ τῶν ἀῤῥένων πρὸς [d] τὰς θηλείας, οὗτοι γάρ εἰσιν οἱ ἐπιμένειν ποιοῦντες καὶ ἐκπέττειν, ὃ καλοῦσί τινες, ἐκ τῆς ὁμοιότητος, [e] ὀλυνθάζειν. γίνεται δὲ τόνδε τὸν τρόπον· ὅταν ἀνθῇ τὸ ἄῤῥεν, ἀποτεμόντες τὴν σπάθην [f] ἐφ' ἧς τὸ ἄνθος, εὐθὺς ὥσπερ ἔχει, τόν τε *χνοῦν καὶ τὸ ἄνθος καὶ τὸν

[z] μὴ deest Bod. [a] ὅπου ἂν Const. Vid. not. ad fin. libri.
[b] κύπειρον. Bod. [c] τόποις Ald. [d] τὰς θήλεις, Bod.
[e] ὀλυνθιάζειν. Bod. [f] ἀφ' ἧς Bod.

*κονιορτὸν κατασείουσι κατὰ τοῦ καρποῦ τῆς θηλείας, κἂν τοῦτο πάθῃ, διατηρεῖ καὶ οὐκ ἀποβάλλει. φαίνεται δὲ ἀμφοῖν ἀπὸ τοῦ ἄρρενος ε ταῖς θελείαις βοήθειαν γίνεσθαι, θῆλυ γὰρ καλοῦσι τὸ καρποφόρον· ἀλλ' ἡ μὲν, οἷον μίξις, ἡ δὲ κατ' ἄλλον τρόπον.

ε τοῖς θήλεσι Bod.

NOTÆ

IN LIBRUM SECUNDUM.

CAP. I.

Αἱ γενέσεις. Aristoteles libro primo partes constituentes Animalium, secundo generationes describit: ita Theophrastus respectu Plantarum.

Αὐτόματος. Minus proprie spontanea generatio arborum asseritur; etsi a Plinio recepta xvii. 16. Necnon a Virgilio in celebri loco Georg. ii.

Namque aliæ, nullis hominum cogentibus, ipsæ
Sponte sua veniunt.

Ἐκ τοῦ ξύλου. Sic Plinius xvii. 18. "Taleas oleagineas quas "in scrobe saturus eris, tripedaneas facito."

Ἐμφυτεῖαι, ἐνοφθαλμισμοί. Insitio et inoculatio respectu arborum; Angl. "grafting and budding." Usus insitionis ex casu, ut ait Plinius xvii. 14. itemque Virgilius, sedulus naturæ investigator:

Et sæpe alterius ramos impune videmus
Vertere in alterius, mutatamque insita Mala
Ferre Pyrum, et Prunis lapidosa rubescere corna.

Idem de inoculatione:

Nunc modus inserere atque *oculos* imponere simplex.
Nam qua se medio trudunt de cortice *gemmæ*,
Et tenues rumpunt tunicas, angustus in ipso
Fit nodo *sinus*, huc aliena ex arbore germen
Includunt, udoque docent inolescere libro.

CAP. II.

Φύεται ἡ Κοινωνιά. Propagationem Rosæ caulibus cæsis observavit Bodæus: sed vis verborum magis indicat operationem plantam totam sub terra ponendi; Angl. "making layers."

Ἀπὸ τῆς κουρᾶς ἐν Τάῤῥᾳ. Sensus est, cæsis arboribus grandibus repullulant, et sese extendunt: ita Bellonius i. 17. Tarra oppidum Cretæ.

CAP. III.

Ὅσα ἀπὸ τοῦ καρποῦ. Degenerationem fructus, serendo, recte observat Auctor: notandum tamen vigorem in arboribus fructiferis obstare fertilitati, sed ex seminibus enasci, quod Botanici vocant varietates fructuum.

Ἐκ τῶν Μηλίων χειρόν τι τῷ γίνει. Notandum est Pyrum, Malum L. sylvestri statu, Angl. "Crab Tree," non nominari proprio vocabulo, ut Ἀχράς Pyrus sylvestris L.

CAP. IV.

Αὐτομάτην τινὰ, i. e. non ex semine, sed sponte. Opinioni huic assentitur Plinius xvii. 25.

Κάπνιον ἀμπ. a Plinio et Columella, "Vitis helvola," ab helvo, vel helbo, colore. Χρῶμα οὔτε μελὰν οὔτε λευκὸν, ἄλλα καπνώδες, fumosus. De Caus. Plant. l. iii. Fumosus, Columella.

Ἐκ τοῦ ὄπισθεν τῶν ἐρινῶν. Mallem legere cum Bodæo, ἄνευ θρίων, θρίον enim folium ficulneum. Hesych. Vid. Bod. p. 81.

CAP. V.

Ἐὰν πτισθεῖσαι. Pistæ, Scal. sed rectius decorticatæ, vel liquore aliquo (an salino?) maceratæ.

Ἐν τῷ ἴσῳ χρόνῳ. Vid. supr. sc. τῷ τρίτῳ ἔτει. Notandum, transformationes hasce plantarum a genere in genus ex defectu investigationis accuratæ oriri, quando sc. post messem Tritici, anno sequente oriatur Avenæ seges ex agro inculto. Hoc non fit ex granis Tritici, sed ex granis Avenæ prioris anni.

Ὁ Ἱέραξ. Observatio accurata admodum; plumæ avium variant multum ætate. Vid. Buffon. et D. Montagu. Act. Linn. v. 9. p. 182.

Ὁ Ὕδρος. Mutatio generis fabulosa, ut supra memoravi.

Οἷον ἐκ Κάμπης. Triplex transformatio insectorum plurimorum. Vid. Linn. Syst. Nat. N. B. Hinc ψυχὴ Papilio, animæ humanæ apud antiquos typus.

CAP. VI.

Τιθέναι καὶ τὴν θέσιν. Observatio justa: cortex enim soli oppositus tenuior, versus Boream crassior.

Ἐν σκίλλῃ, i. e. in bulbo Scyllæ L. diviso: sic apud Plinium, "Si plantam Fici diviso Squillæ bulbo intersitam, "strictamque vinculis, collocemus." Nat. Hist. xvii. 11. Item Constant. Cæsar. de Agric. l. x.

CAP. VII.

Ἀπὸ τοῦ ἑνὸς (καρποῦ) ἀσθένης. "Quæ traduntur de semina-"tione Phœnicis mira admodum: sc. semina plura in unum "devincta sub terra condi; plantulasque inde enatas in unum "coalescere solita; sic tamen fieri ex experientia recentiorum "confirmatur." Bodæus in loco.

Θησαυρίζεσθαι dicitur de fructu Καρυώτου, qui nobilis vocatur. Fructus alterius χύδαιος dict. parvi estimatur. Strab. l. xvii. Diosc. v. 4. Plin. xiv. 16.

Φέρει ἀπύρηνον τὸν καρπόν. Vid. Plin. xiii. 4.

Ὡς τέτταρας εἰς τὸν πῆχυν εἶναι. ἑπτὰ δὲ καὶ πῆχυν εὐπόδους. Sermo est de cubito minore, qui sesquipes. N. B. Pes Græcus continet sexdecim digitos: singuli fructus igitur longitudine sex digitorum. Vid. Bod. p. 107. Quod ad ἑπτὰ δὲ καὶ πῆχυν. Verba hæc ex margine, ignorantia librarii, qui forsan notavit εἷς δὲ πήχυς δυὸ πόδες.

Λαπαία Cretæ oppidum, hodie Lapan. Scal.

CAP. VIII.

Ἐν δὲ τῶν ἄλλων φυτείαις. Redit ad propositum: vid. cap. vi.

Τὴν Ῥοιὰν οὕτω γίνεσθαι. Textus videtur corruptus: emendavi ex Cod. Ald. etsi ῥοᾶς alibi morbus peculiaris vitis iv. 11. dictus apud Gallos, "la couleur."

Χαραδρίας. Χαρτόδρας Bod. Ita substitui, ut Avis apud antiquos nomen; an unquam Columba ita vocabatur? De stercore columbino antiquissima mentio in S. S. Vid. Columellam de stercore avium ii. 15. Ita Geopon. Auct. ii. 19. Bodæus censet substituendam vocem περιστερᾶς.

CAP. IX.

Ὁ ἐρινασμός. Accuratisssime describitur modus caprificandi Ficum. Animalculi quod penetrat fructum Ficus mentio fit ab Aristotele v. 32. Animalculum hoc, Cynips, Psenes Linn. Mira etiam sagacitas Auctoris in detegendo Ichneumone Κέντρις dicto, qui larvam Ψηνὸς necat. Vid. infra.

Πειραίνουσι (a πείρω). Vid. Bod. p. 115. de foramine per insectum.

Γίνονται ἐκ κεγχραμίδων. False attribuitur generatio ex granis Ficus, quia post evolutionem non reperiuntur grana.

Φασὶ δὲ ἐρινάζειν. Sensus videtur, τὸ Πόλιον gignere θηρίδια Ψῆνι similia, ut Gaza vertit: sed textus proculdubio corruptus; et, ut vereor, insanabilis. Remedium ex appensione cancrorum etiam inverisimile. Observandum etiam quod Κνίψ hic dicitur devorare τοὺς Ψῆνας, etsi supra l. vi. vocatur γένος ἕτερον τῶν Ψηνῶν ὁ καλοῦσι Κεντρινὰς, οἱ τοὺς εἰσδυομένους τῶν ἑτέρων κτείνουσιν. Hi alio in loco (iv. 7.) dicantur ἐν δένδροις γίνεσθαι ὑπὸ τὸν φλοιόν. Forsan Κεντῖνες scribendum, qui Ψῆνας εἰσδυομένους κτείνουσι. Œconomia haud absimilis inter minutiora Hist. Nat. observatu digna, respectu Tipulæ, Tritici L. Act. Linn. v. 96. et Ichneumonis cujusdam parvuli.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Γ'.

CAP. I.

De Generatione sylvestrium Arborum: De Salice, Platano, &c.

ΕΠΕΙ δὲ περὶ τῶν ἡμέρων δένδρων εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ τῶν ἀγρίων· εἴτέ τι ταὐτὸν, καὶ [a] [τι] ἕτερον ἔχουσι τοῖς ἡμέροις, εἴθ' ὅλως ἴδιον [b] [τι] τῆς φύσεως. αἱ μὲν οὖν γενέσεις ἁπλαῖ τινες αὐτῶν εἰσὶ, πάντα γὰρ ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης φύεται· τοῦτο δὲ, οὐχ ὡς οὐκ ἐνδεχόμενον καὶ ἄλλως, ἀλλ' ἴσως διὰ τὸ μὴ πειρᾶσθαι μηδένα μηδὲν φυτεύειν· ἐπιφύοιτο δὲ ἂν εἰ λαμβάνοιεν τόπους ἐπιτηδείους καὶ θεραπείαν ἁρμόττουσαν· ὥσπερ καὶ νῦν τὰ *ἀλσώδη [c] ἡ καὶ τὰ φίλυδρα· λέγω δὲ, οἷον, Πλάτανον, Ἰτέαν, Λεύκην, Αἴγειρον, Πτελέαν· ἅπαντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα φυτευόμενα βλαστάνει καὶ τάχιστα καὶ κάλλιστα ἀπὸ τῶν *παρασπάδων, ὥστε μεγάλας οὔσας ἤδη καὶ ἰσοδένδρους,

a τὶ deest Bod. b τὶ deest Bod. c ἢ deest Bod.

ἄντις μεταθείη, διαμένειν. [d] φυτεύεται δὴ τὰ πολλὰ αὐτῶν καὶ καταπηγνύμενα, καθάπερ ἡ Λεύκη καὶ ἡ Αἴγειρος. τούτων μὲν οὖν, πρὸς τῇ σπερματικῇ, καὶ τῇ ἀπὸ τῶν ῥιζῶν, καὶ αὐτὴ γένεσίς ἐστι, τῶν δὲ ἄλλων ἐκεῖναι, πλὴν ὅσα μόνον ἀπὸ σπέρματος φύεται· καθάπερ Ἐλάτη, Πεύκη, Πίτυς. ὅσα δὲ ἔχει σπέρμα καὶ καρπὸν, [e] καὶ ἀπὸ ῥίζης γίνεται, καὶ ἀπὸ τούτων. [f] ἔτι δὲ τὰ δοκοῦντα ἄκαρπα εἶναι, γεννᾶν φασίν· οἷον Πτελέαν, Ἰτέαν· σημεῖον δὲ λέγουσιν, οὐ μόνον, ὅτι φύεται πολλὰ, τῶν ῥιζῶν *ἀπηρτημένα, καθ' οὓς ἂν ᾖ τόπους, ἀλλὰ καὶ τὰ συμβαίνοντα θεωροῦντες, οἷον ἐν [g] Φενεῷ τῆς Ἀρκαδίας, [h] οὗπερ ἐξεῤῥάγη τὸ συναθροισθὲν ὕδωρ ἐν τῷ πεδίῳ, φραχθέντων τῶν βερέθρων, ὅπου μὲν ἐγγὺς ἦσαν Ἰτέαι πεφυκυῖαι, τοῦ καταποθέντος τόπου, τῷ ὑστέρῳ ἔτει μετὰ τὴν ἀναξήρανσιν ἐνταῦθα αὖθις ἀναφύναι φασὶν [i] Ἰτέας. ὅπου δὲ Πτελέαι, αὖθις Πτελέας, καθάπερ καὶ ὅπου Πεύκαι [k] ἢ Ἐλάται, Πεύκας καὶ Ἐλάτας· ὥσπερ μιμουμένων κἀκείνων. ἀλλὰ τὴν Ἰτέαν [φασὶ] ταχὺ προκαταβάλλειν πρὸ τοῦ τελείως ἀδρύναι καὶ πέψαι τὸν καρπὸν, διὸ καὶ τὸν Ποιητὴν οὐ κακῶς προσαγορεύειν αὐτὴν *ὠλεσίκαρπον. τῆς δὲ Πτελέας [l] καὶ ἐναντίον ὑπολαμβάνουσιν, ὅταν γὰρ ὑπὸ τῶν [m] πνευμάτων εἰς τοὺς *ἐχομένους τόπους ὁ καρπὸς ἀπενεχθῇ, φύεσθαί φασι. παραπλήσιον δὲ ἔοικεν εἶναι τὸ συμβαῖνον, ὃ καὶ ἐπὶ τῶν φρυγανικῶν καὶ πωδῶν τινῶν ἐστίν· οὐκ ἐχόντων γὰρ σπέρμα φανερὸν, (ἀλλὰ

[d] φύεται Const. [e] κἂν Bod. [f] ἐπεὶ καὶ Bod.
[g] Φεινεῷ Ald. Bas. [h] ὥσπερ Bod. [i] Ἰτίαν· Bod.
[k] καὶ deest Bod. [l] κἀκείνης μεῖζον Ald. Ger. κἀκεῖνο μεῖζον Bod. κἀκεῖνο σημεῖον Theod. [m] πνεύματων deest Bod.

τῶν μὲν οἷον *χνοῦν, τῶν δὲ ἄνθος, ὥσπερ τὸ Θύμον,) ὅμως ἀπὸ τούτων βλαστάνουσιν, ἐπεὶ ἥ γε Πλάτανος ἔχει φανερῶς [καρπὸν], καὶ ἀπὸ τούτου φύεται. τοῦτο δὲ ἐξ ἄλλων τε δῆλον· κἀκεῖνο μέγιστον σημεῖον, ὤφθη γὰρ ἤδη ποτὲ πεφυκυῖα Πλάτανος ἐν τρίποδι χαλκῷ. ταύτας τε δὴ τὰς γενέσεις ὑποληπτέον εἶναι τῶν ἀγρίων, καὶ ἔτι τὰς αὐτομάτας· [n] ὡς καὶ οἱ φυσιολόγοι λέγουσιν· Ἀναξαγόρας μὲν, τὸν ἀέρα πάντων φάσκων ἔχειν σπέρματα, καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά. Διογένης δὲ, σηπομένου τοῦ ὕδατος, καὶ μίξιν τινὰ λαμβάνοντος πρὸς τὴν γῆν· Κλεόδημος δὲ συνεστάναι μὲν ἐκ τῶν αὐτῶν τοῖς ζώοις [o] τὰ φυτά. ὅσῳ δὲ *θολερωτέρων καὶ ψυχροτέρων, τοσοῦτον ἀπέχειν τοῦ ζῶα εἶναι. λέγουσι δέ τινες καὶ [p] ἄλλως περὶ τῆς γενέσεως· [q] ἀλλὰ ταῦτα μὲν *ἀπηρτημένα πῶς ἐστὶ τῆς αἰσθήσεως, ἄλλαι δὲ ὁμολογούμεναι καὶ ἐμφανεῖς, οἷον, ὅταν ἔφοδος γένηται ποταμοῦ παρεκβάντος τὸ ῥεῖθρον, ἢ καὶ ὅλως [r] ἕτερόν τι ποιησαμένου· καθάπερ ὁ [s] Νέσσος ἐν τῇ Ἀβδηρίτιδι πολλάκις μεταβαίνει. καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συγγενᾶ τοῖς τόποις, ὥστε τῷ τρίτῳ ἔτει [t] *συνεφεῖν. καὶ πάλιν ὅταν [u] ἐπομβρίαι κατάχωσι πλεῖον χρόνον, καὶ γὰρ ἐν ταύταις βλαστήσεις γίνονται φυτῶν. ἔοικε δὲ ἡ μὲν τῶν ποταμῶν *ἔφοδος ἐπάγειν σπέρματα καὶ καρπούς, καὶ τοὺς *ὀχετούς φασι τὰ τῶν ποωδῶν σπέρματα. ἡ δὲ ἐπομβρία τοῦτ' αὐτὸ [x] ποιεῖ, συγκαταφέρει γὰρ πολλὰ

[n] ἃς καὶ Bod. [o] τὰ φυτὰ deest Ald. Bas. [p] ἄλλοι Bod. [q] ἀλλ' αὕτη Bas. ἀλλ' αὕτη Const. [r] ἱπίρωθι Bod. [s] Νίσος Ald. Bas. [t] συνηρεφεῖν. Bod. [u] ἱπομ-βρίαις Ald. Bas. [x] ἱποιεῖ, Ald. Bas.

τῶν σπερμάτων, καὶ ἅμα σῆψίν τινα τῆς γῆς καὶ τοῦ ὕδατος [ποιεῖ]. ἐπεὶ καὶ ἡ μίξις αὐτὴ τῆς Αἰγυπτίας γῆς δοκεῖ τινὰ γεννᾶν ὕλην. ἐνιαχοῦ δὲ ἂν μόνον *ὑπερτάσωνται, καὶ κινήσωσιν, εὐθὺς ἀναβλαστάνειν τὰ οἰκεῖα τῆς χώρας, ὥσπερ ἐν Κρήτῃ Κυπάριττοι. γίνεται δὲ παραπλήσιόν τι τούτῳ καὶ [y] ἐν τοῖς ἐλάττοσιν· ἅμα γὰρ [z] κινουμένη ἀναβλαστάνει πόα τίς ἐν ἑκάστῃ [χώρᾳ], ἐν δὲ τοῖς *ἡμιβρόχοις ἐὰν *ὑπονεάσῃς, φαίνεσθαί φασι Τρίβολον. αὗται μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς χώρας εἰσὶν, εἴτε καὶ ὑπαρχόντων σπερμάτων, εἴτε [a] αὖ τῆς γῆς οὕτω πῶς διατιθεμένης, ὅπερ ἴσως οὐκ ἄτοπον, ἐγκατακλειομένων ἅμα τῶν ὑγρῶν, ἐνιαχῇ δὲ καὶ ὑδάτων ἐπιγινομένων, ἰδιώτερον ἀνατεῖλαι ὕλης πλῆθος, ὥσπερ ἐν Κυρήνῃ πιττώδους τινὸς γενομένου καὶ παχέος [b] ὄμβρου ἀνεβλάστησεν ἡ πλησίον ὕλη. φασὶ δὲ καὶ τὸ Σίλφιον, οὐκ ὂν πρότερον, ἐκ τοιαύτης τινὸς αἰτίας φανῆναι. τρόποι μὲν οὖν οἷον τοιοῦτοι τῶν τοιούτων γενέσεων.

CAP. II.

De Arboribus fructiferis, vel sterilibus; et de Cultura Arborum.

ΠΑΝΤΑ δὲ κάρπιμα ἢ ἄκαρπα, καὶ ἀείφυλλα ἢ φυλλοβόλα, καὶ ἀνθοῦντα ἢ ἀνανθῆ· κοιναὶ γάρ τινες αὗται διαιρέσεις ἐπὶ πάντων εἰσὶν, ὁμοίως ἡμέρων τε καὶ ἀγρίων. ἴδια δὲ πρὸς τὰ ἥμερα τῶν ἀγρίων, ὀψικαρπία τε καὶ ἰσχὺς, καὶ πολυκαρπία, [καὶ] τῷ προφαίνειν·

[y] ἐν deest Bod. [z] κινουμένοις Bod. [a] αὐτῆς Bod.
[b] ὄμβρου deest Ald. Bod.

πεπαίνει τε γὰρ ὀψαίτερον [τὰ ἄγρια], καὶ τὸ ὅλον ἀνθεῖ, καὶ [c] βλαστάνει ὀψιαίτερον, ὡς ἰσχυρότερα τῇ φύσει· καὶ προφαίνει μὲν πλείω καρπὸν, ἐκπέττει δὲ ἧττον· εἰ μὴ καὶ [d] πάντα, ἄλλα καὶ τὰ ὁμοιογενῆ. [e] οἷον Κότινος ἧττον Ἐλαίας, καὶ Ἀχρὰς, Ἀπίου. ἅπαντα γὰρ οὕτως, πλὴν εἴ τι σπάνιον, ὥσπερ ἐπὶ τῶν Κρανείων καὶ τῶν Οὔων, ταῦτα γὰρ δή φασι πεπαίτερα καὶ ἡδύτερα τὰ ἄγρια τῶν ἡμέρων εἶναι, καὶ εἰ δή τι ἄλλο, ὁ μὴ προσδέχεται γεωργίαν, ἢ δένδρον, ἢ καί τι τῶν ἐλαττόνων, οἷον τὸ Σίλφιον, καὶ ἡ Κάππαρις· καὶ τῶν χεδροπῶν, ὁ Θέρμος· ἃ καὶ μάλιστα ἄν τις ἄγρια τὴν φύσιν εἴποι. τὸ γὰρ μὴ προσδεχόμενον ἡμέρωσιν, ὥσπερ ἐν τοῖς ζώοις, τοῦτο ἄγριον τῇ φύσει. καί τοί φησιν Ἵππων, ἅπαν καὶ ἄγριον καὶ ἥμερον εἶναι· θεραπευόμενον μὲν, ἥμερον, μὴ θεραπευόμενον δὲ, ἄγριον· τῇ μὲν, ὀρθῶς λέγων, τῇ δὲ, οὐκ ὀρθῶς, ἐξαμελούμενον μὲν γὰρ ἅπαν, χεῖρον γίνεται καὶ ἀπαγριοῦται, θεραπευόμενον δὲ, οὐχ ἅπαν βέλτιον, ὥσπερ εἴρηται· ὃ δὴ [f] χωριστέον· καὶ τὰ μὲν, ἄγρια, τὰ δὲ ἥμερα λεκτέον, ὥσπερ τῶν ζώων τὰ συναν θρωπευόμενα, καὶ τὰ μὴ δεχόμενα [g] τιθασσίαν. ἀλλὰ τοῦτο μὲν ἐοὲν ἴσως διαφέρει, ποτέρως ῥητέον. ἅπαν δὲ τὸ ἐξαγριούμενον, τοῖς τε καρποῖς χεῖρον γίνεται, καὶ [h] αὐτὸ βραχύτερον, καὶ φύλλοις καὶ κλωσὶ, καὶ φλοιῷ, καὶ τῇ ὅλῃ μορφῇ. καὶ γὰρ πυκνότερα καὶ [i] ὀρθότερα καὶ σκληρότερα, ταῦτα, καὶ ὅλη ἡ φύσις

[c] βλαστάνει ὡς ἐπὶ τὸ πᾶν, καὶ ἰσχυρότερα Bod. [d] πάντα τὰ ἄλλα, καὶ τὰ Bod. [e] οἷον, ἧττον Ἐλαίας, καὶ Ἀπίου· Κότινος καὶ Ἀχράς. Bod. [f] χωθηϊέον· Bod. [g] τιθάσσιον. Bod. τίθασιον. Ald. Bas. [h] αὐτοῦ Const. [i] ἀπορθότερα Const.

γίνεται, ὡς ἐν τούτοις μάλιστα τῆς διαφορᾶς τῶν ἡμέρων καὶ τῶν ἀγρίων γινομένης. διὸ καὶ ὅσα τῶν ἡμερουμένων τοιαῦτα τυγχάνει, ταῦτα ἄγριά φασιν εἶναι, καθάπερ τὴν Πεύκην καὶ τὴν Κυπάριττον, (ἢ ὅλως, ἢ τὰ ἄῤῥενα.) καὶ τὴν [k] Καρύαν δὲ, καὶ τὴν Διὸς Βάλανον. ἔτι δὲ τῷ φιλόψυχρα καὶ ὀρεινὰ μᾶλλον εἶναι [τὰ ἄγρια], καὶ γὰρ τοῦτο λαμβάνεται πρὸς τὴν ἀγριότητα τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν, εἴτ' οὖν καθ' αὑτὸ λαμβανόμενον, εἴτε κατὰ συμβεβηκός. ὁ μὲν [οὖν] τῶν ἀγρίων ἀφορισμὸς, εἴθ' ὅτως, εἴτε καὶ ἄλλως ληπτέον, ὀδὲν ἂν ἴσως διενέγκῃ πρὸς ταυῦν, ἐκεῖνο δὲ ἀληθὲς, ὡς ἐν τύπῳ καὶ ἁπλῶς γε εἰπεῖν, ὅτι μᾶλλον ὀρεινὰ τὰ ἄγρια, καὶ εὐθηνεῖ τὰ πλείω [τούτων] μᾶλλον ἐν τούτοις τοῖς τόποις, ἐὰν μήτις λαμβάνῃ τὰ φίλυδρα καὶ παραποτάμια, καὶ [l] ἀλσώδη· ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα τυγχάνει πεδινὰ μᾶλλον. οὐ μὲν ἀλλ' ἔν γε τοῖς μεγάλοις ὄρεσιν, οἷον, τὰ ἐν Παρνησῷ τε καὶ Κυλλήνῃ καὶ Ὀλύμπῳ, τῷ Πιερικῷ τε καὶ τῷ Μυσίῳ, καὶ εἴπου τοιοῦτον ἕτερον, ἅπαντα φύεται διὰ τὴν πολυειδίαν τῶν τόπων. ἔχουσι γὰρ * λιμνώδεις, καὶ ἐνύγρους· καὶ ξηροὺς, καὶ γεώδεις· καὶ πετρώδεις, καὶ τοὺς ἀνὰ μέσον, λειμῶνας, (καὶ σχεδὸν ὅσαι διαφοραὶ τῆς γῆς.) ἔτι δὲ τοὺς μὲν, κοίλους καὶ [m] εὐδιαινοὺς, τοὺς δὲ, μετεώρους καὶ * προσηνέμους. ὥστε δύνασθαι παντοῖα, καὶ τὰ ἐν τοῖς πεδίοις φέρειν· * οὐδὲν γὰρ ἄτοπον, οὐδ' εἰ ἔνια μὴ οὕτω πάμφορα τῶν ὀρῶν, ἀλλ' [n] ἰδιωτέρας τινὰς ὕλας ἢ πᾶσιν, ἢ τοῖς πλειστοῖς [τῶν ὀρέων], οἷον τὰ ἐν Κρήτῃ τῇ Ἰδαίᾳ

[k] Καρίαν Ald. Bas. [l] ἀσώδη· Bod. [m] εὐδιεινοὺς, Bod. [n] ἰδιωτέρας τινὸς ὕλης, ἢ πάσης, ἢ τῆς πλείστης, Bod.

[ὄρη], [o] Κυπάρισσις γὰρ ἐκεῖ· καὶ περὶ Κιλικίαν καὶ Συρίαν, ἐν οἷς Κέδρος, ἐνιαχοῦ δὲ τῆς Συρίας Τέρμινθος. αἱ γὰρ διαφοραὶ τῆς χώρας τὴν ἰδιότητα ποιοῦσιν· ἀλλ' εἴρηται τὸ ἴδιον ὡς ἐπίπαν.

CAP. III.

Arbores montanæ et campestres Macedoniæ. De Climatum Differentiis in Arboribus.

ΙΔΙΑ δὲ τὰ τοιάδε τῶν ὀρεινῶν, ἃ ἐν τοῖς πεδίοις οὐ φύεται· περὶ Μακεδονίαν τὰ μὲν, Ἐλάτη, Πεύκη, Πίτυς ἀγρία, Φίλυρα, Ζυγία, [p] Φηγὸς, Πύξος [q] Ἀνδράχνη, Μίλος, Ἄρκευθος, Τέρμινθος, Ἐρινεὸς, Φιλύκη, Ἀφάρκη, Καρύα, Διὸς Βάλανος, Πρῖνος· τὰ δὲ, καὶ ἐν τοῖς πεδίοις, Μυρίκη, Πτελέα, Λεύκη, Ἰτέα, Αἴγειρος, Κρανεία, Θηλυκρανεία, Κλήθρα, Δρῦς, [r] Λακάθη, Ἀχρὰς, Μηλέα, Ὀστρύα, Κύλαστρον, Μελία, Παλίουρος, Ὀξυάκανθα, [s] Σφένδαμνος, ἣν ἐν μὲν τῷ ὄρει πεφυκυῖαν Ζυγίαν καλοῦσιν, ἐν δὲ τῷ πεδίῳ, Γλεῖνον. οἱ δ' αὖ διαιροῦσι, καὶ ἕτερον ποιοῦσιν εἶδος Σφενδάμνου καὶ Ζυγίας. ἅπαντα δὲ ὅσα κοινὰ τῶν ὀρῶν καὶ τῶν πεδίων, μείζω μὲν καὶ καλλίω τῇ ὄψει ἃ ἐν τοῖς πεδίοις γίνεται, κρείττω δὲ [t] τῇ τε χρήσει τῶν ξύλων καὶ τῶν καρπῶν, τὰ ὀρεινὰ, πλὴν Ἀχράδος καὶ Μηλέας, αὗται δ' ἐν τοῖς πεδεινοῖς κρείττους, οὐ μόνον [u] τοῖς καρποῖς, ἀλλὰ καὶ τοῖς ξύλοις· ἐν γὰρ τοῖς ὄρεσι μικραὶ, ὀζώδεις καὶ ἀκανθώδεις γίνονται. πάντα δὲ καὶ ἐν τοῖς ὄρεσιν, ὅταν ἐπιλάβωνται

[o] Κυπάριττες καὶ Bod. [p] Πυγὸς, Ald. [q] Ἀδράχνη, Const. [r] Λακάρη, Const. [s] Ἄκανθος, Bod. [t] τῇ τε χρήσει desunt Ald. Bas. [u] ἐν τοῖς καρποῖς, Ald. Bas.

τῶν οἰκείων τόπων, καὶ καλλίω φύεται, καὶ εὐθηνεῖ μᾶλλον· ὡς δὲ ἁπλῶς εἰπεῖν, τὰ ἐν τοῖς ὁμαλέσι τῶν ὀρῶν, καὶ μάλιστα· τῶν δὲ ἄλλων τὰ ἐν τοῖς κάτω καὶ κοίλοις· τὰ δὲ ἐπὶ ἄκρων, χείριστα, πλὴν εἴ τι τῇ φύσει φιλόψυχρον· ἔχει δὲ καὶ [x] ταῦτα τοιαύτην διαφορὰν ἐν τοῖς ἀνομοίοις τῶν τόπων ὑπὲρ οὗ ὕστερον λεκτέον. νῦν δὲ διαιρετέον ἕκαστα κατὰ τὰς διαφορὰς τὰς εἰρημένας. ἀείφυλλα μὲν οὖν ἐστὶ τῶν ἀγρίων, ἃ καὶ πρότερον ἐλέχθη· [y] Ἐλάτη, Πεύκη, Πίτυς ἀγρία, Πύξος, Ἀνδράχνη, Μίλος, Ἄρκευθος, Τέρμινθος, Φιλύκη, Ἀφάρκη, Δάφνη, [z] Φελλόδρυς, Κήλαστρος, Ὀξυάκανθα, Πρῖνος, Μυρίκη· τὰ δὲ ἄλλα πάντα φυλλοβολεῖ. πλὴν εἴτι * περιττὸν ἐνιαχοῦ, καθάπερ ἐλέχθη περὶ τῆς ἐν Κρήτῃ Πλατάνου, καὶ [a] Δρύος ἐν Συβάρει, καὶ εἴπου τόπος τις ὅλως εὔτροφος. κάρπιμα δὲ, τὰ μὲν ἄλλα πάντα· περὶ δὲ Ἰτέας, καὶ Αἰγείρου, καὶ Πτελέας, ὥσπερ ἐλέχθη, διαμφισβητοῦσιν. ἔνιοι τὴν Αἴγειρον μόνην ἀκαρπεῖν φασίν· ὥσπερ καὶ [b] αἱ ἐν Ἀρκαδίᾳ· τὰ δὲ ἄλλα πάντα τὰ ἐν τοῖς ὄρεσι καρποφορεῖν. ἐν Κρήτῃ δὲ καὶ Αἴγειροι κάρπιμοι πλείους εἰσί· μία μὲν ἐν τῷ στομίῳ τοῦ ἄντρου ἐν τῇ Ἴδῃ, ἐν ᾧ τὰ ἀναθήματα ἀνάκειται, ἄλλη δὲ μικρὰ πλησίον· ἀπωτέρω δὲ μάλιστα δώδεκα σταδίους, περί τινα κρήνην, Σαύρου καλουμένην, πολλαί. εἰσὶ δὲ καὶ ἐν τῷ πλησίον ὄρει τῆς Ἴδης ἐν τῷ Κεδρίῳ καλουμένῳ, καὶ περὶ Τιρεσίαν δὲ ἐν τοῖς ὄρεσιν. οἱ δὲ, μόνην τῶν τοιούτων τὴν Πτελέαν κάρπιμον εἶναί

[x] ταῦτα αὐτῶν διαφορὰν Bod. [y] Ἐλάτη deest Bod.
[z] Φελλὸς, Δρῦς, Bod. [a] Δρύος, Bod. Δρύος ἐν Εὐβάρει, Const. [b] οἱ Bod.

φασι, καθάπερ [c] αἱ περὶ Μακεδονίαν. μεγάλη δὲ διαφορὰ πρὸς καρπὸν καὶ ἀκαρπίαν, καὶ ἡ τῶν τόπων φύσις· ὥσπερ ἐπί τε τῆς [d] Περσέας ἔχει καὶ [e] ἐπὶ τῶν Φοινίκων. ἡ μὲν ἐν Αἰγύπτῳ καρποφορεῖ, καὶ [f] εἴπου τῶν πλησίων τόπων· ἐν Ῥόδῳ δὲ μέχρι τοῦ ἀνθεῖν μόνον ἀφικνεῖται· ὁ δὲ Φοίνιξ περὶ μὲν Βαβυλῶνα θαυμαστῶς, ἐν τῇ Ἑλλάδι δὲ, ὃ πεπαίνει, παρ' ἐνίοις δὲ ὅλως οὐδένα προφαίνει καρπόν. ὁμοίως δὲ καὶ ἕτερα πλείω τοιαῦτά ἐστιν. [g] ἔτι δὲ καὶ τῶν ἐλαττόνων, [h] πωαρίων καὶ ὑλημάτων, ἐν τῇ αὐτῇ, ἢ καὶ συνόρῳ χώρᾳ, τὰ μὲν κάρπιμα, τὰ δὲ ἄκαρπα γίνεται, καθάπερ καὶ τὸ Κενταύριον ἐν τῇ Ἠλείᾳ, τὸ μὲν ἐν τῇ ὀρεινῇ κάρπιμον, τὸ δὲ ἐν τῷ πεδίῳ, ἄκαρπον, ἀλλὰ μόνον ἀνθεῖ· τὰ δὲ ἐν τοῖς κοίλοις τόποις οὐδὲ ἀνθεῖ, πλὴν κακῶς. δοκεῖ δὲ οὖν καὶ τῶν ἄλλων τῶν ὁμογενῶν, καὶ ἐν μίᾳ *προσηγορίᾳ, τὸ μὲν ἄκαρπον εἶναι, τὸ δὲ, κάρπιμον, οἷον Πρῖνος, ὁ μὲν κάρπιμος, ὁ δὲ ἄκαρπος. καὶ Κλήθρα δὲ ὡσαύτως· ἀνθεῖ δὲ ἄμφω.

CAP. IV.

Arbores mares et fœminæ. Germinatio prima, vel verna. Gallæ et Parasitæ Quercus.

ΣΧΕΔΟΝ δὲ ὅσα καλοῦσιν ἄῤῥενα τῶν ὁμογενῶν, τούτων τὰ πολλὰ ἄκαρπα [ἐστί]· καὶ τὰ μὲν ἀνθεῖν, φασὶ, τὰ δὲ ὀλίγον, τὰ δὲ ὅλως οὐκ ἀνθεῖν· τὰ δὲ, ἀνάπαλιν· τὰ μὲν ἄῤῥενα μόνα καρποφορεῖν· οὐ μὴν ἀλλ' ἀπόγε τῶν ἀνθῶν φύεσθαι [i] τὰ δένδρα, καθάπερ

[c] οἱ Bod. [d] Περσίας Bod. [e] ἐπὶ deest Bod.
[f] εἴτι ποῦ Const. [g] ἐπὶ δὶ Bod. [h] πωαρίων Ald.
[i] τὰ δίνδρα Bod.

καὶ ἀπὸ τῶν καρπῶν ὅσα κάρπιμα. καὶ ἐν ἀμφοῖν οὕτως ἐνίοτε πυκνὴν εἶναι τὴν * ἔκφυσιν, ὥστε τοὺς * ὀρεοτύπους μὴ δύνασθαι διϊέναι μὴ ὁδοποιησαμένους. [k] ἀμφισβητεῖται δὲ καὶ περὶ τῶν ἀνθῶν ἐνίων, ὥσπερ εἴπομεν· οἱ μὲν γὰρ καὶ Δρῦν ἀνθεῖν οἴονται, καὶ τὴν Ἡρακλεωτίκην Καρύαν, καὶ Διὸς Βάλανον· ἔτι δὲ Πεύκην, καὶ Πίτυν· οἱ δὲ οὐδὲν τούτων, ἀλλὰ τὸν * ἴουλον τὸν ἐν ταῖς Καρύαις, καὶ τὸ * βρύον τὸ δρυΐνον, καὶ τὸν * κύτταρον τὸν πιτύϊνον, [l] ὁμοία καὶ ἀνάλογα εἶναι τοῖς προπλώτοις [m] ἐρινοῖς. οἱ δὲ περὶ Μακεδονίαν οὐδὲ ταῦτά φασιν ἀνθεῖν· Ἄρκευθον, Ὀξύην, ἀγρίαν Σφένδαμνον· ἔνιοι δὲ τὰς Ἀρκεύθους δύο εἶναι, καὶ τὴν ἑτέραν ἀνθεῖν μὲν, ἄκαρπον δὲ εἶναι, τὴν δὲ ἑτέραν οὐκ ἀνθεῖν μὲν, καρπὸν δὲ φέρειν εὐθὺς προφαινόμενον, ὥσπερ καὶ τὰς Συκᾶς καὶ τοὺς Ἐρινέους. συμβαίνειν δὲ σχεδὸν ὥστε ἐπὶ δύο ἔτη τὸν καρπὸν ἔχειν μόνον τοῦτο τὸ δένδρον. ταῦτα μὲν οὖν ἐπισκεπτέον· ἡ δὲ βλάστησις, τῶν μὲν ἅμα γίνεται [n] τῶν ἀγρίων καὶ τῶν ἡμέρων· τῶν δὲ, μικρὸν ἐπιλειπομένη· τῶν δὲ ἤδη πλέον· ἁπάντων δὲ κατὰ τὴν ἠρινὴν ὥραν· ἀλλὰ τῶν καρπῶν ἡ παραλλαγὴ πλείων· ὥσπερ δὲ καὶ πρότερον εἴπομεν οὐ κατὰ τὰς βλαστήσεις αἱ πεπάνσεις, ἀλλὰ πολὺ διαφέρουσιν. ἐπεὶ καὶ τῶν ὀψικαρποτέρων, ἃ δή τινές φασιν * ἐνιαυτοφορεῖν, οἷον Ἄρκευθον καὶ Πρῖνον, ὅμως αἱ βλαστήσεις τοῦ ἦρος· αὐτὰ δὲ αὐτῶν τὰ ὁμογενῆ τῷ πρότερον καὶ ὕστερον διαφέρει κατὰ τοὺς τόπους· πρῶτα μὲν γὰρ βλαστάνει τὰ ἐν τοῖς ἕλεσιν, ὡς οἱ περὶ Μακεδονίαν λέγουσι, δεύτερα

[k] ἀμφισβητεῖ Ald. Bas. [l] ὁμοίαν καὶ ἀνάλογον Bod.
[m] ἐρινεοῖς. Bod. [n] τῶν ἀγρίων καὶ desunt Bod.

δὲ τὰ ἐν τοῖς πεδίοις, ἔσχατα δὲ τὰ ἐν τοῖς ὄρεσιν· αὐτῶν δὲ τῶν καθ' ἕκαστα δένδρων, τὰ μὲν συναναβλαστάνει τοῖς ἡμέροις, οἷον Ἀνδράχνη, [o] Ἀβάρκη, (Ἀχρὰς δὲ μικρῷ ὕστερον τῆς Ἀπίου,) τὰ δὲ καὶ πρὸ ζεφύρου μὲν, καὶ μετὰ πνοὰς εὐθὺς ζεφύρου. καὶ πρὸ ζεφύρου μὲν Κρανεία καὶ Θηλυκρανεία· μετὰ ζέφυρον δὲ, Δάφνη καὶ Κλήθρα. πρὸ ἰσημερίας δὲ μικρὸν, Φιλύρα, Ζυγία, Φηγὸς, Συκῆ· πρωΐβλαστα δὲ, καὶ Καρύα, καὶ Δρῦς, καὶ [p] Ἄκτη. ἔτι δὲ μᾶλλον τὰ ἄκαρπα, τὰ δοκοῦντα *ἀλσώδη, Λεύκη, Πτελέα, Ἰτέα, Αἴγειρος. (Πλάτανος δὲ μικρῷ ὀψαίτερον τούτων.) τὰ δὲ [q] ἄλλα *περιεστηκότος τοῦ ἦρος, οἷον Ἐρινεὸς, Φιλύκη, Ὀξυακάνθη, Παλίουρος, Τέρμινθος, Καρύα, Διὸς Βάλανος· (Μηλέα δὲ ὀψίβλαστος· [r] ὀψιβλαστότατα δὲ σχεδὸν, Ἶψος, Ἀρία, Τετραγωνία, [s] Θύια, Μίλος.) αἱ μὲν οὖν βλαστήσεις, οὕτως ἔχουσιν· αἱ δὲ ἀνθήσεις, ἀκολουθοῦσιν, ὡς εἰπεῖν, κατὰ *λόγον· οὐ μὴν ἀλλὰ παραλλάττουσι· μᾶλλον δὲ ἐπὶ πλέον ἡ τῶν καρπῶν τελείωσις, Κρανεία μὲν γὰρ ἀποδίδωσι περὶ τροπὰς θερινάς· ἡ πρωΐος [t] σχεδὸν οὕτως, ἢ πρωΐωτερον· ἡ δ' ὄψιος, ἣν δή τινες καλοῦσι Θηλυκρανείαν, μετ' αὐτὸ τὸ μετόπωρον. ἔστι δὲ ὁ ταύτης καρπὸς ἄθρωτος, καὶ τὸ ξύλον ἀσθενὲς καὶ *χαῦνον. τοσαύτη δὲ ἡ διαφορὰ περὶ ἄμφω. (ἄρρενι δὴ [u] σκληρότατον·) Τέρμινθος δὲ περὶ πυροῦ ἀμητὸν, ἢ καὶ μικρῷ ὀψιαίτερον· Μελία δὲ καὶ Σφένδαμνος τῷ θέρει ἀποδίδωσι τὸν καρπόν· Κλήθρα δὲ καὶ Καρύα καὶ Ἀχράδων τὶ γένος,

[o] ἀφάρκη, Const. [p] Ἀκτίος. Bas. [q] ἄλλως Bas. [r] ὀψιβλαστότατον Bod. [s] θύεια, Bod. [t] σχεδὸν· ὥσπερ πρῶτον ἡ ὄψιος, Bod. [u] ἀσθενέστατον, vel ἰσχυρότατον. Const.

μετοπώρου· Δρῦς δὲ καὶ Διὸς Βάλανος, ὀψιαίτερον ἔτι, περὶ Πλειάδος δύσιν· ὡσαύτως δὲ καὶ Φιλύκη, καὶ Πρῖνος, καὶ Παλίουρος, καὶ Ὀξυακάνθη, μετὰ Πλειάδος δύσιν· ἡ δὲ Ἀρία, χειμῶνος ἀρχομένου, καὶ Μηλέα μὲν τοῖς πρώτοις ψύχεσιν, Ἀχρὰς δὲ [x] ὀψίου χειμῶνος· Ἀνδράχνη δὲ καὶ Ἀφάρκη· τὸ μὲν πρῶτον πεπαίνουσιν ἅμα τῷ βότρυϊ περκάζοντι ἢ ἀνθοῦντι· [y] τὸ δ' ὕστερον (δοκεῖ γὰρ ταῦτα δικάρπειν) ἀρχομένου τοῦ χειμῶνος. Ἐλάτη γὰρ καὶ Μίλος ἀνθοῦσι μικρὸν πρὸ ἡλίου τροπῶν· καὶ τῆς γε Ἐλάτης τὸ ἄνθος [z] κρόκινον, καὶ ἄλλως καλόν· τὸν δὲ καρπὸν ἀφιᾶσι μετὰ δύσιν Πλειάδος· Πεύκη δὲ καὶ Πίτυς προτερῶσι τῇ βλαστήσει μικρὸν, ὅσον πεντεκαίδεκα ἡμέραις, τοὺς δὲ καρποὺς ἀποδίδωσι μετὰ Πλειάδα κατὰ λόγον. ταῦτα μὲν οὖν μετριωτέρον ἔχει, πάντων δὲ [a] ὀψιαίτατα, ἡ Ἄρκευθος, καὶ ἡ [b] Κήλαστρος, καὶ Πρῖνος· ἡ μὲν γὰρ Ἄρκευθος ἐνιαύσιον ἔχειν [τὸν καρπὸν] δοκεῖ, περικαταλαμβάνει γὰρ ὁ νέος τὸν *περυσινόν· ὡς δέ τινές φασιν οὐδὲ πεπαίνει, διὸ καὶ προαφαιροῦσι, καὶ χρόνον τινὰ τηροῦσιν, ἐὰν δὲ ἐᾷ ἐπὶ τοῦ δένδρου τὶς, ἀποξηραίνεται. φασὶ δὲ καὶ τὸν Πρῖνον οἱ περὶ Ἀρκαδίαν, ἐνιαυτῷ τελειοῦν, ἅμα γὰρ τὸν ἔνον πεπαίνει, καὶ τὸν νέον ὑποφαίνει, ὥστε τοῖς τοιούτοις συμβαίνει συνεχῶς τὸν καρπὸν ἔχειν. φασὶ δὲ καὶ τὴν Κήλαστρον ὑπὸ [c] τὸν χειμῶνα ἀποβάλλειν. ὀψίκαρπον δὲ σφόδρα, καὶ Πύξος, καὶ Φίλυρα, (τὸν δὲ καρπὸν ἄβρωτον ἔχει παντὶ ζώῳ ἡ Φίλυρα,) καὶ Θηλυκρανεία. [d] ὀψίκαρπα δὲ, καὶ Κιττὸς, καὶ Ἄρκευθος, καὶ Πεύκη καὶ Ἀν-

[x] ὀψία χειμῶνος. Bod. [y] τὸ δ' ὕστερον, ἀνθοῦντι. Bod. [z] κόκκινον, Ald. Bas. [a] πλείστην, Bod. [b] Κήλαστος, Bod. [c] τοῦ χειμῶνος Bas. [d] ὀξύκαρπα Bod.

δράχνη, ὡς δὲ οἱ περὶ Ἀρκαδίαν φασὶν, ἔτι τούτων ὀψικαρπότερα, σχεδὸν δὲ πάντων ὀψιέστερα, [e] Τετραγωνία, Θυΐα, Μίλος. αἱ μὲν οὖν τῶν καρπῶν ἀποβολαὶ καὶ πεπάνσεις τοιαύτας ἔχουσι διαφορὰς, οὐ μόνον πρὸς τὰ ἥμερα τῶν ἀγρίων, ἀλλὰ καὶ πρὸς ἑαυτά. συμβαίνει δὲ ὅταν [f] ἄρξωνται βλαστάνειν, τὰ μὲν ἄλλα συνεχῆ τήν γε βλάστησιν καὶ τὴν αὔξησιν ποιεῖσθαι, Πεύκην δὲ καὶ Ἐλάτην καὶ Δρῦν * διαλείπειν· καὶ τρεῖς ὁρμὰς εἶναι, καὶ τρεῖς ἀφιέναι βλαστούς. διὸ καὶ τρίσλιποι, πᾶν γὰρ δὴ δένδρον ὅταν βλαστάνῃ * λιπᾷ· πρῶτον μὲν [g] ἄκρου ἔαρος, εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνος. (ἔντε τῇ Ἴδῃ περὶ πεντεκαίδεκα μάλιστα ἡμέρας.) μετὰ δὲ ταῦτα διαλείποντα περὶ τριάκοντα ἢ μικρῷ πλείους, ἐπιβάλλεται πάλιν ἄλλους βλαστοὺς ἀπ' ἄκρας τῆς κορυφῆς ἕως τῆς [h] [ἀρχῆς] ἐπὶ τῷ προτέρῳ βλαστῷ. καὶ τὰ μὲν ἄνω, τὰ δὲ εἰς πλάγια κύκλῳ ποιεῖται τὴν βλάστησιν, οἷον * γόνυ ποιησάμενα κατὰ τὴν τοῦ πρώτου βλαστοῦ κορύνην, ὥσπερ καὶ ἡ πρώτη βλάστησις ἔχει· γίνεται δὲ τοῦτο περὶ τὸν σκιρροφοριῶνα λήγοντα. (κατὰ δὲ ταύτην τὴν βλάστησιν, καὶ ἡ [i] Κικὶς φύεται πᾶσα, καὶ ἡ λευκὴ καὶ ἡ μέλαινα· φύεται δὲ ὡς ἐπιτοπολὺ νυκτὸς ἀθρόως, ἐφ' ἡμέραν δὲ μίαν αὐξηθεῖσα, πλὴν τῆς πιττώδους, ἡ ἐὰν ὑπὸ τοῦ καύματος ληφθῇ, ξηραίνεται, καὶ ἀναυξής ἐστι τὸ μεῖζον· ἐγίνετο γὰρ ἂν μείζων τῷ μεγέθει· διόπερ τινὲς αὐτῶν οὐ μεῖζον ἔχουσι κυάμου τὸ μέγεθος· ἡ δὲ μέλαινα, καὶ ἐπὶ πλείους ἡμέρας εὔχλωρός ἐστι, καὶ αὐξάνεται· καὶ λαμβάνουσιν [k] ἔνιαι

[e] γωνία, Bod. [f] ἄρξονται Bod. [g] ἄρχοντος ἔαρος, Const. Plin. [h] ἀρχῆς deest Bod. [i] Κικὶς Const. Vid. not. ad fin. libri. [k] ἔνια Bod.

μέγεθος μήλου·) διαλείποντα δὲ μετὰ τοῦτο περὶ πεντεκαίδεκα ἡμέρας, πάλιν [l] τὸ τρίτον ἐπιβάλλεται βλαστοὺς ἑκατομβαιῶνος, ἐλαχίστας ἡμέρας τῶν πρότερον· ἴσως γὰρ ἓξ ἢ ἑπτὰ τὸ πλεῖστον· ἡ δὲ βλάστησις [ταύτης] ὁμοία, καὶ τὸν αὐτὸν τρόπον. ἐλθουσῶν δὲ τούτων, οὐκ ἔτι εἰς μῆκος ἀλλ' εἰς πάχος ἡ αὔξησις [m] τρέπεται. πᾶσιν μὲν οὖν τοῖς δένδροις αἱ βλαστήσεις φανεραὶ, μάλιστα δὲ τῇ Ἐλάτῃ καὶ τῇ Πεύκῃ, διὰ τὸ *στοιχεῖν τὰ γόνατα, καὶ ἐξ ἴσου τοὺς ὄζους ἔχειν. ὥρα δὲ καὶ πρὸς τὸ τέμνεσθαι τὰ ξύλα τότε, διὰ τὸ [n] λιπᾶν. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς οὐκ εὐπεριαίρετος ὁ φλοιὸς, ἀλλὰ καὶ περιαιρεθέντος, μέλαν τὸ ξύλον γίνεται, καὶ τῇ ὄψει χεῖρον. ἔτι καὶ πρός τε τὴν χρείαν οὐδέν· ἀλλὰ καὶ ἰσχυρότερον, ἐὰν μετὰ τὴν πέπανσιν τῶν καρπῶν τμηθῇ. ταῦτα μὲν ἴδια τῶν προειρημένων [o] δένδρων.

CAP. V.

Germinatio secunda, autumnalis. Amenta in Monœciis. Radicum Differentiæ.

ΑΙ δὲ βλαστήσεις ἐπὶ Κυνὶ καὶ [p] Ἀρκτούρῳ γινόμεναι, μετὰ τὴν ἐαρινὴν, σχεδὸν κοιναὶ πάντων, εὔδηλοι δὲ μᾶλλον ἐν τοῖς ἡμέροις, καὶ τούτων [q] μάλιστα ἐν Συκῇ καὶ Ἀμπέλῳ, καὶ Ῥοίᾳ. καὶ ὅλως ὅσα εὐτραφῆ, καὶ ὅπου [r] χώρα τοιαύτη· διὸ καὶ τὴν ἐπ' Ἀρκτούρῳ πλείστην φασὶ [s] γίνεσθαι περὶ Θετταλίαν καὶ Μακεδονίαν, ἅμα γὰρ συμβαίνει καὶ τὸ μετόπωρον ἐκεῖ καλὸν γίνεσθαι καὶ μα-

l τὸν τριτὸν Bod. m τρέπετο. Bod. n λοπᾶν. Ald. o καρπῶν. Bod. p Ἀρκτούρων Bas. q μάλιστα Συκῇ καὶ Ἀμπέλῳ, καὶ Ῥοιά. Bod. καὶ Ῥοά. Const. r ὥρα Const. s γινέσθαι Bod.

κρὸν, ὥςε καὶ τὴν μαλακότητα συμβάλλεσθαι τοῦ ἀέρος· ἐπεὶ καὶ ἐν Αἰγύπτῳ διὰ τοῦθ', ὡς εἰπεῖν, ἀεὶ βλαστάνει τὰ δένδρα, ἢ καὶ μικρόν τινα διαλείπει χρόνον. ἀλλὰ τὰ μὲν περὶ τὰς ἐκβλαστήσεις, ὥσπερ εἴρηται, κοινὰ, τὰ δὲ περὶ τὰς διαλείψεις ἀπὸ τῆς πρώτης, [t] ἴδια τῶν λεχθέντων. ἴδιον δὲ ἐνίοις ὑπάρχει καὶ τὸ τῆς καλουμένης *κάχρυος, οἷον, τοῖστε προειρημένοις. ἔχει γὰρ καὶ Ἐλάτη, καὶ Πεύκη, καὶ Δρῦς, καὶ ἔτι Φίλυρα, καὶ Καρύα, καὶ Διὸς Βάλανος, καὶ Πίτυς· [u] αὕτη δὲ γίνεται Δρυὶ μὲν, πρὸ τῆς βλαστήσεως ὑποφαινούσης, τῆς ἠρινῆς ὥρας. ἔςι δὲ ὥσπερ [x] κύησις φυλλικὴ μεταξὺ πίπτουσα τῆς ἐξ ἀρχῆς ἐπιφύσεως, τῇ ἰδιότητι δὲ τοῦ μετοπώρου μετὰ τὴν φυλλοβολίαν ἐπωδηκυῖα, καθαπεραὶ μέλλουσα βλαςάνειν· καὶ διαμένει τὸν χειμῶνα μέχρι τοῦ ἦρος. τῇ δὲ Ἡρακλεωτικῇ, μετὰ τὴν ἀποβολὴν τοῦ καρποῦ φύεται τὶ [y] βρυῶδες, ἡλίκος σκώληξ εὐμεγέθης, ἐξ ἑνὸς μίσχου [z] πλείω, ἃ καλοῦσί τινες *ἰούλους. τούτων ἕκαστον ἐκ μικρῶν σύγκειται [a] μορίων *φολιδωτῶν τῇ τάξει, καθάπερ οἱ *στρόβιλοι τῆς Πεύκης, ὥστε μὴ ἀνομοίαν εἶναι τὴν ὄψιν στροβίλῳ νέῳ καὶ χλωρῷ, πλὴν προμηκέστερον καὶ σχεδὸν ἰσόπαχες διόλου. τοῦτο δὲ αὔξεται τὸν χειμῶνα, καὶ ἅμα τῷ ἦρι χάσκει. τὰ δὲ φολιδωτὰ [μόρια] ξανθὰ γίνεται, καὶ τὸ μῆκος λαμβάνει τριδάκτυλον· ὅταν δὲ τοῦ ἦρος τὸ φύλλον βλαστάνῃ, ταῦτ' ἀποπίπτει· καὶ τὰ τοῦ καρύου, [b] *καλυκώδη περικάρπια γίνεται, συμμεμυκότα κατὰ τοῦ μίσχου· τοσαῦτα, ὅσα καὶ κατὰ ἄνθη, τούτων δ' ἐν

[t] εἴδη Const. [u] αὗται δὲ γίνονται Bod. [x] κύησις φυλακὴ Bod. Vid. not. ad fin. libri. [y] ῥυῶδες, Bod. [z] πιώδης, Bod. [a] μυρίων Germ. [b] Vid. not. ad fin. libri.

ἑκάστῳ, κάρυον ἕν. περὶ δὲ τῆς Φιλύρας ἐπισκεπτέον, καὶ εἴ τι ἄλλο καχρυοφόρον. ἔστι δὲ καὶ τὰ μὲν, εὐαυξῆ· τὰ δὲ, δυσαυξῆ· εὐαυξῆ μὲν τάτε πάρυδρα, οἷον, Πτελέα, Πλάτανος, Λεύκη, Αἴγειρος, Ἰτέα· καίτοι περὶ ταύτης ἀμφισβητοῦσί τινες ὡς δυσαυξοῦς· καὶ τῶν καρποφόρων δὲ, Ἐλάτη, Πεύκη, Δρῦς· εὐαυξέστατον δὲ, Μίλος, καὶ [c] Λακάρα, Φηγὸς, Ἄρκευθος, Σφένδαμνος, Ὀστρύα, Μελία, [d] Κλῆθρα, Πίτυς, Ἀνδράχνη, Κρανεία, Πύξος, Ἀχράς. καρποφορεῖ δὲ εὐθὺς, Ἐλάτη, Πεύκη, Πίτυς, κἂν ὀπηλικονοῦν μέγεθος λάβωσιν· ἡ δὲ αὔξησις καὶ ἡ βλάστησις, τῶν μὲν ἄλλων ἄτακτος κατὰ τοὺς καρποὺς καὶ τοὺς βλαστοὺς, τῆς δ' Ἐλάτης ὡρισμέναι καὶ συνεχεῖς, καὶ ὕστερον· ὅταν γὰρ ἐκ τοῦ στελέχους τὰ πρῶτα σχισθῇ, πάλιν ἐξ ἐκείνου ἡ ἕτερα σχίζεται, [e] καὶ ἴσα, καὶ τὸν αὐτὸν τρόπον. καὶ τοῦτο ἀεὶ ποιεῖ μετὰ πάσας τὰς ἐπιβλαστήσεις. ἐν δὲ τοῖς ἄλλοις οὐδὲ οἱ ὄζοι κατ' ἀλλήλους, πλὴν [f] ἐπί τινων. ἔχει δὲ καὶ τῇδε διαφορὰν ἡ αὔξησις πάντων κοινῇ, ἡμέρων τε καὶ ἀγρίων, τὰ μὲν γὰρ ἐκ τοῦ ἄκρου τῶν βλαστῶν καὶ ἐκ τῶν πλαγίων φύεται, καθάπερ Ἄπιος, Ῥοιὰ, Συκῆ, Μύῤῥινος· σχεδὸν τὰ πλεῖστα· τὰ δὲ ἐκ τοῦ ἄκρου μὲν οὐκ ἀνίησιν, ἐκ δὲ τῶν πλαγίων· καὶ [g] οὕτω προωθεῖται τὸ ὑπάρχον, ὥσπερ καὶ τὸ ὅλον στέλεχος, καὶ οἱ ἀκρέμονες. συμβαίνει δὲ ἐπὶ τῆς Περσικῆς τοῦτο Καρύας καὶ τῆς Ἡρακλεωτικῆς, καὶ ἄλλων. ἁπάντων δὲ τῶν τοιούτων εἰς ἓν φύλλον ἀποτελευτῶσιν οἱ βλαστοί. διὸ καὶ εὐλόγως οὐκ ἐπιβλαστάνει καὶ αὐξάνεται μὴ ἔχοντα

[c] Λεύκαρα, Bod. [d] Κλῆθρος, Bod. [e] τὰ ἴσα, Bod.
[f] ἐπί τινων ὀλίγων. Const. [g] τὸ αὐτὸ Bod. αὐτῷ Const.

ἀρχήν· [h] ὅμοια δὲ τρόπον τινὰ ἡ αὔξησις καὶ τοῦ Σίτου· καὶ γὰρ οὗτος ἀεὶ τῇ προώσει τῇ ὑπαρχούσῃ αὐξάνεται, κἂν *κολοβωθῇ τὰ φύλλα, καθάπερ ἐν τοῖς ἐπιβοσκομένοις· πλὴν οὗτός γε οὐδ' ἐκ τοῦ πλαγίου παραφύει, καθάπερ ἔνια τῶν χεδροπῶν, αὕτη μὲν οἷον διαφορά τις ἂν εἴη βλαστήσεως ἅμα καὶ αὐξήσεως. βαθύῤῥιζα δὲ οὔ φασί τινες εἶναι τὰ ἄγρια, διὰ τὸ φύεσθαι πάντα ἀπὸ σπέρματος, οὐκ ἄγαν ὀρθῶς λέγοντες· ἐνδέχεται γάρ, ὅταν ἐμβιώσῃ, πόῤῥω καθιέναι τὰς ῥίζας, ἐπεὶ καὶ τῶν λαχάνων τὰ πολλὰ τοῦτο ποιεῖ, καίπερ ἀσθενέστερα ὄντα, καὶ ἐναργῶς φυτευόμενα [ἐν] τῇ γῇ. βαθυῤῥιζότατον δὲ δοκεῖ τῶν ἀγρίων εἶναι ἡ Πρῖνος· Ἐλάτη δὲ καὶ Πεύκη, μετρίως· ἐπιπολαιότατον δὲ, Θραύπαλος, καὶ Κοκκυμηλέα, καὶ Σποδιὰς, αὕτη δ' ἐστὶν ὥσπερ ἀγρία Κοκκυμηλέα. ταῦτα μὲν ἦν καὶ ὀλιγόῤῥιζα· ὁ δὲ Θραύπαλος, πολύῤῥιζον. συμβαίνει δὲ [τοῦτο] τοῖς ἄλλοις τοῖς μὴ κατὰ βάθος ἔχουσι, (καὶ οὐχ ἥκιστα [i] Ἐλάτῃ,) καὶ προῤῥίζης ὑπὸ τῶν πνευμάτων ἐκπίπτειν. οἱ μὲν οὖν περὶ Ἀρκαδίαν οὕτω λέγουσιν· οἱ δ', ἐκ τῆς Ἰδης βαθυῤῥιζοτέραν Ἐλάτην [εἶναι] Δρυὸς, ἀλλ' ἐλάττους ἔχειν· καὶ εὐθυῤῥιζοτέραν εἶναι· βαθυῤῥιζότατον δὲ καὶ τὴν Κοκκυμηλέαν, καὶ τὴν Ἡρακλεωτικήν· τὰς δὲ ῥίζας λεπτὰς καὶ ἰσχυρὰς, τὴν Ἡρακλεωτικὴν ἔχειν. τὴν δὲ Κοκκυμηλέαν πολύῤῥιζον· ἄμφω δὲ *ἐμβιῶναι δεῖν. δυσόλεθρον δὲ τὴν Κοκκυμηλέαν· [k] ἐπιπολαίους δὲ Σφένδαμνον, καὶ κατ' ὄλιγον, τὴν δὲ Μελίαν, πλείους, (καὶ εἶναι πυκνόῤῥιζον καὶ βαθύῤῥιζον·) ἐπιπολαίους δὲ,

[h] ὁποία Bod. [i] Ἐλάτῃ καὶ Πεύκῃ, Const. [k] ἐπιπολῆς δὲ Σφένδαμνον, καὶ ἔπι ὀλίγους Bod.

καὶ Ἄρκευθον, καὶ Κέδρον· Κλήθραν δὲ λεπτὰς καὶ [m] Μελίαν, ἔτι δὲ Ὀξύην· (καὶ γὰρ τοῦτ' ἐπιπολαιόρριζον καὶ ὀλιγόρριζον·) τὴν δὲ Οὖαν, ἐπιπολαίους μὲν [ἔχειν], ἰσχυρὰς δὲ καὶ παχείας, καὶ δυσολέθρους, πλήθει δὲ μετρίας. βαθύρριζα μὲν οὖν καὶ ἐπιπόλαια, τὰ τοιαῦτα ἔστιν.

CAP. VI.

Ἀμφιφύα in Abiete: Amenta Coryli, Juglandis, Pinus, Quercus.

ΑΠΟΚΟΠΕΝΤΟΣ δὲ τοῦ σελέχους τὰ μὲν ἄλλα πάνθ', ὡς εἰπεῖν, παραβλαστάνει, πλὴν ἐὰν αἱ ῥίζαι πρότερον τύχωσι *πεπονηκυῖαι· Πεύκη δὲ καὶ Ἐλάτη τελέως ἐκ ῥιζῶν αὐτοετεῖς αὐαίνονται, καὶ ἐὰν τὸ ἄκρον [n] μόνον ἐπικοπῇ. συμβαίνει δὲ ἴδιόν τι περὶ τὴν Ἐλάτην. ὅταν γὰρ κοπῇ, ἢ κολουσθῇ ὑπὸ πνεύματος, ἢ καὶ ἄλλου τινός· περὶ τὸ [o] λεῖον τοῦ στελέχους· (ἔχει γὰρ μέχρι τινὸς λεῖον καὶ ἄοζον καὶ ὅμοιον, ἢ καὶ ἡλίκον [p] πλοίου ἴστον.) περιφύεται τὶ μικρὸν ὑποδεέστερον εἰς ὕψος, καὶ καλοῦσιν, οἱ μὲν *ἄμφαυξιν, οἱ δὲ, *ἀμφιφύαν· τῷ μὲν χρώματι μέλαν, τῇ σκληρότητι δ' ὑπερβάλλον, ἐξ οὗ τοὺς κρατῆρας ποιοῦσιν οἱ περὶ Ἀρκαδίαν· τὸ δὲ πάχος, οἷον ἂν τύχῃ τὸ δένδρον· ὅσῳπερ ἂν ἰσχυρότερον, καὶ ἐγχυλότερον καὶ παχύτερον. συμβαίνει δὲ κἀκεῖνο ἴδιον ἐν αὐτῷ τούτῳ περὶ τὴν Ἐλάτην· ὅταν μὲν γάρ τις τοὺς ὄζους ἅπαντας ἀφελὼν ἀποκόψῃ τὸ ἄκρον, ἀποθνήσκει ταχέως· ὅταν δὲ τὰ κατωτέρω τὸ [q] κατὰ

[m] Μηλίαν, Const. [n] μόνον deest Bod. [o] πλεῖον Bod. [p] ἴστῳ πλοίῳ. Const. Vid. not. ad fin. libri. [q] καταλύον Bod.

τὸ λεῖον ἀφέλῃ, ζῇ τὸ κατάλοιπον, περὶ ὃ δὴ καὶ ἡ ἄμφαυξις φύεται. ζῇ δὲ, καὶ δῆλον, διὰ τὸ ἔγχυλον εἶναι καὶ χλωρὸν, εἴπερ ἀπαράβλαστον. ἀλλὰ γὰρ τοῦτο μὲν ἴδιον τῆς Ἐλάτης. φέρει δὲ τὰ μὲν ἄλλα, τόν τε καρπὸν τὸν αὐτὸν, καὶ τὰ κατ' ἐνιαυτὸν ἐπιγινόμενα ταῦτα, φύλλον, ἄνθος, βλαστόν· καὶ τὰ μὲν βρύον, ἢ ἕλικα, τὰ δὲ πλείω, καθάπερ ἥτε Πτελέα, τόν τε Βότρυν καὶ τὸ *θυλακῶδες [r] τοῦτο· καὶ Συκῆ τὰ ἔρινα τὰ προαποπίπτοντα, καὶ εἴτινες ἄρα τῶν Συκῶν *ὀλυνθοφοροῦσιν· ἴσως δὲ τρόπον τινὰ [s] ἄκαρπος οὗτος· ἀλλ' ἡ Ἡρακλεωτικὴ Καρύα, τὸ ἴουλον, καὶ ἡ Πρῖνος τὸν φοινικοῦν κόκκον, ἡ δὲ Δάφνη τὸ [t] βοτρύδιον φέρει μὲν, καὶ καρποφόρος ἐστὶ, εἰ μὴ καὶ πᾶσα, ἀλλὰ καὶ γένος τι αὐτῆς, [u] (οὐ μὴν ἀλλὰ πλέον ἢ ἄκαρπος, ἣν δὴ καὶ ἄῤῥενα τινὲς καλοῦσιν·) ἀλλ' ἡ Πεύκη τὸν προαποπίπτοντα *κύτταρον. πλεῖστα δὲ πάντων ἡ Δρῦς φέρει [x] παρὰ τὸν καρπὸν, οἷον τήν τε *κικίδα τὴν μικρὰν, καὶ τὴν ἑτέραν τὴν πιττώδη καὶ μέλαιναν, ἔτι δὲ καὶ *συκαμινῶδες [τὶ] ἄλλο τῇ μορφῇ· πλὴν σκληρὸν καὶ [y] δυσκάτακτον, σπάνιον δὲ τοῦτο. καὶ ἕτερον αἰδοιώδη χέσιν ἔχον, τελειουμένης δὲ, τὶ σκληρὸν κατὰ τὴν ἐπανάστασιν [ἔχει], καὶ τετρυπημένον, καὶ προσεμφερὲς τρόπον τινὰ καὶ [z] Σαύρου κεφαλῇ· περικαταγνύμενον δὲ ἔνδοθεν ἔχει [a] τὶ πυρῆνι Ἐλαίας ὁμοίον *εἰροφυήν. φύει δὲ καὶ τὸν ὑπ' ἐνίων καλούμενον πίλον· τοῦτο δ' ἐστὶ σφαιρίον ἐριῶδες, μαλακὸν, περιπυρηνιῷ [b] σκληρότερῳ πεφυκὸς,

[r] οὕτως· Const. [s] καρπὸς Const. [t] βότρυον Ald. [u] Vid. not. ad fin. libri. [x] παρὰ deest Bod. [y] δυσκάταντον, Bod. [z] ταύρου Ald. Bod. [a] πυρῆνα, Ἐλαία εἰροφυήν. Bod. ὁμοφυῆ. Const. Vid. not. ad fin. libri. [b] σκληρότερον Bod.

ᾧ χρῶνται πρὸς τοὺς λύχνους, καίεται γὰρ καλῶς, ὥσπερ καὶ ἡ μέλαινα κικίς. φύει δὲ καὶ ἕτερον σφαιρίον, κόμην ἔχον, τὰ μὲν ἄλλα, ἀχρεῖον, κατὰ δὲ τὴν ἐαρινὴν ὥραν [c] ἐπιβάπτον χυλῷ μελιτηρίῳ, καὶ κατὰ τὴν *ἀφὴν καὶ κατὰ τὴν *γεῦσιν. φύει δ' [d] ἐκ *μασχαλίδος τῶν ῥοπῶν, ἕτερον σφαιρίον ἄμισχον, ἢ καὶ [e] κοιλόμισχον, ἴδιον, καὶ ποικίλον· τοὺς μὲν γὰρ [f] ἐπανεστηκότας *ὀμφαλοὺς ἐπιλεύκους, ἢ ἐπεσιγμένους ἔχει [g] μέλανι, τὸ δὲ ἀνὰ μέσον κοκκοβαφὲς καὶ λαμπρόν· ἀνοιγόμενον δέ ἐστι μέλαν καὶ ἐπίσαπρον. σπάνιον δὲ παραφύει καὶ λιθάριόν τι, *κισσηρῶδες ἐπὶ πλεῖον· ἔτι δ' ἄλλον τούτου σπανιώτερον, φυλλικὸν ο ὑμπεπιλημένον, πρόμηκες σφαιρίον. ἐπὶ δὲ τοῦ φύλλου φύει κατὰ τὴν *ῥάχιν σφαιρίον λευκὸν διαυγὲς ὑδατῶδες, ὅταν ἁπαλὸν ᾖ· τοῦτο δὲ καὶ μυίας ἐνίοτε ἔνδον ἔχει, τελειούμενον δὲ σκληρύνεται κικίδος μικρᾶς λείας τρόπον. ἡ μὲν οὖν Δρῦς τοσαῦτα φέρει [h] παρὰ τὸν καρπόν. οἱ γὰρ Μύκητες ἀπὸ τῶν ῥιζῶν καὶ παρὰ τὰς ῥίζας φυόμενοι, κοινοὶ καὶ ἑτέρων εἰσίν· ὡσαύτως δὲ καὶ ἡ Ἰξία· καὶ γὰρ αὐτὴ φύεται καὶ ἐν ἄλλοις, ἀλλ' οὐδὲν ἧττον, ὥσπερ ἐλέχθη, πλειοφόρον ἐστίν [ἡ Δρῦς]. εἰ δέ γε δὴ καθ' Ἡσίοδον φέρει μέλι καὶ μελίττας, ἔτι μᾶλλον. φύεται δ' οὖν καὶ ὁ μελιττώδης οὗτος χυλὸς ἐκ τοῦ ἀέρος ἐπὶ ταύτῃ μάλιστα [i] προσίζων. φασὶ δὲ καὶ ὅταν κατακαυθῇ, γίνεσθαι [k] νίτρον ἐξ αὐτῆς. ταῦτα μὲν οὖν ἴδια τῆς δρυός.

[c] Vid. not. ad fin. libri. [d] ἐντεριώνης τῶν ῥοπῶν μασχαλίδας, Bod. Vid. not. ad fin. libri. [e] κοιλόμισχον, Const. [f] ἐσπανηκότας Const. Ald. [g] μίλανας, Bod. [h] περὶ Bod. [i] προσίζον. Bod. προσίζειν. Ald. [k] λίτρον Bod.

CAP. VII.

Mas et fœmina in Arboribus. De Roboris Generibus. Differentiæ in Glandibus. De Gallis.

ΠΑΝΤΩΝ δὲ, ὥσπερ ἐλέχθη, τῶν δένδρων, ὡς καθ' ἕκαστον γένος λαβεῖν, διαφορὰ πλείους εἰσίν· ἡ μὲν, κοινὴ πᾶσιν, ᾗ διαιροῦσι τὸ θῆλυ καὶ τὸ ἄῤῥεν, ὧν τὸ μὲν, καρποφόρον, τὸ δὲ ἄκαρπον (ἐπί τινων)· ἐν οἷς δὲ ἄμφω καρποφόρα, τὸ θῆλυ καλλικαρπότερον, πλὴν ὅσοι ταῦτα καλοῦσιν ἄῤῥενα. (καλοῦσι γάρ τινες.) παραπλήσια, [l] ἡ καὶ τοιαύτη διαφορὰ, καὶ ὡς τὸ ἥμερον διήρηται πρὸς τὸ ἄγριον. ἑτέρα δὲ κατ' εἶδος [διαφορὰ] αὐτῶν τῶν ὁμογενῶν, ὑπὲρ ὧν, ἅμα συνεμφαίνοντες καὶ τὰς ἰδίας μορφὰς τῶν μὴ φανερῶν καὶ τῶν γνωρίμων, λέξομεν. Δρυὸς δὲ γένη δ' ἐστὶ, (ταύτῃ γὰρ μάλιστα διαιροῦσι·) καὶ ἔνιοί γε εὐθὺς τὴν μὲν ἥμερον καλοῦσι, τὴν δὲ ἀγρίαν, οὐ τῇ γλυκύτητι τοῦ καρποῦ διαιροῦντες, ἐπεὶ γλυκύτατός γε ὁ τῆς Φηγοῦ, ταύτην δ' ἀγρίαν ποιοῦσιν· ἀλλὰ τῷ μᾶλλον ἐν τοῖς ἐργασίμοις φύεσθαι, καὶ τῷ ξύλον ἔχειν λειότερον· τὴν δὲ Φηγὸν τραχὺ, καὶ ἐν τοῖς ὀρεινοῖς· γένη μὲν οὖν οἱ μὲν τέτταρα ποιοῦσιν, οἱ δὲ πέντε· διαλλάττουσι δὲ ἔνια τοῖς ὀνόμασιν. οἷον τὴν τὰς γλυκείας βαλάνους φέρουσαν, οἱ μὲν, Ἡμερίδα καλοῦντες, οἱ δὲ, [m] Ἐτυμόδρυν, ὁμοίως δὲ καὶ ἐπ' ἄλλων. ὡς δ' οὖν οἱ περὶ τὴν Ἴδην διαιροῦσι, τάδ' ἐστὶ τὰ εἴδη· Ἡμερὶς, Αἰγίλωψ, Πλατύφυλλος, Φηγὸς, Ἀλίφλοιος· οἱ δὲ, [n] Εὔφλοιον καλοῦσι· κάρπιμα μὲν πάντα· γλυκύτατα

[l] τῇ τοιαύτῃ διαφορᾷ, Bod.
[m] μύδιον, Bod. γλύκιον, Ald.
[n] εὐθύφλοιον Ald. Bas.

δὲ τὰ τῆς Φηγοῦ, καθάπερ εἴρηται· καὶ δεύτερον τὰ τῆς Ἡμερίδος, ἔπειτα τῆς Πλατυφύλλου· καὶ τέταρτον ἡ Ἀλίφλοιος. ἔχατον δὲ καὶ πικρότατον, ἡ Αἰγίλωψ. οὐκ ἐν ἅπασι δὲ γλυκεῖαι [αἱ βάλανοι] τοῖς γένεσιν, ἀλλ' ἔνιαι καὶ πικραί, καθάπερ ἡ Φηγός. διαφέρουσι δὲ καὶ τοῖς μεγέθεσι, καὶ τοῖς σχήμασι, καὶ τοῖς χρώμασι τῶν βαλάνων· ἴδιον δέ τι ἔχουσιν, ἥτε Φηγὸς, καὶ ἡ Ἀλίφλοιος, ἀμφότερα γὰρ [o]παραλιθάζουσιν ἐν τοῖς ἄῤῥεσιν καλαμένοις, ἐξ ἄκρων τῶν βαλάνων ἑκατέρωθεν· αἱ μὲν, πρὸς τῷ κελύφει, αἱ δὲ πρὸς αὐτῇ τῇ σαρκὶ, διὸ καὶ ἀφαιρεθέντων, ὅμοια γίνεται κοιλώματα τοῖς ἐπὶ τῶν ζώων. διαφέρουσι δὲ καὶ ἐν τοῖς φύλλοις καὶ τοῖς στελέχεσι καὶ τοῖς ξύλοις καὶ τῇ ὅλῃ μορφῇ· ἡ μὲν γὰρ Ἡμερὶς οὐκ ὀρθοφυὴς, [p]οὐ δὲ μακρά· (*περίκομος γὰρ ἡ φυτεία καὶ ἀπεστραμμένη·) καὶ [q]*κοιλομάχαλος, ὥστε καὶ ὀζώδη καὶ *πολυμάχαλον γίνεθαι· τὸ δὲ ξύλον ἰσχυρὸν μὲν, ἀθενέστερον δὲ τῆς Φηγοῦ· τοῦτο γὰρ ἰσχυρότατον, καὶ ἀσαπέστατον· οὐκ ὀρθοφυὴς δὲ οὐδὲ αὐτὴ, ἀλλ' ἧττον ἔτι τῆς Ἡμερίδος· τὸ δὲ στέλεχος παχύτατον, ὥστε καὶ τὴν ὅλην [μόρφην] βραχεῖαν εἶναι· καὶ γὰρ ἡ φυτεία περίκομος ταύτῃ καὶ οὐκ εἰς ὀρθόν· ἡ δὲ Αἰγίλωψ ὀρθοφυέστατον, καὶ ὑψηλότατον, καὶ λειότατον, καὶ τὸ ξύλον εἰς μῆκος ἰσχυρότατον. [r]οὐ φύεται δ' ἐν τοῖς ἐργασίμοις, ἢ σπανίως. ἡ δὲ Πλατύφυλλος δεύτερον ὀρθοφυΐᾳ καὶ μήκει, πρὸς δὲ τὴν χρείαν [s]τὴν οἰκοδομικὴν χείριστον μετὰ τὴν Ἀλίφλοιον. φαῦλον δὲ καὶ εἰς τὸ καίειν καὶ *ἀνθρακεύειν, ὥσπερ καὶ τὸ τῆς Ἀλιφλοίου, καὶ [t]*θριπηδέστατον

[o] Vid. not. ad finem libri. [p] οὐδὲ λεία οὐδὲ μακρά. Bas. [q] καλομάσχαλος, Bod. [r] οὐ deest Bod. [s] τῆς οἰκοδομικῆς Const. [t] θριπωδίστατον Bod.

μετὰ ἐκείνην, ἡ γὰρ Ἀλίφλοιος παχύτατον μὲν ἔχει [u] τὸν φλοιὸν καὶ τὸ στέλεχος, *χαῦνον δὲ καὶ κοῖλον, ἐὰν ἔχῃ πάχος ὡς ἐπιπολὺ, διὸ καὶ ἀχρεῖον εἰς τὰς οἰκοδομάς. ἔτι δὲ σήπεται τάχιστα· (καὶ γὰρ *πεφυκὸς τοῦτ' ἐστὶ τοῦ δένδρου·) διὸ καὶ κοίλον γίνεται. φασὶ δέ τινες οὐδὲ ἐγκάρδιον εἶναι μόνῃ· λέγουσι δὲ καὶ κεραυνοβλῆτες αὗται μόναι γίνονται, καίπερ ὕψος οὐκ ἔχουσαι· καὶ τῶν Αἰολέων τινὲς οὐδὲ πρὸς τὰ ἱερὰ χρῶνται τοῖς ξύλοις [ταύτης]· κατὰ μὲν οὖν τὰ ξύλα καὶ τὰς ὅλας μορφὰς, ἐν τούτοις αἱ διαφοραί· κικίδας δὲ πάντα φέρει τὰ γένη, μόνη δὲ εἰς τὰ δέρματα [x] χρησίμη ἡ τῆς Ἡμερίδος· ἡ δὲ τῆς Αἰγίλωπος καὶ τῆς Πλατύφυλλος, τῇ μὲν ὄψει παρομοία τῇ τῆς Ἡμερίδος, πλὴν λειοτέρα, ἀχρεῖα δέ. φέρει δὲ καὶ τὴν ἑτέραν τὴν μέλαιναν, ᾗ τὰ ἔρια βάπτουσιν· ὃ δὲ καλοῦσί τινες φάσκον, ὁμοίως τοῖς *βραγχίοις, ἡ Αἰγίλωψ μόνη φέρει, [y] πολιὸν ὡς *ῥακίον, καὶ γὰρ πηχυαῖον κατακρεμάννυται καθάπερ *τρύχος ὀθονίου μακρόν· φύεται δὲ τοῦτο ἐκ τοῦ φλοιοῦ, καὶ οὐκ ἐκ τῆς κορύνης, ὅθεν ἡ βάλανος, οὐδὲ ἐξ ὀφθαλμοῦ, ἀλλ' ἐκ τοῦ πλαγίου [z] ἐκ τῶν ἄνωθεν ὄζων ἔχει· ἡ δὲ Ἀλίφλοιος ἐπιμέλαν τοῦτο φύει, καὶ βραχύ. οἱ μὲν οὖν ἐκ τῆς Ἴδης οὕτω διαιροῦσιν, οἱ δὲ περὶ Μακεδονίαν, τέτταρα γένη ποιοῦσιν, Ἐτυμόδρυν, ἢ τὴν τὰς γλυκείας [βαλάνους]· Πλατύφυλλον, ἢ τὴν τὰς πικράς· Φηγὸν, ἢ τὴν τὰς στρογγύλας· Ὄσπριν· ταύτην γὰρ οἱ μὲν ἄκαρπον ὅλως, οἱ δὲ φαῦλον τὸν καρπὸν, ὥστε μηδὲν ἐσθίειν ζῶον πλὴν ὑὸς, καὶ ταύτην ὅταν ἑτέραν μὴ ἔχῃ· καὶ γὰρ τὰ

[u] τὸν φλοιὸν desunt Bod.
[x] χρησίμην ἡ Ἡμερίς. Bod.
[y] πολιὸν καὶ βράχιον, Bod.
[z] ἐκ deest Bod.

πολλὰ λαμβάνεσθαι *περικεφάλαιά [ἐστι]· [a] μοχθηρὰ δὲ τὰ ξύλα, καὶ πελεκηθέντα μὲν, ὅλως ἀχρεῖα, καταρήγνυται γὰρ, καὶ *διαπίπλει· ἀπελέκητα δὲ βελτίω, διὸ καὶ οὕτω χρῶνται· μοχθηρὰ δὲ καὶ εἰς καῦσιν, καὶ εἰς *ἀνθρακίαν. (ἀχρεῖος γὰρ ὅλως ὁ *ἄνθραξ, διὰ τὸ πηδᾶν, καὶ σπινθηρίζειν,) πλὴν τοῖς χαλκεῦσι, τούτοις δὲ χρησιμώτερος τῶν ἄλλων, διὰ τὸ ἀποσβέννυσθαι εὐθὺς, ὅταν παύσηται φυσώμενος· διὸ καὶ ὀλίγος ἀναλίσκεται. τὸ δὲ τῆς Ἁλιφλοίου χρήσιμον εἰς τοὺς ἄξονας μόνον, καὶ τοιαῦτα. Δρυὸς μὲν οὖν ταύτας ποιοῦσι τὰς ἰδέας. τῶν δὲ ἄλλων ἐλάττους.

CAP. VIII.

Pinus sylvestris, P. Pinea vel Cembra? Picea, Abies.

ΣΧΕΔΟΝ τάγε πλεῖστα [b] [τῶν δένδρων] διαιροῦσιν ἄρρενι καὶ θήλει, καθάπερ εἴρηται, πλὴν ὀλίγων, [c] ὧν ἔστι καὶ ἡ Πεύκη· Πεύκης γὰρ τὸ μὲν, ἥμερον ποιοῦσι, τὸ δὲ, ἄγριον· τῆς δὲ ἀγρίας δύο γένη· καλοῦσι δὲ, τὴν μὲν Ἰδαίαν, τὴν δὲ Παραλίαν· τούτων δὲ ὀρθοτέρα καὶ μακροτέρα, καὶ ξύλον ἔχουσα παχύτερον ἡ Ἰδαία· τὸ δὲ φύλλον λεπτότερον, καὶ ἀμενηνότερον ἡ Παραλία, καὶ λειότερον [d] τὸν φλοιὸν, καὶ εἰς τὰ δέρματα χρήσιμον· ἡ δὲ ἑτέρα, οὔ. καὶ τῶν *στροβίλων, ὁ μὲν τῆς Παραλίας, στρογγύλος τε, καὶ διαχάσκων ταχέως, ὁ δὲ τῆς Ἰδαίας, μακρότερος, καὶ χλωρὸς, καὶ ἧττον χάσκων, ὡς ἂν ἀγριώτερος. τὸ δὲ ξύλον ἰσχυρότερον τὸ τῆς Παραλίας· δεῖ γὰρ καὶ τὰς τοιαύτας διαφορὰς λαμβάνειν τῶν [e] συγ-

[a] μοχθηρὰ τῆς πλατυφύλλου καὶ τὰ ξύλα, Const. [b] τῶν δένδρων desunt Bod. [c] ὡς Bod. [d] τὸ φλοιὸν, Bod. [e] ἀγγείων, γνώριμος Ald. συγγενῶν, γνώριμος Bod.

γενῶν, γνώριμοι γὰρ διὰ τὴν χρείαν. [f] ὀρθότερον δὲ καὶ παχύτερον, ὥσπερ εἴπομεν, ἡ Ἰδαία, καὶ πρὸς τούτοις *πιττωδέστερον ὅλως τὸ δένδρον. μελαντέρα δὲ [ἡ πίττα] καὶ γλυκυτέρα, καὶ λεπτοτέρα, καὶ εὐωδεστέρα, ὅταν ᾖ ὠμὴ, ἑψηθεῖσα δὲ [g] χείρων ἐκβαίνει, διὰ τὸ πολὺν ἔχειν τὸν *ὀῤῥόν. ἐοίκασι δὲ ἅπερ οὗτοι διαιροῦσιν ὀνόμασιν ἰδίοις, οἱ ἄλλοι διαιρεῖν τῷ ἄῤῥενι καὶ θήλει· φασὶ δὲ οἱ περὶ Μακεδονίαν, καὶ ἄκαρπόν τι γένος ὅλως εἶναι Πεύκης, καὶ τὸ μὲν ἄῤῥεν [h] τραχύτερόν τε, καὶ σκληρότερον, τὸ δὲ θῆλυ εὐμηκέστερον, καὶ [ταύτην] τὰ φύλλα λιπαρὰ, καὶ ἁπαλὰ, καὶ *κεκλιμένα μᾶλλον ἔχειν. ἔστι δὲ τὰ ξύλα μὲν ἄῤῥενος *περιμήτρια, καὶ σκληρὰ, καὶ ἐν ταῖς ἐργασίαις *στρεφόμενα· τῆς δὲ θηλείας εὐεργὰ, καὶ [i] *ἀστραβῆ, καὶ μαλακώτερα. ῥεδὸν δὲ κοινή τις ἡ διαφορὰ πάντων τῶν ἀῤῥένων καὶ θηλειῶν, ὡς οἱ ὑλοτόμοι φασὶν, ἅπαν γὰρ τὸ ἄῤῥεν τῇ πελεκήσει καὶ τραχύτερον καὶ ἐπεστραμμένον μᾶλλον, καὶ δυσεργότερον, καὶ τῷ χρώματι μελάντερον· τὸ δὲ θῆλυ εὐμηκέστερον [k] καὶ εὐεργότερον· ἔτι καὶ τὴν *αἰγίδα τὴν καλουμένην, ἡ θήλεια τῆς Πεύκης ἔχει, τοῦτο δέ ἐστι τὸ ἐγκάρδιον αὐτῆς, αἴτιον δὲ ὅτι ἀπευκοτέρα, καὶ ἧττον ἔνδαρδος, καὶ λειοτέρα, καὶ [l] *εὐκτηδονωτέρα. γίνεται δὲ ἐν τοῖς μέγεθος ἔχουσι τῶν δένδρων, ὅταν ἐκπεσώντα περισαπῇ τὰ *λευκὰ, καὶ τὰ κύκλῳ· τούτων γὰρ περιαιρεθέντων, καὶ καταλειφθείσης τῆς μήτρας, ἐκ ταύτης πελεκᾶται ἡ αἰγίς. ἔστι δὲ εὔχρουν σφόδρα, καὶ [m] λεπτοΐνον· ὃ δὲ οἱ

[f] ὀζότερον Ald. Bas. [g] χείρων καὶ ἱλάττων ἐκβαίνει. Const. [h] βραχύτερον Bod. [i] εὐστραβῆ, Bas. [k] καὶ εὐεργότερον desunt Bod. [l] εὐκτιανωτέρα. Bod. [m] λιπτῖνον· Bod.

περὶ τὴν Ἴδην δᾳδουργοὶ καλοῦσι *συκῆν, τὸ ἐπιγιγνόμενον ἐν ταῖς Πεύκαις, ἐρυθρότερον [n] κατὰ τὴν χροιὰν, καὶ ἐν τοῖς ἄῤῥεσίν ἐστι μᾶλλον· δυσῶδες δὲ τοῦτο, καὶ οὐκ ὄζει *δᾳδὸς, οὐδὲ καίεται, ἀλλ' ἀποπηδᾷ ἀπὸ τοῦ πυρός. Πεύκης μὲν οὖν ταῦτα γένη ποιοῦσιν, ἥμερόν τε καὶ ἄγριον, καὶ τῆς ἀγρίας, ἄῤῥενά τε καὶ θήλειαν, καὶ τρίτην τὴν ἄκαρπον· οἱ δὲ περὶ τὴν Ἀρκαδίαν, οὔτε τὴν ἄκαρπον λέγουσιν, οὔτε τὴν ἥμερον Πεύκην, ἀλλὰ Πίτυν εἶναί φασι· καὶ γὰρ τὸ στέλεχος *ἐμφανέστερον εἶναι τῇ Πίτυϊ, καὶ ἔχειν τήν [o]τε λειότητα, καὶ τὸ μέγεθος, καὶ ἐν ταῖς ἐργασίαις αὐτὸ τὸ ξύλον [p]εὔχρηστον· τὸ δὲ τῆς Πεύκης [στέλεχος], καὶ παχύτερον, καὶ λειότερον, καὶ ὑψηλότερον εἶναι· καὶ τὰ φύλλα τὴν μὲν Πεύκην ἔχειν πολλὰ, καὶ λιπαρὰ, καὶ [q]δασέα, καὶ *κεκλιμένα· τὴν δὲ Πίτυν, καὶ τὴν Κωνοφόρον ταύτην, ὀλίγατε, καὶ αὐχμωδέστερα, καὶ πεφρικότα μᾶλλον· ἔτι δὲ τὴν [r]Πίτυν ἀνεμφανεστέραν τῆς Πεύκης· καὶ γὰρ πίτταν ἔχειν ὀλίγην τε, καὶ [s]πικρὰν, ὥσπερ καὶ τὴν Κωνοφόρον· ἡ δὲ Πεύκη εὐώδη, καὶ πολλήν. φύεται δὲ ἐν μὲν τῇ Ἀρκαδίᾳ ἡ Πίτυς ὀλίγη, περὶ δὲ τὴν Ἠλείαν πολλή· [t]οὗτοι μὲν οὖν περὶ ὅλῳ τῷ γένει διαμφισβητοῦσιν, ἡ δὲ Πίτυς δοκεῖ τῆς Πεύκης διαφέρειν, τῷ λιπαρωτέρα τε εἶναι, καὶ λεπτοφυλλοτέρα, καὶ τὸ μέγεθος ἐλάττων, καὶ ἧττον ὀρθοφυής· ἔτι δὲ καὶ τὸν κῶνον ἐλάττω φέρει καὶ πεφρικότα μᾶλλον, καὶ τὸ κάρυον πιττωδέστερον· ἄμφω δὲ *τριχόφυλλα. [u]καὶ τὰ ξύλα [ταύτης] λευκότερα καὶ ὁμοιότερα τῇ

[n] καὶ τὴν Bod. [o] λιπτότητα, Bod. [p] εὔχρηστον deest Bod. [q] βαθία, Bod. [r] πίτταν ἀνιμφιρίστατον Const. [s] μικρὰν Ald. [t] οὕτως Const. [u] τὰ τῆς Πίτυος ξύλα Const.

Ἐλάτῃ, καὶ τὸ ὅλον [x] * ἀπευκότερα. διαφορὰν δὲ ἔχει μεγάλην πρὸς τὴν Πεύκην· Πεύκην μὲν γὰρ, ἐπικαυθεισῶν τῶν ῥιζῶν, οὐκ ἀναβλαστάνειν, τὴν Πίτυν δέ φασί τινες ἀναβλαστάνειν, ὥσπερ καὶ εἰς Λέσβον, ἐμπρησθέντος τοῦ Πυῤῥαίων ὄρους, τοῦ πιττυώδους· νόσημα δὲ ταῖς Πεύκαις τοιοῦτόν τι λέγουσι συμβαίνειν οἱ περὶ τὴν Ἴδην, ὥστ' ὅταν μὴ μόνον τὸ ἐγκάρδιον, ἄλλα καὶ τὸ ἔξω τοῦ * στελέχους ἔνδαδον γένηται, τηνικαῦτα ὥσπερ ἀποπνίγεσθαι. τοῦτο δὲ αὐτόματον συμβαίνει, δι' εὐτροφίαν τοῦ δένδρου, ὡς ἄν τις εἰκάσειεν, ὅλον γὰρ γίνεται * δάς· περὶ μὲν οὖν τὴν Πεύκην ἴδιόν τι τοῦτο πάθος· Ἐλάτη δέ ἐστιν, ἡ μὲν ἄῤῥην, ἡ δὲ θήλεια· διαφορὰς δὲ ἔχουσι τοῖς φύλλοις, ὀξύτερα γὰρ καὶ κεντητικώτερα τὰ τοῦ ἄῤῥενος, καὶ ἐπεστραμμένα μᾶλλον· διὸ καὶ οὐλότερον τῇ ὄψει φαίνεται τὸ δένδρον ὅλον, καὶ τῷ ξύλῳ, λευκότερον γὰρ, καὶ μαλακώτερον, καὶ εὐεργέστερον τὸ τῆς θηλείας, καὶ τὸ ὅλον στέλεχος εὐμηκέστερον· τὸ δὲ τοῦ ἄῤῥενος, ποικιλώτερον, καὶ πλατύτερον, καὶ σκληρότερον, καὶ περίμητρον μᾶλλον, ὅλως δὲ φαυλότερον τὴν ὄψιν· ἐν δὲ τῷ κώνῳ, τῷ μὲν τοῦ ἄῤῥενός ἐστι κάρυα ὀλίγα ἐπὶ τῷ ἄκρῳ, ἐν τῷ δὲ τῆς θηλείας ὅλως οὐδὲν, ὡς οἱ ἐκ Μακεδονίας ἔλεγον. ἔχει δὲ [y] ὥσπερ * πτέρυγας τὸ φύλλον, καὶ ἐπ' ἔλαττον, ὥστε τὴν ὅλην μορφὴν εἶναι [z] * θολοειδῆ, καὶ παρόμοιον μάλιστα τοῖς Βοιωτίαις [a] * κανέαις· πυκνὸν δὲ οὕτως, ὥστε μήτε χιόνα διϊέναι, μήθ' ὑετόν· ὅλως δὲ καὶ τῇ ὄψει τὸ δένδρον καλὸν, καὶ γὰρ ἡ βλάστησις ἰδία τις, ὥσπερ εἴρηται, παρὰ τὰς ἄλλας,

[x] ἄπευκα. Bod. [y] ὥσπερ deest Bod. [z] κυκλοειδῆ, Bod. θηλοειδῆ, Ald. [a] κυνίαις· Bod. κυάθοις· Theod. καράραις· alii. Vide Præf. et not. ad finem libri.

καὶ μόνη τάξιν ἔχουσα· τῷ δὲ μεγέθει καὶ μέγα, καὶ πολὺ τῆς Πεύκης εὐμηκέστερον· διαφέρει δὲ καὶ κατὰ τὸ ξύλον καὶ μικρὸν, τὸ μὲν γὰρ τῆς Ἐλάτης *ἰνῶδες, καὶ μαλακὸν, καὶ κοῦφον, τὸ δὲ τῆς Πεύκης, δαδῶδες, καὶ βαρὺ, καὶ σαρκωδέστερον· ὄζους δὲ ἔχει, πλείους μὲν ἡ Πεύκη, σκληροτέρους δὲ, ἡ Ἐλάτη, σχεδὸν δὲ πάντων, ὡς εἰπεῖν, σκληροτάτους. τὸ δὲ ξύλον μαλακώτερον, ὅλως δὲ οἱ ὄζοι πυκνότατοι, καὶ [b] στερεωτατοί· καὶ μόνον [c] *ἐμφανεῖς οἱ τῆς Ἐλάτης· οἱ δὲ Πεύκης καὶ τῷ χρώματι δαδώδεις· καὶ ἔτι μᾶλλον αἱ διάφοραι τοῦ ξύλου [d] τῆς Πεύκης καὶ τῆς Ἐλάτης· ἔχει δὲ, ὥσπερ ἡ Πεύκη τὴν αἰγίδα, καὶ ἡ Ἐλάτη τὸ λευκὸν, *λούσσον καλούμενον· οἷον ἀντίστροφον αἰγίδι, τοῦτο λευκόν· ἡ δὲ αἰγὶς, [e] εὔχρως διὰ τὸ ἔνδαδον. πυκνὸν δὲ τὸ λευκὸν γίνεται, καὶ καλὸν, καὶ ἐκ τῶν πρεσβυτέρων ἤδη δένδρων, ἀλλὰ σπάνιον τὸ χρηστὸν, ἐξ οὗ τὰ τῶν ζωγράφων πινάκια ποιοῦσι· καὶ τὰ γραμματεῖα τὰ πολλὰ καὶ ἐσπουδασμένα ἐκ τοῦ βελτίονός [ἐστι]· οἱ δὲ περὶ Ἀρκαδίαν ἀμφότερα καλοῦσιν αἰγίδα, καὶ τὴν τῆς Πεύκης, καὶ τὴν τῆς Ἐλάτης, καὶ εἶναι πλείω τὴν τῆς Ἐλάτης, ἀλλὰ καλλίω τὴν τῆς Πεύκης· εἶναι γὰρ τὴν μὲν τῆς Ἐλάτης [f] *οὐλην τε, καὶ λεῖαν, καὶ πυκνὴν, τῆς δὲ Πεύκης ὀλίγην· τὴν μέν τοι οὖσαν ὑλοτέραν καὶ ἰσχυροτέραν, καὶ τὸ ὅλον καλλίω. οὗτοι μὲν οὖν ἐοίκασι τοῖς ὀνόμασι διαφωνεῖν· ἡ δὲ Ἐλάτη, ταύτας ἔχει τὰς διαφορὰς πρὸς τὴν Πεύκην, καὶ ἔτι περὶ τὴν ἄμφαυξιν ἣν πρότερον εἴπομεν.

[b] στιρεωτικοὶ, Bod. [c] Vid. not. ad fin. libri. [d] τῆς Πεύκης desunt Bod. [e] μιλιχρὼς Plin. [f] ὕλην Bod.

CAP. IX.

Fagus sylvatica; Taxus baccata; Carpinus, Ostrya; Tilia Europæa.

Ἡ δ' Ὀξύη οὐκ ἔχει διαφορὰς, ἀλλ' ἔστι μονογενές· ὀρθοφυὲς δὲ καὶ λεῖον καὶ ἄνοζον, καὶ πάχος καὶ ὕψος ἔχον σχεδὸν ἴσον τῇ Ἐλάτῃ. [g] καὶ τἄλλα δὲ παρόμοιόν τε τὸ δένδρον· ξύλον δὲ εὔχρουν, ἰσχυρὸν, *εὔϊνον· καὶ φλοιὸν λεῖον· καὶ παχύφυλλον, φύλλῳ [h]*δυσχίδει· προμηκέστερον Ἀπίου, καὶ ἐξακανθίζον ἐξ ἄκρου. ῥίζας δὲ οὔτε πολλὰς, οὔτε κατὰ βάθος· ὁ δὲ καρπὸς λεῖος βαλανώδης, [i] ἐν ἐχινώδει [περικαρπίῳ]· (πλὴν ἀνακάνθω, ἢ οὐ λιὰν) καὶ οὐχ ὡς ἡ Διὸς Βάλανος ἀκανθώδης. προσεμφερὴς δὲ καὶ κατὰ τὴν γλυκύτητα [τοῦ καρποῦ], καὶ κατὰ τὸν χυλὸν [k] ἐκείνῳ· γίνεται δὲ καὶ ἐν τῷ ὄρει. ἡ Λεύκη δὲ καὶ χρήσιμον ἔχει τὸ ξύλον πρὸς πολλὰ, καὶ γὰρ πρὸς ἁμαξουργίαν, καὶ πρὸς κλινοπηγίαν, καὶ εἰς [l] διφρουργίαν, καὶ εἰς *τραπεζίαν, καὶ εἰς ναυπηγίαν· ἡ δὲ ἐν τοῖς πεδίοις μέλαινα καὶ ἄχρηστος πρὸς ταῦτα· τὸν δὲ καρπὸν ἔχουσι παραπλήσιον. μονογενὴς δὲ καὶ ἡ Μίλος, ὀρθοφυὴς δὲ, καὶ εὐαυξὴς, καὶ ὁμοία τῇ Ἐλάτῃ, πλὴν οὐχ ὑψηλὸν οὕτω, *πολυμάσχαλον δὲ μᾶλλον. ὅμοιον δὲ καὶ τὸ φύλλον ἔχει τῇ Ἐλάτῃ, καὶ *λιπαρώτερον δὲ, καὶ μαλακώτερον· καὶ τὸ ζύλον, τῆς μὲν ἐξ Ἀρκαδίας, μέλαν, καὶ φοινικοῦν, τῆς δὲ ἐκ τῆς Ἴδης, ξανθὸν σφόδρα, καὶ ὅμοιον τῇ Κέδρῳ· διὸ καὶ τοὺς πολοῦντάς

[g] κατ' ἄλλα δὶ Const. [h] ἀσχιδὶς, δισχιδὶς, Theod. [i] ἐν ἰχίνῳ· Bod. [k] ἐν καρπῷ ἰκείνῳ. Const. [l] διφουργίαν, Bod.

φασιν ἐξαπατᾶν, ὡς Κέδρον πωλοῦντας· πᾶν γὰρ εἶναι καρδίαν, ὅταν ὁ φλοιὸς περιαιρεθῇ. ὅμοιον δὲ τὸν φλοιὸν ἔχειν καὶ τῇ τραχύτητι καὶ τῷ χρώματι τῇ Κέδρῳ. ῥίζας δὲ μικρὰς, καὶ λεπτὰς, καὶ ἐπιπολαίους· σπάνιον δὲ τὸ δένδρον περὶ τὴν Ἴδην· περὶ δὲ Μακεδονίαν καὶ Ἀρκαδίαν πολὺν καρπὸν φέρει, στρογγύλον, μικρῷ μείζω *κυάμου, καὶ τῷ χρώματι δ' ἐρυθρὸν, καὶ μαλακόν· φασὶ δὲ τὰ μὲν [m] *λόφουρα, ἐὰν φάγῃ τῶν φύλλων, ἀποθνήσκειν, τὰ δὲ *μηρυκάζοντα, οὐδὲν πάσχειν· καὶ τὸν καρπὸν ἐσθίουσι καὶ τῶν ἀνθρώπων τινες, καὶ ἔστιν ἡδὺς καὶ ἀσινής. ἔστι δὲ καὶ ὁ Ὄστρυις μονοειδὴς, ἣν καλοῦσί τινες Ὀστρύαν, ὁμοφυὴς τῇ Ὀξύᾳ, τῇ τε φυτείᾳ, καὶ τῷ φλοιῷ. φύλλα δὲ *ἀπιοειδῆ τοῖς σχήμασι, πλὴν προμηκέστερα πολλῷ, καὶ εἰς ὀξὺ συνηγμένα καὶ μείζω· πολύϊνα δὲ ἀπὸ τῆς μέσης ἴνος πλευροειδῶς, τῶν ἄλλων εὐθειῶν, καὶ τὴν μεγάλην κατατεινουσῶν, καὶ πάχος ἐχουσῶν· ἔτι δὲ [n] *ἐρυτιδωμένα κατὰ τὰς ἴνας, καὶ *χαραγμὸν ἔχοντα κύκλῳ λεπτόν. τὸ δὲ ξύλον σκληρὸν, καὶ ἄχροον, ἢ ἔκλευκον· καρπὸν δὲ μικρὸν, πρόμακρον, ὅμοιον κριθῇ, ξανθόν. ῥίζας δὲ ἔχει μετεώρους· *εὔυδρον δὲ, καὶ *φαραγγῶδες. λέγεται δὲ ὡς οὐκ ἐπιτήδειον εἰς οἰκίας εἰσφέρειν, δυσθάνατον γάρ φασι, καὶ δυσοκεῖν οὗ ἐὰν ᾖ. τῆς δὲ Φιλύρας, [o] ὁ μὲν ἄρρην ἐστὶ, ἡ δὲ θήλεια· διαφέρουσι δὲ τῇ μορφῇ τῇ ὅλῃ, καὶ τῇ τοῦ ξύλου· καὶ τῷ εἶναι τὴν μὲν κάρπιμον, τὸν δὲ ἄκαρπον· καὶ τὸ τοῦ ἄρρενος ξύλον, ξηρὸν, καὶ ξανθὸν, καὶ ὀζωδέστερόν ἐστι, καὶ πυκνότερον· τὸ δὲ τῆς θηλείας, λευκότερον· καὶ ὁ φλοιὸς τοῦ

[m] κόλόφουρα, Const. ὁμοφύια, Bas. [n] ἐρρυτιδωμένα Bod.
[o] ἡ μὲν Bod.

ἄῤῥενος παχύτερος, καὶ περιαιρεθεὶς ἀκαμπὴς, διὰ τὴν σκληρότητα, τῆς δὲ θηλείας, λευκότερος, καὶ εὐκαμπὴς, ἐξ οὗ τὰς *κίστας ποιοῦσιν. ἔτι δὲ εὐωδέστερον [p] τὸ τῆς θηλείας ξύλον· καὶ ὁ μὲν ἄκαρπος, καὶ ἀνανθὴς, ἡ δὲ θήλεια, καὶ ἄνθος ἔχει, καὶ καρπόν. τὸ μὲν ἄνθος καλυκῶδες παρὰ τὸν [q] φύλλου μίσχον, καὶ τὴν εἰς νέωτα *κάχρυν ἐφ' ἑτέρης μίσχου. χλοερὸν δὲ ὅταν ᾖ καλυκῶδες, ἐκκαλυπτόμενον δὲ, ἐπίξανθον· ἡ δὲ ἄνθησις, ἅμα τοῖς ἡμέροις· ὁ δὲ καρπὸς, στρογγύλος, πρόμακρος, ἡλίκος *κύαμος, ὅμοιος τῷ τοῦ Κιτίου, *γωνίας ἔχων, ὁ ἀδρὸς, πέντε, οἷον ἰνῶν ἐξεχουσῶν, καὶ εἰς ὀξὺ συναγομένων· ὁ δὲ μὴ ἀδρὸς, [r] *ἀδιοριστότερος. *διακνιζόμενος δὲ ὁ ἀδρὸς ἔχει μικρ' ἄττα καὶ λεπτὰ σπερμάτια, ἡλίκα καὶ ὁ τῆς Ἀνδραφάξυος. τὸ δὲ φύλλον, καὶ ὁ φλοιὸς, ἡδέα, καὶ γλυκέα· ἡ δὲ μορφὴ τοῦ φύλλου κιττώδης, πλὴν ἐκ προσαγωγῆς μᾶλλον ἡ περιφέρεια, καὶ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον, ἀλλὰ κατὰ μέσον, καὶ εἰς ὀξύτερον τὴν συναγωγὴν ἔχον, καὶ μακρότερον· ἔπουλον δὲ κύκλῳ, καὶ *κεχαραγμένον· μήτραν δ' ἔχει τὸ ξύλον μικρὰν, καὶ οὐ πολὺ [s] μαλακωτέραν τοῦ ἄλλου, μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον.

CAP. X.

Acer campestre, &c. Fraxinus, excelsior; Fraxinus, Ornus.

[t] ΤΗΣ δὲ Σφενδάμνου, καθάπερ εἴπομεν, δύο γένη ποιοῦσιν, οἱ δὲ, τρία· ἓν μὲν δὴ κοινῶς προσαγορεύεται

[p] τοῦ τῆς θηλείας τὸ ξύλον. Const. [q] τοῦ ξύλου Bod. Vid. not. ad fin. libri. [r] ἀδιαρθρότερος. Bod. [s] Vid. not. ad fin. libri. [t] τῆς δὲ τῆς Const.

Σφένδαμνον, ἕτερον δὲ Ζυγία, τρίτον δὲ [u] Κλινότροχον, ὡς οἱ περὶ Στάγειρα. διαφορὰ δ' ἐστὶ τῆς Ζυγίας καὶ τῆς Σφενδάμνου, ὅτι ἡ μὲν Σφένδαμνος, λευκὸν ἔχει τὸ ξύλον, καὶ *εὐϊνότερον· ἡ δὲ Ζυγία, ξανθὸν καὶ οὖλον. τὸ δὲ [x] φύλλον εὐμέγεθες ἀμφοῖν· τῇ σχίσει ὅμοιον τῷ τῆς Πλατάνου *τετανόν· λεπτότερον δὲ καὶ ἀσαρκότερον, καὶ μαλακώτερον, καὶ προμηκέστερον, τὰ δὲ [y] *σχίσμαθ' ὅλα, εἰς ὀξὺ συνήκοντα, καὶ οὐχ οὕτω μεσοσχιδῆ, ἀλλ' *ἀκροσχιδέστερα, οὐ πολύϊνα δὲ, ὡς κατὰ μέγεθος. ἔχει δὲ καὶ φλοιὸν μικρῷ τραχύτερον τοῦ τῆς Φιλύρας, *ὑποπέλιον, παχὺ, καὶ [z] πυῤῥότερον ἢ ὁ τῆς Πίτυος, καὶ [a] εὐκαμπῆ· ῥίζας δ' ὀλίγας, καὶ μετέωροι, καὶ οὖλας κεδὸν αἱ πλεῖστας, [b] καὶ ξανθὰς, ὡς αἱ τῆς Λεύκης. γίνεται δὲ μάλιστα ἐν τοῖς ἐφύδροις, ὡς οἱ περὶ τὴν Ἴδην λέγουσι, καὶ ἔστι σπάνιον. περὶ ἄνθους δὲ οὐκ ἤδεσαν, τὸν δὲ καρπὸν οὐ λίαν μὲν προμήκη, παρόμοιον δὲ τῷ Παλιούρῳ, πλὴν προμηκέστερον. οἱ δὲ ἐν τῷ Ὀλύμπῳ, τὴν μὲν Ζυγίαν ὄρειον μᾶλλον, τὴν δὲ Σφένδαμνον καὶ ἐν τοῖς πεδίοις φύεσθαι. εἶναι δὲ τὴν μὲν ἐν τῷ ὄρει φυομένην ξανθὴν, καὶ εὔχρουν, καὶ οὔλην, καὶ στερεὰν, ᾗ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων χρῶνται· τὴν δὲ πεδινὴν, λευκήν τε, καὶ μανοτέραν, καὶ ἧττον οὔλην. καλοῦσι δ' αὐτὴν ἔνιοι [c] Γλῖνον, οὐ Σφένδαμνον· καὶ τοῦ ἄῤῥενος οὐλότερα τὰ ξύλα, καὶ *συνεστραμμένα· καὶ ἐν τῷ πεδίῳ ταύτην φύεσθαι μᾶλλον, καὶ βλαστάνειν πρωϊτερον. ἔστι

[u] ἰνότροχον, Const. [x] ξύλον Bod. [y] σχήμαθ' Ald. [z] πυρώτερον, Ald. πυκνότερον, Const. [a] ἀκαμπῆ· Bod. [b] αἱ ξάνθαι· Theod. αἱ τῆς ξανθῆς· Const. [c] γλεῖνον, Const.

δὲ καὶ Μελίας γένη δύο· τούτων δ' ἡ μὲν, ὑψηλὴ καὶ εὐμήκης ἐστὶ, τὸ ξύλον ἔχουσα λευκὸν, καὶ εὔϊινον, καὶ μαλακώτερον, καὶ ἀνοιδότερον, καὶ οὐλότερον· ἡ δὲ ταπεινοτέρα, καὶ ἥτλον [d] εὐαύξης, καὶ τραχυτέρα, καὶ σκληροτέρα, καὶ ξανθοτέρα. τὰ δὲ φύλλα τῷ μὲν σχήματι δαφνοειδῆ, Πλατυφύλλῳ Δάφνης, εἰς ὀξύτερον δὲ συνηγμένα, χαραγμὸν δέ τινα ἔχοντα, κύκλῳ [e] ἐπικαθίζοντα, τὸν δὲ ὅλον *κλῶνα, ὅπερ εἴποι τις, [f] μονόφυλλον, τῷ ἅμα φυλλορρεῖν ἀφ' ἑνὸς μίσχου, καὶ περὶ μίαν, οἷον κατὰ γόνυ, *συζυγίαν· τὰ φύλλα δὲ καθ' ἕκαστον πέφυκε, συχνῶν δ' ἰσχουσῶν τῶν συζυγιῶν, ὁμοίως καὶ ἐπὶ τῆς Οὔης. ἔστι δὲ τῶν μὲν βραχέα τὰ γόνατα, καὶ αἱ συζυγίαι τὸ πλῆθος ἐλάττους, τῶν δὲ τῆς λείας καὶ μακραὶ καὶ πλείους. καὶ τὰ καθ' ἕκαστον φύλλα μακρότερα, καὶ στενώτερα, τὴν δὲ χρόαν [g] πρασώδη· φλοιὸν δὲ λεῖον ἔχει, καὶ πυκνὸν δὲ, καὶ λεπτὸν, καὶ τῇ χρόᾳ πυῤῥόν· [h] πυκνόῤῥιζον, δὲ, καὶ παχύῤῥιζον, καὶ μετέωρον· καρπὸν δὲ οἱ μὲν περὶ τὴν Ἴδην οὐχ ὑπελάμβανον ἔχειν, οὐδ' ἄνθος, ἔχει δ' ἐν λοβῷ καρπὸν λεπτὸν καρυηρὸν, ὡς τῶν Ἀμυγδαλῶν ὑπόπικρον τῇ γεύσει. φέρει δὲ καὶ ἕτερ' ἄτλα, οἷον βρύα, καθάπερ ἡ Δάφνη, πλὴν [i] *γριφνότερα, καὶ ἕκαστον καθ' αὑτὸ σφαιροειδὲς, ὥσπερ τὰ τῶν Πλατάνων· τούτων δὲ τὰ μὲν, περὶ τὸν καρπὸν, τὰ δ' ἀπηρτημένα πολύ· καὶ τὰ [k] πλεῖστα οὕτω. φύεται δὲ ἡ μὲν λεῖα περὶ τὰ βαθύσκια μάλιστα, καὶ ἔφυδρα, ἡ δὲ τραχεῖα, καὶ περὶ τὰ ξηρὰ, καὶ πετρώδη. ἔνιοι δὲ καλοῦσι τὴν μὲν

[d] εὐαξὴς, Bod. [e] ἐπικαθίζοντα, Bas. [f] ἄφυλλον τῷ ἅμα φυλλοφορεῖν Bod. [g] πρασώδη· Const. [h] πυνόῤῥιζον, Bod. [i] στρυφνότερα, Bod. [k] πλικτὰ Bas.

[l] Βουμελίαν, τὴν δὲ Μελίαν, ὥσπερ οἱ περὶ Μακεδονίαν· μείζων δὲ ϗ μακροτέρα ἡ Βουμελία, διὸ ϗ ἧττον οὖλον. φύσει δὲ τὸ μὲν λεῖον πεδεινόν· τὸ δὲ τραχὺ ὀρεινόν. ἔστι δὲ ἡ μὲν ἐν τοῖς ὄρεσι φυομένη, εὔχρους, ϗ λεῖα, ϗ ϗ στερεὰ, ϗ γλίχρα· ἡ δὲ ἐν τῷ πεδίῳ, ἄχρως, ϗ μανὴ, ϗ τραχεῖα. τὸ δὲ ὅλον, ὡς εἰπεῖν, τὰ δένδρα, ὅσα ϗ ἐν τῷ πεδίῳ, ϗ ἐν τῷ ὄρει φύεται, τὰ μὲν ὀρεινὰ εὔχροά τε, ϗ στερεὰ, ϗ λευκὰ γίνεται, καθάπερ [m] Ὀξύη, Πτελέα, καὶ τἄλλα· τὰ δὲ πεδεινὰ, μανότερα ϗ ἀχρούστερα, ϗ χείρω, πλὴν Ἀπίου, ϗ [n] Μελέας, ϗ Ἀχράδος, ὡς οἱ περὶ τὸν Ὀλυμπόν φασι· ταῦτα δ' ἐν τῷ πεδίῳ κρείττω, καὶ τῷ καρπῷ, ϗ τοῖς ξύλοις. ἐν μὲν γὰρ τῷ ὄρει τραχεῖς, καὶ ἀκανθώδεις, ϗ ὀζώδεις εἰσίν· ἐν δὲ τῷ πεδίῳ λειότεροι καὶ μείζους. καὶ τὸν καρπὸν ἔχουσι γλυκύτερον, καὶ σαρκωδέστερον. μεγέθει δὲ αἰεὶ μείζω τὰ πεδεινά.

CAP. XI.

Cornus mas. Corn. sanguinea. Juniperus, Oxycedrus, J. Lycia? J. communis. Mespilus, Germanica, Sorbus, domestica, &c.

ΚΡΑΝΕΙΑΣ δὲ, τὸ μὲν ἄρρεν, τὸ δὲ, θῆλυ, ἣν δὴ καὶ Θηλυκρανείαν καλοῦσιν. ἔχουσι δὲ φύλλον μὲν Ἀμυγδάλῃ ὅμοιον, πλὴν λιπωδέστερον ϗ [o] πλατύτερον, φλοιὸν δὲ ἰνώδη, καὶ λεπτὸν, τὸ δὲ στέλεχος οὐ παχὺ λίαν, ἀλλὰ παραφύει ῥάβδους ὡς Ἄγνος, ἐλάττους δὲ ἡ Θηλυκρανεία, καὶ θαμνωδέστερόν ἐστι. τοὺς δὲ ὄζους

[l] Βουμιλίαν, τὴν δὶ desunt Bod. [m] Ὀξυπτιλία, Bod.
[n] Μιλίας, Bod. [o] παχύτερον, Bod.

ὁμοίους ἔχουσιν ἄμφω τῇ Ἄγνῳ, καὶ *κατὰ δύο, καὶ *κατ' ἀλλήλους. τὸ δὲ ξύλον, τὸ μὲν τῆς Κρανείας ἀκάρδιον, καὶ στερεὸν ὅλον, ὅμοιον κέρατι τὴν πυκνότητα, καὶ τὴν ἰσχύν· τὸ δὲ τῆς Θηλυκρανείας, ἐντεριώνην ἔχον, μαλακώτερον, ἢ καὶ κοιλαινόμενον, διὸ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια. τὸ δὲ ὕψος τοῦ ἄρρενος, δώδεκα μάλιστα πηχέων, ἡλίκη τῶν *σαρισσῶν ἡ μεγίστη. τὸ γὰρ ὅλον στέλεχος [p] μεῖζον ὕψος οὐκ ἴσχει. φασὶ δὲ οἱ μὲν, ἐν τῇ Ἰδῃ, τῇ Τρωάδι τὸ μὲν ἄρρεν, ἄκαρπον εἶναι, τὸ δὲ θῆλυ, κάρπιμον· πυρῆνα δὲ ὁ καρπὸς ἔχει παραπλήσιον Ἐλαίας, καὶ ἐσθιόμενος, γλυκὺς καὶ εὐώδης· ἄνθος δὲ ὅμοιον τῷ τῆς Ἐλαίας, [q] καὶ *ἀπανθεῖ δὲ, καὶ καρποφορεῖ τὸν αὐτὸν τρόπον τῷ ἐξ ἑνὸς μίσχου πλείους ἔχειν· σχεδὸν δὲ καὶ τοῖς χρόνοις παραπλησίως. οἱ δ' ἐν Μακεδονίᾳ, καρποφορεῖν μὲν ἄμφω φασὶν, τὸν δὲ τῆς θηλείας ἄβρωτον εἶναι, τὰς ῥίζας δ' ὁμοίως ἔχειν τοῖς Ἄγνοις, ἰσχυρὰς, καὶ ἀνωλέθρους. γίνεται δὲ καὶ περὶ τὰ ἔνυδρα, [r] καὶ ἐν τοῖς ξηροῖς. φύεται δὲ ἀπὸ σπέρματος, καὶ ἀπὸ παρασπάδος. Κέδρον δὲ, οἱ μέν φασιν εἶναι διττήν· τὴν μὲν, Λυκίαν, τὴν δὲ, Φοινικήν· οἱ δὲ μονοειδῆ, καθάπερ οἱ ἐν τῇ Ἰδῃ, παρόμοιον δὲ τῇ Ἀρκεύθῳ· διαφέρει δὲ μάλιστα τῷ φύλλῳ, τὸ μὲν γὰρ τῆς Κέδρου, σκληρὸν, καὶ ὀξὺ, καὶ ἀκανθῶδες· τὸ δὲ τῆς Ἀρκεύθου, μαλακώτερον. δοκεῖ δὲ καὶ ὑψηλοφυέστερον εἶναι ἡ Ἄρκευθος. οὐ μὴν ἀλλὰ ἔνιοί γε οὐ διαιροῦσι τοῖς ὀνόμασιν, ἀλλὰ ἄμφω καλοῦσι Κέδρους· πλὴν παρασήμως Κέδρον, Ὀξύκεδρον. ὀζώδη δ' ἄμφω καὶ

[p] μεῖζον deest Bod. [q] ἀνθεῖ Const. [r] καὶ οὐκ ἐν τοῖς ξηροῖς μόνον. Const.

πολυμάσχαλα· καὶ ἐπεστραμμένα ἔχοντα τὰ ξύλα· [s]μᾶλλον δὲ ἡ μὲν Ἄρκευθος ἔχει τὴν μήτραν καὶ πυκνὴν, καὶ, ὅταν κοπῇ, ταχὺ σηπομένην, ἡ δὲ Κέδρος τὸ πλεῖστον ἐγκάρδιον καὶ ἀσαπές· ἐρυθροκάρδια δ' ἄμφω, καὶ ἡ μὲν τῆς Κέδρου, εὐώδης, ἡ δὲ τῆς ἑτέρας, οὔ. καρπὸς δ' ὁ μὲν τῆς Κέδρυ ξανθὸς, *μύρτυ μέγεθος ἔχων, εὐώδης, ἡδὺς ἐσθίεσθαι. ὁ δὲ τῆς Ἀρκεύθου τὰ μὲν ἄλλα ὅμοιος, μέλας δὲ, καὶ *στρυφνὸς, καὶ ὥσπερ ἄβρωτος. διαμένει δ' εἰς ἐνιαυτὸν, εἶθ' ὅταν ἄλλος ἐπιφυῇ, ὁ *περυσινὸς ἀποπίπτει. ὡς δὲ οἱ ἐν Ἀρκαδίᾳ λέγουσι, τρεῖς ἅμα καρπὸς ἴσχει· τόν τε περυσινὸν οὔπω πέπονα, καὶ τὸν *προπερυσινὸν ἤδη πέπονα καὶ [t]ἐδώδιμον, καὶ τρίτον, τὸν νέον ὑποφαίνει. ἔφη δὲ Σάτυρος, καὶ κομίσαι τοὺς ὀρεοτύπους αὐτῷ ἀνανθεῖς ἄμφω· τὸν δὲ φλοιὸν ὅμοιον ἐδόκει Κυπαρίττῳ, τραχύτερον δέ· ῥίζας δὲ μανὰς ἀμφοτέροις καὶ ἐπιπολαίους. φύονται δὲ περὶ τὰ [u]πετρώδη καὶ χειμέρια, καὶ τούτους τοὺς τόπους ζητοῦσι. Μεσπίλης δ' ἐστὶ τρία γένη, Ἀνθηδὼν, Σητάνειος, [x]Ἀνθηδωνοειδὴς, ὡς οἱ περὶ τὴν Ἴδην διαιροῦσι· φέρει δὲ ἡ μὲν Σητάνειος τὸν καρπὸν μείζω καὶ λευκότερον καὶ χαυνότερον, καὶ τοὺς πυρῆνας ἔχοντα μαλακωτέρους· [y]αἱ δ' ἕτεραι, ἐλάττω εἰσὶ, καὶ εὐωδέστεραι, καὶ στρυφνότεραι, ὥστε δύνασθαι πλείω χρόνον θησαυρίζεσθαι· πυκνότερον δὲ καὶ τὸ ξύλον τούτων, καὶ ξανθότερον, τὰ δ' ἄλλα ὅμοιον· τὸ δ' ἄνθος πασῶν ὅμοιον Ἀμυγδάλῃ, πλὴν οὐκ ἐρυθρὸν ὥσπερ [z]ἐκείνης, ἀλλὰ ἔγχλωρον. μεγέθει δὲ μέγα τὸ

[s] μίκραν καὶ μὴ πυκνὴν, Const. [t] ἐνώδιμον, Bas. [u] πετρώδη Bod. [x] ἀνθηνοειδὴς, Bas. [y] οἱ δ' ἑτέρων, Const. [z] ἐκεῖνα, Bod.

δένδρον [a] Ἀνθηδῶνος καὶ [b] περίκομον· φύλλον δὲ τοῦ μὲν, πολυσχιδὲς καὶ ἐπ' ἄκρῳ σελινοειδὲς μείζοσι [c] σχίσμασι, *τετανὸν, ἰνῶδες, λεπτότερον Σελίνου, καὶ προμηκέστερον, καὶ τὸ ὅλον *καταχίσμασι περικεχαραγμένον· μίσχον δ' ἔχει λεπτὸν, μακρόν· πρὸ τοῦ φυλλορροῖν δ' ἐρυθραίνεται σφόδρα· πολύρριζον δὲ τὸ δένδρον καὶ βαθύρριζον, διὸ καὶ χρόνιον, καὶ δυσώλεθρον. καὶ τὸ ξύλον ἔχει πυκνὸν, καὶ στερεὸν, καὶ ἁπαπές· φύεται δὲ καὶ ἀπὸ σπέρματος, καὶ ἀπὸ παρασπάδος. νόσημα δὲ αὐτῶν ἐστιν, ὥστε γηράσκοντα σκωληκόβρωτα γίνεσθαι, καὶ οἱ σκώληκες μεγάλοι, καὶ ἴδιοι, ἢ οἱ ἐκ τῶν δένδρων τῶν ἄλλων. τῶν δὲ [d] Οὔων δύο γένη ποιοῦσι, τὸ μὲν δὴ θῆλυ καρποφόρον, τὸ δὲ ἄρρεν, ἄκαρπον. οὐ μὴν ἀλλὰ διαφέρουσι τοῖς καρποῖς, τῷ τὰς μὲν, στρογγύλον, τὰς δὲ, προμήκη, τὰς δὲ, ὠοειδῆ φέρειν. διαφέρουσι δὲ καὶ τοῖς χυλοῖς, ὡς γὰρ ἐπὶ τὸ πᾶν εὐωδέστερα καὶ γλυκύτερα τὰ στρογγύλα, τὰ δὲ ὠοειδῆ πολλάκις ἐστὶν [e] ὀξεα καὶ ἧττον εὐώδη. φύλλον δ' ἀμφοῖν τὸν μὲν μίσχον ἔχει [f] μακρὸν ἰνοειδῆ· πεφύκασι δὲ *στοιχηδὸν ἐκ τῶν πλαγίων *πτερυγοειδῶς, ὡς ἑνὸς ὄντος τοῦ ὅλου, *λοβοὺς δὲ ἔχοντος ἐσχισμένους, ἕως τῆς ἰνός· πλὴν διεστᾶσιν ἀπ' αὐτῶν [g] ὑπὸ συχνοῦ, οὐ κατὰ μέρος· φυλλοβολεῖ δὲ οὐ κατὰ μέρος, ἀλλὰ ὅλον ἅμα τὸ πτερυγῶδες. εἰσὶ δ' οἱ μὲν [h] ἐπὶ παλαιοτέροις, βραχύτεροι καὶ ἐλάττους· πάντων δὲ ἐπ' ἄκρῳ τοῦ μίσχου φύλλον περιττὸν, ὥστε καὶ πάντ' εἶναι περιττὰ, τῷ δὲ σχήματι δαφνοειδῆ, τῆς λεπτοφύλλου

[a] Ἀνθηδῶνος deest Bod. [b] περίνομον· Const. [c] σχήμασι, Bod. [d] Ὅων Const. [e] ὀξεῖα Bod. [f] μικρὸν Const. [g] Vid. not. ad fin. libri. [h] ἐπιπολαιότερα Bod.

Δάφνης· πλὴν χαραγμὸν ἔχοντα καὶ *βραχύτερον, καὶ οὐκ εἰς ὀξὺ τὸ ἄκρον συνῆκον, ἀλλὰ ὡς περιφερέστερον· ἄνθος δὲ ἔχει βοτρυῶδες ἀπὸ μιᾶς *κορύνης καὶ πολλῶν μίσχων λευκῶν [1] συγκειμένων· πολλὰ γὰρ [ἄνθη] ἀπὸ τῆς αὐτῆς κορύνης, ὥστε εἶναι καθάπερ κηρίον· καὶ ὁ καρπὸς, ὅταν εὐκαρπῇ, βοτρυώδης· καὶ σκωληκόβρωτος ἐπὶ τοῦ δένδρου, ἄπεπτος ὤν· καὶ ἔτι μᾶλλον γίνεται τῶν Μεσπίλων καὶ Ἀπίων καὶ Ἀχράδων, καί τοι πολὺ στρυφνότατος. γίνεται δὲ καὶ αὐτὸ τὸ δένδρον σκωληκόβρωτον, καὶ οὕτως αὐαίνεται γηράσκον· καὶ ὁ σκώληξ ἴδιος, ἐρυθρὸς, δασύς· καρποφορεῖ δ' ἐπιεικῶς νέα· τριετὲς γὰρ εὐθὺς ἰσχεῖ τὴν *καχρυώδη κορύνην λιπαρὰν καὶ ἐπωδηκυῖαν, ὡς ἂν ἤδη βλαστικὸν, καὶ διαμένει τὸν χειμῶνα. ἀνάκανθον δέ ἐστι καὶ ἡ Οὔη, ὡς καὶ ἡ Μεσπίλη· φλοιὸν δὲ ἔχει λεῖον, ὑπολίπαρον, [k] ὥσπερ τὰ *γεράνδρυα, τὴν δὲ χρόαν ξανθὸν ἐπιλευκαίνοντα· τὰ δὲ γεράνδρυα τραχὺν, καὶ μέλανα. τὸ δὲ δένδρον, εὐμέγεθες, ὀρθοφυὲς, εὔρυθμον τῇ *κόμῃ· σχεδὸν γὰρ ὡς ἐπιτοπολὺ *στροβιλοειδὲς σχῆμα λαμβάνει κατὰ τὴν κόμην, ἐὰν μή τις ἐμποδίσῃ· τὸ δὲ ξύλον, στερεὸν, πυκνὸν, [l] ἰσχυρόν. ῥίζας δὲ οὐ πολλὰς μὲν, οὐδὲ κατὰ βάθους· ἰσχυρὰς δὲ καὶ παχείας καὶ ἀνωλέθρους ἔχει. φύεται δὲ, καὶ ἀπὸ ῥίζης, καὶ ἀπὸ παρασπάδος, καὶ ἀπὸ σπέρματος· τόπον δὲ ζητεῖ ψυχρὸν, ἔνικμον· φιλόζωον δὲ ἐν τούτῳ καὶ δυσώλεθρον, οὐ μὴν ἀλλὰ καὶ φύεται ἐν τοῖς ὄρεσιν.

[1] συγκείμενον, καὶ ὁ καρπὸς, ὅταν εὐκαρπῇ, βοτρυώδης· πολλὰ γὰρ ἀπὸ τῆς αὐτῆς κορύνης. ὥστ' εἶναι καθάπερ κηρίον σκωληκόβρωτον ἐπὶ τοῦ δένδρου ὁ καρπὸς, ἄπεπτος ὤν, Bod. Vid. not. ad fin. libri.

[k] ἅπερ μὴ τὰ γεράνδρυα, Const. [l] εὔχρουν. Theod.

CAP. XII.

Prunus, Cerasus L. Sambucus nigra. Salicis Species.

ΙΔΙΟΝ δὲ τῇ φύσει δένδρον ὁ Κέρασός ἐστι. μεγέθει μὲν μέγα, καὶ γὰρ εἰς τέσσαρας καὶ εἴκοσι πήχεις [m] αὔξεται· ἔστι δ' ὀρθοφυὲς σφόδρα, πάχος δὲ, ὥστε καὶ δίπηχυν τὴν περίμετρον πρὸ τῆς ῥίζης ἔχειν· φύλλον δ' ὅμοιον τῷ τῆς Μεσπίλης· σκληρὸν δὲ σφόδρα καὶ πλατύτερον, ὥστε τῇ χροιᾷ πόῤῥωθεν φανερὸν εἶναι τὸ δένδρον· [n] φλοιὸς δὲ τὴν λειότητα καὶ τὴν χρόαν καὶ τὸ πάχος, ὅμοιον Φιλύρᾳ, διὸ καὶ τὰς *κίσας ἐξ [o] αὐτοῦ ποιοῦσιν, ὡς καὶ ἐκ τοῦ τῆς Φιλύρας. περιπέφυκε δὲ ὅτος ὅτε ὀρθοφυὴς, οὔτε κύκλῳ κατ' ἴσον, ἀλλ' ἑλικηδὸν [p] περιειλεῖται, κάτωθεν ἄνω προσάγων, ὥσπερ ἡ *διαγραφὴ τῶν φύλλων, καὶ λεπιζόμενον οὕτως ἐκδέρεται, ἐκεῖνος δὲ *ἐπίτομος γίνεται, καὶ οὐ δύναται μέρος αὐτοῦ τι τὸν αὐτὸν τρόπον ἀφαιρεῖσθαι κατὰ [q] πάχος, ἄλλα σχιζόμενον λεπτὸν, ὡς ἂν φύλλον, τὸ δὲ λοιπὸν προμένειν τε δύναται καὶ σώζειν τὸ δένδρον, [r] ὡς αὐτὸς περιπεφυκώς· περιαιρουμένου δὲ, ὅταν [s] λιπᾷ, τοῦ φλοιοῦ, *συνεκραίνει καὶ τότε τὴν ὑγρότητα· καὶ ὅταν ὁ ἔξω χιτὼν περιαιρεθῇ μόνον, ὁ ὑπολειπὴς ἐπιμελαίνεταί πως *μυξώδει ὑγρασίᾳ, καὶ πάλιν ὑποφύεται τῷ δευτέρῳ ἔτι χιτὼν ἄλλος ἀντ' ἐκείνου, (πλὴν λεπτότερος οὗτος πέφυκε.) καὶ τὸ ξύλον, ὅμοιον ταῖς [t] ἰσὶ, τῷ φλοιῷ στρεπτῷ ἑλιττόμενον· καὶ αἱ ῥάβδοι φύονται τὸν αὐτὸν

[m] αὔξιται deest Bod. [n] φλοιοῦ Bod. φλοιὸν Const. [o] αὐτῶν Bod. [p] περιείληφε, Bod. Vid. not. ad fin. libri. [q] τάχος, Const. [r] ὡσαύτως περιπεφυκός· Bod. [s] λοιπᾷ, Ald. Bas. [t] ἴσῃ τῷ πλοιῷ Const.

τρόπον εὐθύς. τοὺς ὄζους δὲ αὐξανομένους, συμβαίνει τοὺς μὲν κάτω ἀεὶ ἀπόλλυσθαι, τοὺς δ' ἄνω αὔξειν. τὸ δ' ὅλον οὐ πολύοζον τὸ δένδρον, ἀλλ' ἀνοζότερον πολὺ τῆς Αἰγείρου· πολύῤῥιζον δὲ καὶ ἐπιπολαιόῤῥιζον, οὐκ ἄγαν δὲ παχύῤῥιζον, ἡ δὲ στροφὴ καὶ τῆς ῥίζης καὶ τοῦ φλοιοῦ τοῦ περὶ αὐτὴν ἡ αὐτή· ἄνθος δὲ λευκὸν, Ἀπίῳ καὶ Μεσπίλῃ ὅμοιον, ἐκ μικρῶν ἀνθῶν ξυγκείμενον *κηριῶδες· ὁ δὲ καρπὸς, ἐρυθρὸς, ὅμοιος *διοσπύρῳ τὸ σχῆμα, τὸ δὲ μέγεθος ἡλίκος *κύαμος, πλὴν τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρὸς, τοῦ δὲ κεράσου, μαλακὸς, φύεται δ' ὅπου· καὶ ἡ Φιλύρα· τὸ δ' ὅλον ὅπῃ ποταμοὶ καὶ ἔνυδρα. φύεται δὲ καὶ ἡ Ἀκτὴ μάλιστα παρ' ὕδωρ καὶ ἐν τοῖς σκιεροῖς, (οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς [u] μὴ τοιούτοις·) θαμνώδης [δ' ἐστὶ] ῥάβδοις ἐπετείοις αὐξανομένη μέχρι τῆς φυλλοῤῥοίας εἰς μῆκος, εἶτα μετὰ ταῦτα εἰς πάχος· τὸ δὲ ὕψος τῶν ῥάβδων οὐ μέγα λίαν, ἀλλὰ καὶ μάλιστα ἐξάπηχυ· τῶν δὲ στελέχων πάχος τῶν γερανδρύων, ὅσον *περικεφαλαίας· φλοιὸς δὲ λεῖος, λεπτὸς καὶ [x] πύῤῥος· τὸ δὲ ξύλον χαῦνον καὶ κοῦφον, ξηρανθέν· *ἐντεριώνην δὲ ἔχον μαλακὴν, ὥστε διόλου καὶ κοιλαίνεσθαι τὰς ῥάβδους, ἐξ οὗ καὶ τὰς βακτηρίας ποιοῦσι τὰς κούφας· ξηρανθὲν δὲ ἰσχυρὸν, καὶ ἀγήρων, ἐὰν βρέχηται, καὶ ἢ λελεπισμένον· λεπίζεται δὲ αὐτοματὸν, ξηραινόμενον· ῥίζας δὲ ἔχει μετεώρους, οὐ πολλὰς δὲ, οὐ δὲ μεγάλας· φύλλον δὲ, τὸ μὲν καθ' ἕκαστον, μαλακὸν, πρόμηκες, ὡς τὸ τῆς πλατυφύλλου Δάφνης· μεῖζον δὲ καὶ πλατύτερον, καὶ περιφερέστερον ἐκ μέσου καὶ κάτωθεν, τὸ δὲ ἄκρον εἰς ὀξὺ μᾶλλον συνῆκον, κύκλῳ δὲ ἔχον

[u] μὴ deest Ald. [x] πυκνός· Bod.

[y] χαραγμόν· τὸ δὲ ὅλον περὶ ἕνα μίσχον, παχὺ, καὶ ἰνῶδες, ὡς ἂν κλωνίον· τὰ μὲν, ἔνθεν, τὰ δὲ, ἔνθεν, κατὰ γόνυ καὶ * συζυγίαν πεφύκασι, διέχοντων τῶν φύλλων, ἀπ' ἀλλήλων, ἓν δὲ ἐξ ἄκρου τοῦ μίσχου. ὑπέρυθρα δὲ τὰ φύλλα ἐπιεικῶς, καὶ χαῦνα καὶ σαρκώδη· φυλλορροεῖ δὲ τοῦτο ὅλον, διόπερ φύλλον ἄν τις εἴποι τὸ ὅλον. ἔχουσι δὲ καὶ οἱ κλῶνες οἱ νέοι * γωνοειδῆ τινα· τὸ δὲ ἄνθος λευκὸν ἐκ μίσχων λευκῶν πολλῶν, ἐπὶ τῇ τοῦ μίσχου σχίσει, κηριῶδες· εὐωδίαν δὲ ἔχει λειριώδη, [z] ὑποβαρείαν· ἔχει δὲ καὶ τὸν καρπὸν ὁμοίως πρὸς ἑνὶ μίσχῳ παχεῖ, βοτρυώδη δὲ γίνεται, καὶ πεπαινόμενος μέλας, ὠμὸς δὲ ὢν, * ὀμφακώδης, μεγέθει δὲ μικρῷ μείζων ὀρόβου· τὴν * ὑγρασίαν δὲ οἰνώδη τῇ ὄψει ἀνίησι, τὰς χεῖρας δὲ * τέλειος, [a] βάπτει, καὶ τὰς τρίχας τῆς κεφαλῆς, ἔχει δὲ καὶ τὰ ἐντὸς * σησαμοειδῆ τὴν ὄψιν. πάρυδρον δὲ καὶ ἡ Ἰτέα καὶ πολυειδές· ἡ μὲν μέλαινα καλουμένη, τῷ τὸν φλοιὸν ἔχειν μέλανα, ἢ καὶ φοινικοῦν· ἡ δὲ λευκὴ, [b] τῷ λευκόν. καλλίους δὲ ἔχει τὰς ῥάβδους καὶ χρησιμωτέρους εἰς τὸ πλέκειν ἡ μέλαινα· ἡ δὲ λευκὴ πυκνοτέρους· ἔστι δὲ καὶ τῆς μελαίνης καὶ τῆς λευκῆς ἴδιον γένος μικρὸν, καὶ οὐκ ἔχον αὔξησιν εἰς ὕψος, ὥσπερ καὶ ἐπ' ἄλλων τοῦτο δένδρων, οἷον, Κέδρου, Φοίνικος· καλοῦσι δὲ οἱ περὶ Ἀρκαδίαν, οὐκ Ἰτέαν ἀλλὰ Ἑλικὴν, τοῦτο δένδρον, οἱονταὶ δὲ, ὥσπερ, ἐλέχθη, καὶ καρπὸν μὴ ἔχειν αὐτὴν γόνιμον.

[y] σπαραγμὸν, Bas. [z] ἐπὶ βαρείαν, Bas. [a] ἀναβλαστεῖ τὰς κεφαλάς. Const. [b] τῷ λεύκῳ. Bas.

CAP. XIII.

Ulmus campestris L. Populus alba, et nigra; Cercis, siliquastrum. Betula, Alnus; Betula alba.

ΕΣΤΙ δὲ καὶ τῆς Πτελέας δύο γένη, καὶ τὸ μὲν, Ὀρειπτελέα καλεῖται, τὸ δὲ, Πτελέα. διαφέρει δὲ τῷ θαμνωδέστερον εἶναι τὴν Πτελέαν, [c] εὐαυξέστερον δὲ τὴν Ὀρειπτελέαν· φύλλον δὲ ἀχιδὲς, *περικεχαραγμένον *ἡσυχῇ, προμηκέστερον δὲ τοῦ τῆς Ἀπίου, τραχὺ, δὲ [d] οὐ λιάν· μέγα δὲ τὸ δένδρον καὶ τῷ ὕψει καὶ τῷ μεγέθει. πολὺ δὲ οὐκ ἔστι περὶ τὴν Ἴδην, ἀλλὰ σπάνιον· τόπον δὲ ἔφυδρον φιλεῖ, καὶ τὸ ξύλον ξανθὸν καὶ ἰσχυρὸν, καὶ εὔινον, καὶ [e] *γλισχρὸν, ἅπαν γὰρ καρδία. χρῶνται δὲ αὐτῷ καὶ πρὸς θυρώματα πολυτελῆ· καὶ χλωρὸν μὲν *εὔτομον, ξηρὸν δὲ, δύστομον· ἄκαρπον δὲ νομίζουσιν, ἀλλὰ ἐν ταῖς [f] *κωρύκαις τὸ κόμμι, καὶ θηρία ἄττα κωνωποειδῆ φέρει· τὰς δὲ *κάχρυς, ἰδίας ἴσχει τοῦ μετοπώρου πολλὰς, καὶ μικρὰς, καὶ μελαίνας· ἐν δὲ ταῖς ἄλλαις χώραις οὐκ ἐπισκέπτεται. ἡ δὲ Λεύκη καὶ ἡ Αἴγειρος, μονοειδῆ· ὀρθοφυῆ δὲ ἄμφω, πλὴν μακρότερον καὶ λειότερον ἡ Αἴγειρος· τὸ δὲ σχῆμα τῶν φύλλων παρόμοιον· ὅμοιον δὲ καὶ τὸ ξύλον τεμνόμενον τῇ λευκότητι. οὐδέτερον δὲ τούτων οὐδὲ ἄνθος ἔχειν δοκεῖ. ἡ Κερκὶς δὲ παρόμοιον τῇ Λευκῇ, καὶ τῷ μεγέθει, καὶ τῷ τοὺς κλάδας ἐπιλεύκας ἔχειν· τὸ δὲ φύλλον κιττῶδες μὲν, ἀγώνιον δὲ ἐκ τοῦ ἄλλου, τὴν δὲ μίαν [γωνίαν] προμήκη καὶ εἰς ὀξὺ συνήκασαν· τῷ δὲ χρώματι σχεδὸν ὅμοιον τὸ ὕπτιον καὶ

[c] εὐαξίστερον Const. [d] οὐ λεῖον. Bod. [e] αἰσχρόν. Bod. [f] κωρύκοις, Bod. κωρύκοσι, Bas.

τὸ *πρανές· μίχῳ δὲ προσηρτημένον μακρῷ καὶ λεπτῷ· διὸ καὶ οὐκ ὀρθὸν, ἀλλὰ ἐγκεκλιμένον. φλοιὸν δὲ τραχύτερον [g] τῆς Λεύκης καὶ μᾶλλον *ὑπόλεπρον, ὥσπερ ὁ τῆς Ἀχράδος. [h] ἄκαρπον δὲ καὶ μονογενὲς καὶ ἡ Κλήθρα, φύσει δὲ ὀρθοφυές· ξύλον δ' ἔχον μαλακὸν, καὶ ἐντεριώνην μαλακὴν, ὥστε δι' ὅλου κοιλαίνεσθαι τὰς λεπτὰς ῥάβδους· φύλλον δὲ ὅμοιον Καρύᾳ Ἡρακλεωτικῇ, πλὴν μεῖζον καὶ ἰνωδέστερον. τραχύφλοιον δὲ, καὶ ὁ φλοιὸς εἴσωθεν ἐρυθρὸς, διὸ καὶ βάπτει τὰ δέρματα· ῥίζας δὲ ἐπιπολαίους, ἡλίκον Δάφνης. φύεται δὲ ἐν τοῖς ἐφύδροις, ἄλλοθι δ' οὐδαμοῦ. Σημύδα δὲ, τὸ μὲν φύλλον ἔχει ὅμοιον τῇ καλουμένῃ Καρύᾳ· πλὴν μικρῷ στενώτερον, τὸν φλοιὸν δὲ ποικίλον· ξύλον δὲ ἐλαφρόν. χρήσιμον δὲ εἰς βακτηρίας μόνον. εἰς ἄλλο δὲ οὐδέν. ἡ δὲ Κολουτέα, ἔχει τὸ μὲν φύλλον ἐγγύθεν τοῦ τῆς Τύλης· πολύοζον δὲ καὶ πολύφυλλον. καὶ τὸ δένδρον ὅλως οὐ μέγα, τὸν δὲ καρπὸν ἔλλοβον καθάπερ τὰ χεδροπὰ, λοβοῖς πλατέσι καὶ οὐ στενοῖς, καὶ τὸ σπερμάτιον, τὸ ἐνὸν, μικρὸν καὶ οὐ μέγα· σκληρὸν δὲ μετρίως, οὐκ ἄγαν, οὐδὲ πολύκαρπον ὡς κατὰ μέγεθος. σπάνιον δὲ τὸ ἐν λοβοῖς ἔχει τὸν καρπὸν, ὀλίγα γὰρ τοιαῦτα τῶν δένδρων.

CAP. XIV.

Corylus, Avellana. L. Pistacia, Terebinthus. Buxus sempervirens. Cratægus torminalis.

Ἡ δὲ Ἡρακλεωτικὴ Καρύα (φύσει γὰρ καὶ τοῦτ' ἄγριον) ἄγριος [i] καλεῖται, τῷ τε μηδὲν, μηδὲ πολὺ

g ἡ Λεύκης Theod.
h ἔγκαρπον Const. εὔκαρπον Ald.
i καλεῖται deest Bod.

χεῖρον γίνεσθαι τῶν ἡμέρων τὸν καρπὸν, καὶ τῷ δύνασθαι χειμῶνας ὑποφέρειν, καὶ τῷ πολὺ φύεσθαι κατὰ τὰ ὄρη, καὶ πολύκαρπον [k] εἶναι ἐν ταῖς *φοραῖς. ἔτι δὲ τῷ μηδὲ στελεχῶδες, ἀλλὰ θαμνῶδες εἶναι, ῥάβδοις ἄνευ μαχαλῶν καὶ ἀνόζοις, μικραῖς δὲ καὶ [l] μὴ παχείαις, ἐνίαις· οὐ μὴν ἀλλὰ καὶ ἐξημεροῦται· διαφορὰν δὲ ἔχει τῷ τὸν καρπὸν ἀποδιδόναι [ταύτην] βελτίω, καὶ μεῖζον τὸ φύλλον· κεχαραγμένον δ' ἀμφοῖν, ὁμοιότατον τῷ τῆς Κλήθρας, πλὴν πλατύτερον [τὸ τῆς Κλήθρας], καὶ αὐτὸ τὸ δένδρον μεῖζον· καρπιμώτερον δὲ καὶ αἰεὶ γίνεται κατακοπτόμενον τὰς ῥάβδους. γένη δὲ δύο, ἀμφοῖν, αἱ μὲν γὰρ στρογγύλον, αἱ δὲ πρόμακρον φέρουσι τὸ κάρυον, ἐκλευκότερον δὲ τὸ τῶν ἡμέρων· καὶ καλλικαρπεῖ μάλιστα δ' ἐν τοῖς ἐφύδροις· ἐξημεροῦται δὲ τὰ ἄγρια μεταφυτευόμενα. φλοιὸν δὲ ἔχει [m] ὅμοιον Κλήθρᾳ, πλὴν [n] ἐπιπόλαιον, λεπτὸν, λιπαρὸν, ἰδίας σιγμὰς λευκὰς ἔχοντα ἐν αὐτῷ· τὸ δὲ ξύλον σφόδρα *γλίσχρον, ὥστε καὶ τὰ λεπτὰ πάνυ ῥαβδία περιλοπίσαντες, *κάνεα ποιοῦσι, καὶ τὰ παχέα δὲ, καταξύσαντες. ἔχει δὲ καὶ ἐντεριώνην λεπτὴν, ξανθὴν, ἣ κοιλαίνεται. ἴδιον δ' αὐτῶν τὸ περὶ τὸν ἴουλον, ὥσπερ εἴπομεν. τῆς δὲ Τερεβίνθου, τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ. τὸ μὲν οὖν ἄρρεν, ἄκαρπον, διὸ καὶ καλοῦσιν ἄρρεν· τῶν δὲ θηλειῶν, ἡ μὲν ἐρυθρὸν εὐθὺς φέρει τὸν καρπὸν, ἡλίκον [o] φακὸν ἄπεπτον· ἡ δὲ χλοερὸν ἐνέγκασα, μετὰ ταῦτα ἐρυθραίνει καὶ ἅμα τῇ Ἀμπέλῳ πεπαίνουσα, τὸ ἔσχατον ποιεῖ μέλανα, μέγεθος ἡλίκον κύαμον· [p] ῥητι-

k εἶναι deest Bod. l μὴ deest Bod. Ald. m ὅμοιον Κλήθρᾳ desunt Bod. n Forsan ποικίλον. o φακὸς, Bod. p ῥυτινώδη, ῥυτίνη, Bod.

νώδη δὲ καὶ θυωδέστερον. ἔστι δὲ τὸ δένδρον περὶ μὲν τὴν Ἴδην καὶ τὴν Μακεδονίαν βραχὺ, θαμνῶδες, ἐσραμμένον, περὶ δὲ Δαμασκὸν τῆς Συρίας, μέγα, καὶ πολὺ, καὶ καλόν. ὄρος γάρ τί φασιν εἶναι παμμέγιστον Τερεβίνθων, ἄλλο δὲ οὐδὲν πεφυκέναι· ξύλον δὲ ἔχει γλίχρον, καὶ ῥίζας ἰσχυρὰς κατὰ βάθος, καὶ τὸ ὅλον ἀνώλεθρον· ἄνθος δὲ ὅμοιον τῷ τῆς Ἐλαίας, τῷ χρώματι δὲ ἐρυθρόν· φύλλα δὲ περὶ ἕνα μίσχον, πλείω, δαφνοειδῆ, κατὰ *συζυγίαν, ὥσπερ καὶ τὰ τῆς [q] Οὔης, καὶ τὸ ἐξ ἄκρου περιττόν· πλὴν ἀγωνιώτερον τῆς Οὔης, καὶ δαφνοειδέστερον δὲ κύκλῳ, καὶ λιπαρὸν ἅπαν ἅμα τῷ καρπῷ· φέρει δὲ καὶ *κωρυκώδη τινὰ κοῖλα, καθάπερ ἡ Πτελέα, ἐν οἷς θηρίδια ἐγγίνεται *κωνοποιδῆ. ἐγγίνεται δὲ τὶ *ῥητινῶδες ἐν τούτοις καὶ γλίχρον. οὐ μὲν ἐντεῦθέν γε, ἡ *ῥητίνη συλλέγεται, ἀλλ' ἀπὸ τοῦ ξύλου· ὁ δὲ καρπὸς οὐκ ἀφίησι ῥητίνης πλῆθος. ἀλλὰ προσέχεται μὲν ταῖς χερσὶ, κἂν μὴ πλυθῇ μετὰ τὴν συλλογὴν, συνέχεται· πλυνόμενος δὲ, ὁ μὲν λευκὸς καὶ ἄπεπτος *ἐπιπλεῖ. ὁ δὲ μέλας *ὑφίσταται. ἡ δὲ Πύξος μεγέθει μὲν οὐ μεγάλη, τὸ δὲ φύλλον ὅμοιον ἔχει Μυῤῥίνῃ· φύεται δ' ἐν τοῖς ψυχροῖς τόποις καὶ τραχέσι, καὶ γὰρ τὰ [r] Κυτώρα τοιοῦτον, οὗ ἡ πλείστη γίνεται. ψυχρὸς δὲ ὁ Ὄλυμπος, ὁ Μακεδονικὸς, καὶ ἐνταῦθα γίνονται, πλὴν οὐ μεγάλοι. μέγιστοι δὲ καὶ κάλλιστοι ἐν Κύρνῳ, καὶ γὰρ εὐμήκεις, καὶ πάχος ἔχουσαι πολὺ παρὰ τὰς ἄλλας, διὸ καὶ τὸ μέλι οὐχ ἡδὺ, ὄζον τῆς Πύξου, πλήθει δὲ πολύ. Κράταιγος δ' ἐστὶν, οἱ δὲ Κραταιγόνα καλοῦσιν· ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον Μεσπίλῃ, τετανὸν, πλὴν μεῖζον

q Οἴης. Bod. Ὄης. Const. r Κύτιρα Bod.

[s] ἢ ἐκείνου, καὶ πλατύτερον καὶ προμηκέστερον, τὸν δὲ χαραγμὸν οὐκ ἔχον, ὥσπερ κἀκεῖνο. γίνεται δὲ τὸ δένδρον ὅτε μέγα λίαν, ὅτε παχύ· τὸ δὲ ξύλον, ποικίλον, ἰσχυρὸν, ξανθόν. ἔχει δὲ φλοιὸν λεῖον, οἷον Μεσπίλη. μονόῤῥιζον δ' εἰς βάθος, ὡς ἐπιτοπολύ. καρπὸν δὲ ἔχει τρογγύλον, ἡλίκον ἡ Κόψιμος· πεπαινόμενος δὲ, ξηρὸς γίνεται, καὶ ἐπιμελαίνεται· κατὰ δὲ τὴν γεῦσιν καὶ τὸν χυλὸν μεσπιλῶδες. διόπερ οἷον ἄγρια δόξειεν ἂν εἶναι· μονοειδὲς δὲ, καὶ οὐκ ἔχον διαφοράς.

CAP. XV.

Quercus, Prinus. Ilex, Suber, et Varietates. Viscum, album: Arbutus, unedo. A. Andrachne. Rhus, Cotinus.

Ὁ δὲ Πρῖνος φύλλον μὲν ἔχει δρυῶδες, ἔλαττον δὲ [t] καὶ παρακανθίζον· τὸν δὲ φλοιὸν λειότερον Δρυός· αὐτὸ δὲ τὸ δένδρον μέγα, καθάπερ ἡ Δρῦς, ἐὰν ἔχει τόπον καὶ ἔδαφος· ξύλον δὲ πυκνὸν καὶ ἰσχυρόν· βαθύῤῥιζον δὲ ἐπιεικῶς καὶ πολλύῤῥιζον. καρπὸν δὲ ἔχει βαλανώδη· μικρὰ δὲ ἡ βάλανος· *περικαταλαμβάνει δὲ ὁ νέος τὸν ἔνον· ὀψὲ γὰρ πεπαίνει, διὸ καὶ *διφορεῖν τινές φασι. φέρει δὲ καὶ, παρὰ τὴν βάλανον, κόκκον τινὰ φοινικοῦν· ἴχει δὲ καὶ Ἰξίαν καὶ Ὑφέαρ, ὥστε ἐνίοτε συμβαίνει τέτταρας ἅμα καρποὺς ἔχειν αὐτόν. δύο μὲν τοὺς ἑαυτῆς, δύο δ' ἄλλους, τόν τε τῆς Ἰξίας, καὶ τὸν τοῦ Ὑφεαρος. καὶ τὴν μὲν Ἰξίαν φέρειν ἐκ τῶν πρὸς βορρᾶν, τὸ δὲ Ὑφέαρ, ἐκ τῶν πρὸς μεσημβρίαν. οἱ δὲ περὶ Ἀρκαδίαν δένδρόν τι Σμίλακα καλοῦσιν, ὅ ἐστιν

[s] ἢ deest Bod. [t] ἰπακανθίζον. Bod.

ὅμοιον τῷ Πρίνῳ, τὰ δὲ φύλλα οὐκ ἀκανθώδη ἔχει, ἀλλ' ἀπαλώτερα, καὶ [u] πλατύτερα, καὶ διαφορὰς ἔχοντα πλείους. οὐδὲ τὸ ξύλον, ὥσπερ ἐκεῖνο, στερεὸν καὶ πυκνὸν, ἀλλὰ [x] μαλακὸν ἐν ταῖς ἐργασίαις. ὃ δὲ καλοῦσιν οἱ Ἀρκάδες Φελλόδρυν, τοιάνδε ἔχει τὴν φύσιν, [ἥτις] ὡς μὲν ἁπλῶς εἰπεῖν, ἀνὰ μέσον Πρίνου καὶ Δρυός ἐστι, καὶ ἔνιοι ὑπολαμβάνουσιν εἶναι θῆλυν Πρῖνον. διὸ καὶ ὅπου μὴ φύεται Πρῖνος, τούτῳ χρῶνται πρὸς τὰς ἁμάξας, καὶ τὰ τοιαῦτα. καθάπερ οἱ περὶ Λακεδαίμονα καὶ Ἠλείαν. καλοῦσι δὲ οἵγε Δωριεῖς καὶ [y] Ἀρίαν, τοῦτο δένδρον, ἐστὶ δὲ μαλακώτερον καὶ μανότερον τοῦ Πρίνου· σκληρότερον δὲ καὶ πυκνότερον τῆς Δρυός. καὶ τὸ χρῶμα φλοισθέντος τοῦ ξύλου, λευκότερον μὲν τοῦ Πρίνου, *οἰνωπότερον δὲ τῆς Δρυὸς, τὰ δὲ φύλλα προσέοικε μὲν ἀμφοῖν· ἔχει δὲ μείζω ἡ Φελλόδρυς· ἢ ὡς Πρῖνος, ἐλάττω δὲ, ἢ ὡς Δρῦς· καὶ τὸν καρπὸν τὸ μὲν Πρίνου κατὰ μέγεθος ἐλάττω, ταῖς ἐλαχίσταις δὲ βαλάνοις ἴσον· καὶ γλυκύτερον μὲν ἢ τοῦ Πρίνου, πικρότερον δὲ ἢ τῆς Δρυός· καλοῦσι δέ τινες τὸν μὲν τοῦ Πρίνου, καὶ τὸν ταύτης καρπὸν, *ἄκυλον, τὸν δὲ τῆς Δρυὸς βάλανον· μήτραν δὲ ἔχει φανερώτερον ἢ ὁ Πρῖνος· καὶ ἡ μὲν Φελλόδρυς, τοιαύτην τινὰ ἔχει φύσιν. ἡ δὲ Κόμαρος, ἡ τὸ [z] μιμαίκυλον φέρουσα τὸ ἐδώδιμον, ἐστὶ μὲν οὐκ ἄγαν μεγάλη· τὸν δὲ φλοιὸν ἔχει λεπτὸν μὲν, παρόμοιον δὲ Μυρίκῃ, τὸ δὲ φύλλον μεταξὺ Πρίνου καὶ Δάφνης· ἀνθεῖ δὲ τοῦ πυανεψιῶνος· τὰ δὲ ἄνθη πέφυκεν ἀπὸ μιᾶς [a] *κρεμάστρας, ἐπ' ἄκρων βοτρυδόν· τὴν δὲ

[u] βαθύτερα, Bod. εὐθύτερα, Const. [x] μαλακὸν καὶ μανὸν Const. [y] ἀγρίαν Bod. [z] μεμαίκυλον Bod. μεμαίκηλον Bas. [a] κρεμάθρας, Const.

μορφὴν ἕκαστόν ἐςιν ὅμοιον Μύρτου [ἄνθει], προμήκει, καὶ μεγέθει δὲ τηλικοῦτον, ἄφυλλον δὲ καὶ κοῖλον, ὥσπερ ὠὸν ἐγκεκολαμμένον· ὅταν δὲ ἀπανθήσῃ, ἡ πρόσφυσις τετρύπηται, τὸ δὲ ἀπανθῆσαν λεπτὸν, ὥσπερ σφόνδυλος περὶ ἄτρακτον, ἢ [b]*κάρνειος δωρικός· ὁ δὲ καρπὸς ἐνιαυτῷ πεπαίνεται. ὥστ' ἅμα συμβαίνει τοῦτον τ' ἔχειν, καὶ τὸν ἕτερον ἀνθεῖν. παρόμοιον δὲ τὸ φύλλον καὶ ἡ [c]Ἀνδράχνη ἔχει τῷ Κομάρῳ, μέγεθος δ' οὐκ ἄγαν μέγα· τὸν δὲ φλοιὸν, [d]λευκὸν ἔχει καὶ *περιῤῥηγνυμένον· καρπὸν δὲ ἔχει ὅμοιον τῇ Κομάρῳ. ὅμοιον δ' ἐςι τούτοις τὸ φύλλον καὶ τῆς [e]Κοκκυγρίας, τὸ δὲ δένδρον μικρόν· ἴδιον δὲ ἔχει καὶ τὸ ἐκπαπποῦσθαι τὸν καρπὸν, τοῦτο γὰρ οὐδ' ἐφ' ἑνὸς ἀκηκόαμεν ἄλλου δένδρου. ταῦτα μὲν οὖν κοινότερα πλείοσι χώραις καὶ τόποις, ἔνια δ' ἰδιώτερα, καθάπερ καὶ ὁ Φελλὸς, ὃς γίνεται μὲν ἐν [f]Τυῤῥηνίᾳ. τὸ δὲ δένδρον ἐςὶ στελεχῶδες μὲν καὶ ὀλιγόκλαδον, εὔμηκες δ' ἐπιεικῶς, καὶ εὐαύξης, ξύλον δ' ἰσχυρὸν, τὸν δὲ φλοιὸν παχὺν σφόδρα καὶ καταῤῥηγνύμενον, ὥσπερ ὁ τῆς Πίτυος, πλὴν κατὰ μείζω. τὸ δὲ φύλλον, ὅμοιον [g]ταῖς τῆς Ἐλαίας, παχὺ, προμηκέστερον· οὐκ ἀείφυλλον, ἀλλὰ φυλλοβολοῦν· καρπὸν δὲ αἰεὶ φέρει [h]βαλανώδη, ὅμοιον τῇ Ἀρίᾳ. περιαιρεῦσι δὲ τὸν φλοιὸν, καὶ φασὶ δεῖν πάντα διαιρεῖν, εἰ δὲ μὴ, χεῖρον γίνεται τὸ δένδρον, ἐξαναπληροῦται δὲ πάλιν σχεδὸν ἐν τρισὶν ἔτεσιν.

[b] κιονόκρανον Const. [c] Ἀδράχνη Const. [d] λεῖον Plin. [e] Κοκκυμηλίας, Bod. [f] Πυῤῥηνίᾳ. Bas. [g] Μηλίαις, Bod. Μηλίαις, Const. [h] βαλανηφόρον, Bod.

CAP. XVI.

Colutea, arborescens L. Coronilla, Emerus? Ruscus hypophyllum, R. aculeatus. Vaccinium Vitis Idæa. Lonicera Pyrenaica. Rhamni Rhois, et Grossulariæ varietates, ut et Rubi L.

ΙΔΙΟΝ δὲ καὶ ἡ [i] Κολουτέα περὶ Λιπάραν, δένδρον μὲν εὐμέγεθες· τὸν δὲ καρπὸν φέρει ἐν λοβοῖς, ἡλίκον φακὸς, ὃς πιαίνει τὰ πρόβατα θαυμαστῶς. φύεται δὲ ἀπὸ σπέρματος καὶ ἐκ τῆς τῶν προβάτων κόπρου μάλιστα. ὥρα δὲ τῆς φυτείας, ἅμα ἀρκτούρῳ δυομένῳ· δεῖ δὲ φυτεύειν προβρέχοντας, ὅταν ἤδη [k] * διαφυσῆται ἐν τῷ ὕδατι. φύλλον δ' ἔχει παρόμοιον [l] Τύλῃ. βλαστάνει δὲ τὸ πρῶτον μονοφυὲς, ἐπὶ ἔτη μάλιστα τρία, ἐν οἷς καὶ τὰς βακτηρίας τέμνουσι, δοκοῦσι γὰρ εἶναι καλαί. ἢν ἐάν τις κολούσῃ, ἀποθνήσκει, ἢ γὰρ ἀπαράβλαστόν ἐστιν· εἶτα [m] σχίζεται καὶ ἀποδενδροῦται τῷ τετάρτῳ ἔτει. ἡ δὲ περὶ τὴν Ἴδην, ἣν καλοῦσι Κολουτέαν, ἕτερον εἶδός ἐστι, θαμνῶδες δὲ καὶ ὀζῶδες, καὶ πολυμάσχαλον· σπάνιον δὲ καὶ οὐ πολὺ, ἔχει δὲ φύλλον δαφνοειδὲς, πλατυφύλλῳ Δάφνης, πλὴν στρογγυλότερον καὶ μεῖζον, ὥστ' ὅμοιον φαίνεσθαι τῷ τῆς [n] Μελίας, προμηκέστερον δέ· τὴν χρόαν δὲ ἐπιθάτερα χλοερὸν, * ὄπισθεν δὲ ἐπιλευκαῖον, καὶ πολύϊνον ἐκ τῶν ὄπισθεν ταῖς λεπίαις [o] ἶσι, καὶ μεταξὺ τῶν πλευροειδῶν ἀπὸ μέσης κατατεινουσῶν. φλοιὸν δ' οὐ λεῖον, ἀλλ' οἷον τὸ τῆς Ἀμπέλου· τὸ δὲ ξύλον σκληρὸν καὶ πυκνόν· ῥίζας

[i] Κολυτία Const. [k] διαφυσᾶται Const. διαφύηται Bas. [l] Ἰτία. Bod. Τήλει. Const. [m] σχιζοῦται Bas. [n] Πτελίας, Bod. Μηλίας, Const. [o] εἰσί· καὶ ταῖς ῥίζαις, καὶ μεταξὺ Bod. Vid. not. ad fin. libri.

δὲ ἐπιπολαίους καὶ λεπτάς· καὶ μανὰς καὶ οὔλας δὲ ἐνίοχει καὶ ξανθὰς σφόδρα· καρπὸν δὲ ἐκ ἔχειν φασὶν, οὐδὲ ἄνθος, τὴν δὲ *κορυνώδη κάχρυν, καὶ τοὺς *ὀφθαλμοὺς τοὺς περὶ τὰ φύλλα λεῖους σφόδρα καὶ λιπαροὺς καὶ λευκοὺς, τῷ χήματι δὲ καχρυώδεις· ἀποκοπὲν δὲ καὶ ἐπικαυθὲν, παραφύεται καὶ ἀναβλαστάνει. ἴδια δὲ καὶ τὰ δὲ περὶ τὴν Ἴδην ἐστὶν, οἷον ἥ τε Ἀλεξανδρεία καλεμένη, Δάφνη, καὶ Συκῆ τις, καὶ Ἄμπελος· τῆς μὲν οὖν Δάφνης ἐν τούτῳ τὸ ἴδιον, ὅτι ἐπιφυλλόκαρπόν ἐστιν, ὥσπερ καὶ ἡ Κεντρομυρρίνη· ἀμφότεραι γὰρ τὸν καρπὸν ἔχουσιν ἐκ τῆς ῥάχεως τοῦ φύλλου. ἡ δὲ Συκῆ, θαμνῶδες μὲν, καὶ οὐχ ὑψηλόν· πάχος δ' ἔχον, ὥστε καὶ πηχυαῖον εἶναι τὴν περίμετρον· τὸ δὲ ξύλον ἐπεστραμμένον, γλίσχρον, κάτωθεν μὲν λεῖον καὶ ἄνοζον, ἄνωθεν δὲ περίκομον. χρῶμα δὲ καὶ φύλλα καὶ φλοιοῦ, πελιόν· τὸ δὲ σχῆμα τῶν φύλλων ὅμοιον τῷ τῆς Φιλύρας, καὶ μαλακὸν δὲ καὶ πλατὺ, καὶ τὸ μέγεθος παραπλήσιον [p] τοῦ ἄνθος μεσπιλῶδες, καὶ ἀνθεῖ ἅμα τῇ Μεσπίλῃ· ὁ δὲ καρπὸς, ὃν καλοῦσι σῦκον, ἐρυθρὸς ἡλίκος [q] Κρανείας, πλὴν στρογγυλώτερος, ἐσθιόμενος δὲ, μεσπιλώδης· ῥίζας δὲ ἔχει παχείας, ὡς ἂν Συκῆς ἡμέρου, καὶ γλίσχρας· ἀσαπὲς δέ ἐστι τὸ δένδρον, καὶ καρδίαν ἔχει στερεὰν, οὐκ ἐντεριώνην. ἡ δὲ Ἄμπελος Ἰδαία φύεται μὲν τῆς Ἴδης περὶ τὰς *φαλάκρας καλουμένας, ἔστι δὲ θαμνώδης, ῥαβδίοις μικροῖς. τείνονται δὲ οἱ κλῶνες ὡς πυγωνιαῖοι, πρὸς οἷς ῥάγες εἰσὶν ἐκ πλαγίου μέλαιναι, τὸ μέγεθος ἡλίκος κύαμος, γλυκεῖαι· ἔχουσι δὲ ἐντὸς γιγαρτῶδες τι μαλακόν· φύλλον δ' ἔστι στρογγύλον, ἀχιδὲς, μικρόν. ἔχει

[p] ὡς ἄνθος Bod. [q] Ἐλαίας· Bod.

δὲ καὶ τ' ἄλλα σχεδὸν ὅρη φύσεις τινὰς ἰδίας, τὰ μὲν δένδρων, τὰ δὲ θάμνων, τὰ δὲ ἄλλων ὑλημάτων. ἀλλὰ γὰρ περὶ μὲν τῆς ἰδιότητος εἴρηται πολλάκις, ὅτι γίνεται καθ' ἑκάστους τόπους· ἡ δὲ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν ἡ διαφορὰ, καθάπερ [r] ἐπὶ τῶν δένδρων καὶ τῶν θάμνων, ὁμοίως ἔστι, καὶ ἐπὶ τῶν ἄλλων, ὥσπερ εἴρηται, τῶν πλείστων, ὥσπερ καὶ Ῥάμνου, καὶ Παλιούρου, καὶ [s] Οἴσου, καὶ Ῥοῦ, καὶ Κιττοῦ, καὶ Βάτου, καὶ ἑτέρων πολλῶν· Ῥάμνος τε γὰρ, ἡ μέν ἐστι μέλαινα, ἡ δὲ, λευκὴ, καὶ ὁ καρπὸς διάφορος, ἀκανθηφορεῖ δὲ ἄμφω· τοῦ τε [t] Οἴσου τὸ μὲν, λευκὸν, τὸ δὲ, μέλαν· καὶ τὸ ἄνθος ἑκατέρου καὶ ὁ καρπὸς κατὰ λόγον· ὁ μὲν, λευκὸς, ὁ δὲ, μέλας· ἐνίων δὲ, καὶ ὥσπερ ἀνὰ μέσον ὄν, τὸ ἄνθος ἐπιπορφυρίζει, καὶ οὔτε *οἰνωπὸν οὔτε ἐκλευκόν ἐστιν, ὥσπέρ τινων. ἔχει δὲ καὶ τὰ φύλλα λεπτότερα καὶ λειότερα, ὡς καὶ τὰς ῥάβδους, τὸ Λευκόν. ὅ, τε Παλίουρος ἔχει διαφοράς· (ἅπαντα δὲ ταῦτα καρποφόρα.) καὶ γὰρ ἐν λοβῷ τινι τὸν καρπὸν ἔχει ὑπὸ τῶν φύλλων, ἐν ᾧ τρία ἢ τέτταρα γίνεται [σπέρματα] χρῶνται δὲ αὐτοῖς πρὸς τοὺς βῆχας οἱ ἰατροὶ κόπτοντες· ἔχει γάρ τινα *γλιχρότητα καὶ λίπος, ὥσπερ τὸ τῆ Λίνου σπέρμα. φύεται δὲ καὶ ἐπὶ τοῖς ἐφύδροις, καὶ ἐν τοῖς ξηροῖς, ὥσπερ ὁ Βάτος. οὐχ ἧττον δέ ἐστι τὸ δένδρον πάρυδρον· φυλλοβόλον δὲ, καὶ οὐχ ὥσπερ ἡ Ῥάμνος, ἀείφυλλον. ἔστι δὲ καὶ τοῦ Βάτου πλείω γένη, μεγίστην δὲ ἔχοντες διαφορὰν, ὅτι ὁ μὲν, ὀρθοφυὴς, καὶ ὕψος ἔχων, ὁ δὲ ἐπὶ τῆς γῆς, καὶ εὐθὺς κάτω [u] νενευκὼς, καὶ, ὅταν συνάπῃ

[r] ἔστι καὶ Bod. [s] Ἴσου, Bod. [t] Ἴσου Bod. [u] νεύων. Bas. νευκώς.

τῇ γῇ, ῥιζούμενος πάλιν, ὃν δὴ καλοῦσί τινες Χαμαιβάτον· τὸ δὲ Κυνόσβατον τὸν καρπὸν ὑπέρυθρον ἔχει, καὶ παραπλήσιον τῷ τῆς Ῥοιᾶς [u] καρπῷ· ἔστι δὲ δένδρου καὶ θάμνου μεταξὺ, καὶ παρόμοιον ταῖς Ῥοίαις, τὸ δὲ φύλλον [x] *ἀγλῶδες. τῆς δὲ Ῥοῦ, τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ καλοῦσι, τῷ τὸ μὲν, ἄκαρπον εἶναι, τὸ δὲ, κάρπιμον. οὐκ ἔχει δὲ οὐδέτερον τὰς ῥάβδους ὑψηλὰς, οὐδὲ παχείας. φύλλον δὲ ὅμοιον Πτελέᾳ, πλὴν μικρὸν καὶ προμηκέστερον, καὶ ἐπίδασυ, τῶν δὲ κλωνίων τῶν νέων ἐξ ἴσου τὰ φύλλα εἰς δύο, κατάλληλα δὲ ἐκ τῶν πλαγίων, ὥστε *στοιχεῖν· βάπτουσι δὲ [y] τούτοις καὶ οἱ σκυτοδέψαι τὰ λευκὰ δέρματα· ἄνθος δὲ λευκὸν, βοτρυῶδες τῷ σχήματι, καὶ *ὄστλιγγας ἔχον, ὥσπερ καὶ ὁ βότρυς· ἀπανθήσαντος δὲ, ὁ καρπὸς ἅμα τῇ σταφυλῇ ἐρυθραίνεται, καὶ γίνονται οἷον φακοὶ [z] λεπτοὶ, συγκείμενοι· βοτρυδὸν δὲ τὸ σχῆμα καὶ τούτων. ἔχει δὲ τὸ φαρμακῶδες τοῦτο, ὃ καλεῖται *ῥοῦς, ἐν αὐτῷ, ὀστῶδες τι, ὃ καὶ, τῆς ῥοῦ *διηθημένης, ἀπέχει. ῥίζα δ' ἐπιπόλαιος καὶ μονοφυὴς, ὥστε ἀνασκάπτεσθαι ῥαδίως, ὡς ὀλιγόῤῥιζα. τὸ δὲ ξύλον ἐντεριώνην οὐκ ἔχει, ἄφθαρτον δὲ, κοπτόμενον, ἐν πᾶσι δὲ γίνεται τοῖς τόποις, εὐθηνεῖ δὲ μάλιστα ἐν ταῖς *ἀργιλώδεσι.

CAP. XVII.

Hederæ Species. Smilax, aspera. Nerium, Oleander?

ΠΟΛΥΕΙΔΗΣ δὲ ὁ Κιττὸς, καὶ γὰρ [a] ὁ μὲν ἐπίγειος, ὁ δὲ, εἰς ὕψος αἰρόμενος· καὶ τῶν ἐν ὕψει πλείω

[u] κυτίνῳ· Plin. deest Bod. [x] ἀγνῶδις. Bod. [y] τούτῳ Bod. [z] λιπτὸν Bod. [a] ἀπίχει πολλάκις. Const.

γένη, τρία δ' οὖν φαίνεται τὰ μέγιστα· ὅ, τε Λευκὸς, καὶ ὁ Μέλας, καὶ τρίτον ἡ Ἕλιξ. εἴδη δὲ ἑκάστου τούτων πλείω· Λευκὸς γὰρ, ὁ μὲν τῷ καρπῷ μόνῳ· ὁ δὲ καὶ τοῖς φύλλοις ἐστί. πάλιν δὲ τῶν λευκοκάρπων [b] μόνον, ὁ μὲν ἁδρὸν καὶ πυκνὸν καὶ συνεστηκότα τὸν καρπὸν ἔχει, καθάπερ εἰς σφαῖραν, ὃν δὴ καλοῦσί τινες *κόρυμβον· ὃν δὲ Ἀθήνησι καλοῦσιν [c] *Ἀχαρνικὸν, ἐλάττω, καὶ διακεχυμένον, ὥσπερ καὶ ὁ Μέλας· ἔχει δὲ καὶ ὁ Μέλας διαφορὰς, ἀλλ' οὐχ ὁμοίως φανερὰς. ἡ δὲ δὴ Ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει, τῇ τε μικρότητι, καὶ τῷ *γωνιοειδῆ καὶ [d] εὐρυθμότερα εἶναι· τὰ δὲ τοῦ Κιττοῦ περιφερέστερα καὶ ἁπλᾶ· καὶ τῷ μήκει τῶν κλημάτων, καὶ ἔτι τῷ ἄκαρπος εἶναι. *διατείνονται γάρ τινες μὴ *ἀποκιττοῦσθαι τῇ φύσει τὴν Ἕλικα, [e] ἀλλαγὴν δὲ εἰς τὸν Κιττὸν τελειουμένης Ἕλικος. εἰ δὲ πᾶς [Κιττὸς] ἀποκιττοῦται, καθάπερ τίνες φασιν, ἡλικίας ἂν εἴη καὶ διαθέσεως, οὐκ εἴδους ἡ διαφορά· καθάπερ καὶ τῆς Ἀπίου πρὸς τὴν Ἀχράδα· πλὴν τό γε φύλλον καὶ ταύτης, πολὺ διαφέρει πρὸς τὸν Κιττόν. σπάνιον δὲ τοῦτο καὶ ἐν ὀλίγοις ἐστὶν, ὥστε παλαιούμενον μεταβάλλειν, ὥσπερ ἐπὶ τῆς Λεύκης καὶ τοῦ Κρότωνος. εἴδη δ' ἐστὶ πλείω τῆς Ἕλικος, ὡς μὲν τὰ προφάνεστατα καὶ μέγιστα λαβεῖν, τρία· ἥτε Χλοερὰ καὶ Ποώδης, ἥπερ καὶ πλείστη, καὶ ἑτέρα ἡ Λεύκη, καὶ τρίτη, ἡ Ποικίλη, ἣν δὴ καλοῦσί τινες Θρακίαν. ἑκάστη δὲ τούτων δοκεῖ διαφέρειν, καὶ γὰρ τῆς Ποώδους, ἡ μὲν λεπτοτέρα καὶ

[b] μόνων, Bod. [c] Ἀχαρνείτην· Const. [d] εὐθυμότερα Ald. Bas. [e] ἀλλαγὴ δ' εἰς τὸν Κιττὸν τελειουμένης. Bod. ἀλλὰ τῇ ἐκ τοῦ Κιττοῦ τελειουμένῃ. Const.

[f] μακροφυλλοτέρα, καὶ ἔτι πυκνοφυλλοτέρα· ἢ δ' ἧττον πάντα ταῦτ' ἔχουσα· καὶ τῆς Ποικίλης, ἡ μὲν μεῖζον, ἢ δ' ἔλαττον τὸ φύλλον [ἔχουσα], καὶ τὴν ποικιλίαν διαφέρουσα· ὡσαύτως δὲ καὶ [g] τῆς Λευκῆς, καὶ γὰρ τῷ μεγέθει καὶ τῇ χροιᾷ διαφέρουσιν· εὐαυξεστάτη δὲ ἡ Πούδης, καὶ ἐπὶ πλεῖστον προιοῦσα. φανερὰν δ' εἶναί φασι ταύτην ἀποκιτιθεμένην, οὐ μόνον τοῖς φύλλοις, ὅτι μείζω καὶ πλατύτερα ἔχει, ἀλλὰ καὶ τοῖς βλαστοῖς, εὐθὺς γὰρ ὀρθοὺς ἔχει, καὶ οὐχ ὥσπερ κεχυμένους· καὶ διὰ τὴν λεπτότητα καὶ διὰ τὸ μῆκος. τῆς δὲ Πούδους καὶ βραχύτεροι καὶ παχύτεροι, ὁ δὲ Κιττὸς, ὅταν ἄρχηται [h] σπερμοφυεῖν, μετέωρον ἔχει καὶ ὀρθὸν τὸν βλαστόν. πολύρριζος μὲν οὖν ἅπας Κιττὸς καὶ πυκνόρριζος καὶ συνεστραμμένος, ταῖς ῥίζαις δὲ ξυλώδεσι, καὶ παχείαις, καὶ οὐκ ἄγαν βαθυρρίζοις· καὶ μάλιστα δ' ὁ Μέλας· καὶ γὰρ τραχύτατος, καὶ ἀγριότατος, διὸ καὶ *χαλεπὸς παραφύεται πᾶσι τοῖς δένδροις, ἀπόλλυσι γὰρ πάντα καὶ ἀφαυαίνει, παραιρούμενος τὴν τροφήν. λαμβάνει δὲ μάλιστα πάχος οὗτος καὶ ἀποδενδροῦται, καὶ γίνεται αὐτὸ καθ' αὑτὸ Κιττῶ δένδρον· ὡς δ' ἐπὶ τὸ πλεῖον, ἀεὶ πρὸς ἑτέρῳ φιλεῖ ζῆν, καὶ ὥσπερ [i] *ἐπαλλόκαυλόν ἐστιν. ἔχει δ' εὐθὺς καὶ τῆς φύσεώς τι τοιοῦτον, καὶ γὰρ ἐκ τῶν βλαστῶν ἀφίησιν ἀεὶ ῥίζας ἀνὰ μέσον τῶν φύλλων, αἷς ὥσπερ ἐνδύεται τοῖς δένδροις καὶ τοῖς τειχίοις, οἷον *ἐξεπίτηδες πεποιημέναις ὑπὸ τῆς φύσεως· διὸ καὶ ἐξαιρούμενος τὴν ὑγρότητα καὶ ἕλκων, ἀφαυαίνει, καὶ ἐὰν

[f] εὐρυθμότερα, Const. [g] τῆς λευκῆς desunt Bod.
[h] σπερμουχεῖν, Bod. σπέρμα σχεῖν, Const. [i] ἐπαυλόκαλον Bod.

ὑποκοπῇ κάτωθεν, δύναται διαμένειν καὶ ζῆν. ἔχει δὲ καὶ ἑτέραν διαφορὰν κατὰ τὸν καρπὸν οὐ μικράν· ὁ μὲν γὰρ, ἐπίγλυκύς ἐστιν, ὁ δὲ, σφόδρα πικρὸς, καὶ τοῦ Λευκοῦ καὶ τοῦ Μέλανος· σημεῖον δ' ὅτι τὸν μὲν ἐσθίουσιν οἱ ὄρνιθες, τὸν δ' οὔ. τὰ μὲν οὖν περὶ τὸν Κιτίον, οὕτως ἔχει. ἡ δὲ [k] Σμίλαξ, ἐστὶ μὲν ἐπαλλόκαυλος· ὁ δὲ καυλὸς, ἀκανθώδης, καὶ ὥσπερ [l] *πτορθάκανθος· τὸ δὲ φύλλον κιττῶδες, *μακραγώνιον, καὶ κατὰ τὴν μίσχου πρόσφυσιν *νοτηρόν. ἴδιον δ' ὅτι τήν τε διὰ μέσου ταύτην, ὥσπερ ῥάχιν, λεπτὴν ἔχει, καὶ τὰς *στημονίους *διαλήψεις ἐκ ἀπὸ ταύτης, ὥσπερ τὰ τῶν ἄλλων, ἀλλὰ περὶ αὐτὴν περιφερεῖς ἠγμένας ἀπὸ τῆς *προσφύσεως τοῦ μίσχου τῷ φύλλῳ· παρὰ δὲ τὸν καυλὸν [m] καὶ τὰς *διαλείψεις ταύτας φυλλικὰς, ἐκ τῶν αὐτῶν μίσχων τοῖς φύλλοις παραπέφυκεν *ἴουλος λεπτὸς καὶ ἑλικτός· ἄνθος δὲ λευκὸν καὶ εὐῶδες, [n] λείριον· τὸν δὲ καρπὸν ἔχει προσεμφερῆ τῷ Στρύχνῳ, καὶ τῷ Μηλάθρῳ, καὶ μάλιστα τῇ καλουμένῃ Σταφυλῇ ἀγρίᾳ· κατακρέμαται δ' οἱ βότρυες Κιττοῦ τρόπον, παρεγγίζει [o] δὲ μᾶλλον πρὸς τὴν Σταφυλὴν [ἄγριαν]. ἀπὸ γὰρ ἑνὸς *σημείου οἱ μίσχοι *ῥαγικοί· ὁ δὲ καρπὸς ἐρυθρὸς, ἔχων πυρῆνας, τὸ μὲν ἐπίπαν, δύο· ἐν τοῖς μείζοσι δὲ, τρεῖς, ἐν δὲ τοῖς μικροῖς, ἕνα· σκληρὸς δ' ὁ πυρὴν εὖ μάλα, καὶ τῷ χρώματι μέλας ἔξωθεν. ἴδιον δὲ τῶν βοτρύων, ὅτι ἐκ πλαγίων τε τὸν καυλὸν *παραθριγγίζουσι, καὶ κατ' ἄκρον ὁ μέγιστος βότρυς τοῦ καυλοῦ, ὥσπερ ἐπὶ τῆς Ῥάμνου καὶ τῆς Βάτου. τοῦτο δὲ δῆλον ὡς καὶ ἀκρόκαρπον, καὶ

k Σμίλαξ τραχεία καὶ ἐπαλλόκαυλος. Const. l ὀρθοάκανθον· Bod. m τὸν ἄτονον Bod. n ἠρινόν· Bod. o δὲ ὡς πρὸς Bod.

πλαγιόκαρπον. τὸ δ' Εὐώνυμον προσαγορευόμενον δένδρον, φύεται μὲν ἄλλοθί τε, καὶ τῆς Λέσβου ἐν τῷ ὄρει τῷ Ὀρκυνίῳ, Ὀρδύνῳ καλουμένῳ· ἔστι δὲ ἡλίκον Ῥοιά. καὶ τὸ φύλλον ἔχει ῥοιῶδες, μεῖζον δὲ ἢ Χαμαιδάφνη, καὶ μαλακὸν ὥσπερ ἡ Ῥοιά· ἡ δὲ βλάστησις ἄρχεται μὲν αὐτῆς περὶ τὸν *Ποσειδεῶνα, ἀνθεῖ δὲ τοῦ ἦρος· τὸ δ' ἄνθος ὅμοιον τὴν χρόαν τῷ Λευκοΐῳ· ὄζει δὲ δεινὸν, ὥσπερ φόνυ. ὁ δὲ καρπὸς ἐμφερὴς τὴν μορφὴν μετὰ τοῦ κελύφους τῷ τῆς Σησάμου λοβῷ, ἔνδοθεν δὲ στερεὸν, πλὴν διῃρημένον κατὰ τὴν τετραστοιχίαν· τοῦτο ἐδιόμενον ὑπὸ τῶν προβάτων P ἀποκτείνει, καὶ τὸ φύλλον καὶ ὁ καρπὸς, καὶ μάλιστα τὰς αἶγας, ἐὰν μὴ καθάρσεως τύχῃ. καθαιρεῖται δὲ *ἀνόχῳ. περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται. ἐν δὲ τοῖς ἑξῆς περὶ τῶν λειπομένων λεκτέον.

P ἀποκτιννύει, Bod.

NOTÆ

IN LIBRUM TERTIUM.

CAP. I.

Οὐκ ἐνδεχόμενον καὶ ἄλλως. Vox ἐνδέχομαι succedo vel germino: Angl. "to strike."

Τὰ ἕλωδη. In codd. legitur ἀλσώδη, sed l. iv. c. 1. eædem plantæ designantur αἱ φιλοῦσι τοὺς ἐφύδρους καὶ ἑλώδεις. Vox ἄλσος secundum Hesych. σύνδενδρος τόπος· sed forsan ἄλσος et νίμος apud Græcos differunt, utpote palustri, vel sicco loco crescentes.

Ὥσπερ μιμουμένων κἀκείνων, (Ἰτίας καὶ Πτελίας·) sed nulla, ut videtur, analogia; Abietes enim et Pinus ex seminibus in eodem loco, ubi siti fuerint parentes, oriuntur. Salices vero et Ulmi ex seminibus in alium locum vi ventorum allatis.

Ἀλλὰ τὴν Ἰτίαν. Novum cap. apud Bodæum, sed continuatio subjecti ejusdem.

Ὠλεσίκαρπον. Vid. Hom. Odys. xx. et alibi: vide etiam Obs. Plinii in hunc locum xvi. 26. et Illust. Theophr. p. 81. Alia et longe diversa interpretatio vocis apud Plin. loc. cit.

Ἐν Κυρήνῃ πιττώδους τινός. Textus hic corruptus valde. Sermo est de Laserpitio, celebri planta Cyrenensium, ut constat ex icone in nummo civitatis hujus; (vid. Bod. p. 598.) Vide etiam Prosp. Alpinum fuse de hac planta. Succus Laserpitii secundum Plin. xix. 3. pretii maximi apud Romanos. De ortu ex imbri piceo Plin. loc. cit. Item Theophr. de Caus. Plant. i. Vid. etiam Dioscor. iii. 94. Folium plantæ μάσπιτον Græce; succ. apud Lat. *Laser*; vid. usus in medicina Galen. de Morb. Acut. iv. Recentiores radice utebantur. Conjicitur a quibusdam ὄπον hunc esse *Asam fœtidam* Pharm.

Ἡ πλησίον ὕλη. Seges hæc plantarum picea quoad proprietates.

CAP. II.

N. B. Cap. III. Bod. paullo supra, Πάντα δὲ κάρπιμα.

Ἴδια δὲ πρὸς τὰ ἥμερα. Observatio justa, sylvestres tardius maturare fructus, et plus vigescere.

Ἐπὶ τῶν Κρανείων. Videndum an Cornus et Sorbus sint revera ἀγρίου φυσέως, et non meliora fiant cultura.

CAP. III.

Ἴδια τοιάδε. Septemdecim species arborum in montibus Macedoniæ enumerantur; totidem in planis.

Ἀείφυλλα μὲν. Vid. l. i. c. 12.

Αἴγειροι κάρπιμοι. Populus fœmina rara admodum.

Ἐν τῷ στομίῳ τοῦ ἄντρου. Ex locis innumeris constat Theophrastum regiones ipsas herborisando investigasse.

Ἐπὶ τῆς Περσέας. Ex Observ. Plinii xv. 13. conjicio vocem Περσέας hoc loco diversam arboris speciem indicare a Περσέα iv. 2. ibi enim, ut et apud Plin. distinctio sumitur inter Persicam et Perseam. Amygdalus Persica accuratissime describitur a Dodonæo A. D. 1640. Dioscorides etiam et Galenus, ut genera diversa, Persicam et Perseam describunt. Suspicor tamen Malum Persicum, vel saltem varietates ejus cultas, Plinii tempore Romanis ignotum fuisse; ita enim l. xxiii. describitur, "Nec est alius eis pomis innocentior cibus; nus-" quam minus saporis, succi plus."

CAP. IV.

Ἀῤῥένα μόνα. Vox ἄῤῥην de vigore plantæ interpretanda, paucis locis exceptis.

Ἀρκεύθους δύο. Observatio justa, spec. enim Diœcia Linn. Dubitatio occurrit supra de Quercu, Abiete, et aliis Monœciis, sc. ἀμφισβητεῖται δέ.

Ἱσταμένου θαργηλιῶνος. Mensis Atticus trifariam dividebatur, ἱσταμένου—μεσοῦντος—φθίνοντος. (Hinc Gallorum "decadis" hodierni.) Initio Februarii mensis.

Εἰς πλάγια κύκλῳ. Ad latera verticillatim. Bot.

Ἡ Κικίς. Supervacaneum videtur ita accurate de Gallæ ortu et accremento disserere, quæ non planta, sed insectæ domici-

lium: suspicor tamen corruptionem textus: ut ut se res habet, parenthesi includend. quæ de Κίκιδε, et verba διαλείποντα δὲ referend. ad σκιῤῥοφ. λήγοντα, supra.

Ἑκατομβαιῶνος ἐλαχίστας. Sensus videtur, diebus proximis initio mensis Junii, quando sol in cancro. Const.

Ὥρα δὲ—τότε. Vid. supra, ἡ πρώτη βλάστησις ὅταν πᾶν δένδρον λιπᾷ.

CAP. V.

N. B. Bodæi Cap. VII.

Αἱ βλαστήσεις ἐπὶ Κυνί. Priori capitulo de germinatione prima, vel vernali. Intermissiones hæ (διαλείψεις) vocantur, et germinationes, quæ post Caniculæ ortum producuntur; Anglice "Michaelmas shoots."

Κάχρυος. Amenti, Bot. N. B. Amenti sub nomine Ἴουλος: accuratissima occurrit descriptio in Corylo, Avellana Linn. cap. sequente. Vid. Plin. xvi. 8.

Ἐκ τοῦ στελέχους τὰ πρῶτα σχισθῇ. Quid sibi vult σχισθῇ? an actionem rumpendi corticem? Scal. ait surculos fissos, et disparatos. Bod. p. 139. Binis adversis cohærentibus, subrecta divisura. Gaz.

Καὶ οὕτω προωθεῖται τὸ ὑπόρριον. Sensim protruditur, non nova germinatione junioris ligni, ut in Abiete.

CAP. VI.

Συμβαίνει ἴδιόν τι περὶ τὴν Ἐλάτην. Nihil occurrit de ἀμφαύξει apud Bod. nec meminit Plin. in loco de decacuminatione Abietis xvi. 30. Ex significatione vocis Græcæ conjicerem aliquid enasci post cæsuram, ut nodi in aliis arboribus: superat hoc duritie lignum trunci, et differt colore; ideoque aptum poculis vel vasis faciendis.

Κικίδα τὴν μικρόν. Gallas vel fungos confundit Auctor cum partibus constituentibus plantarum. Accurata admodum desc. quarundam e classe cryptogamica plantarum crescentium super arboribus, quas operæ pretium erit Botanicis investigare in regionibus ipsis. Vide quæ notavi in Lex. Theophr.

Μέλι et Μελίττας. Non de manna quæ e Fraxino rotundifolio, L. pervenit, memorat Hesiodus, sed de alvearibus in cavis trunci.

CAP. VII.

Ἡ Ἀλίφλοιος (Δρῦς) nugæ sunt quas tradit Theodorus de Quercu *salsi-cortice*; vox ἁλὶς abundantiam, vel crassitudinem corticis indicat. Species quinque clare indicat Theophr. 1. Δρ. ἥμερις. Quercus, Robur L. 2. Δρ. Αἰγίλωψ, Quercus Ægilops L. 3. Δρ. Πλατύφυλλος. Spec. non descr. a Plinio: an Κίμερις Theocr. Schol. Idyll. 8.? Vide Bod. p. 151. 4. Δρ. Φηγὸς, Q. Esculus L. 5. Δρ. Ἀλίφλοιος, Haliphæus. Plin. xvi. 31. de qua non constat nisi Q. Cerris, vel Q. Coccifera L.

Μόνη εἰς δέρματα χρησίμη. De Gallis ad usus coriarios: an solæ Quercus ἡμερίδος utiles, videant Botanici; sed quid de κικίδι μελαίνᾳ ad usum tinctorium. N. B. Lichenum quorundam vires tinctoriæ memorantur. Lich. Pulmonarius L. hic videtur innui.

CAP. VIII.

Genus, Pinus L. hoc capite describitur. Species enumeratæ sunt, P. Sylvestris, P. Pinea, P. Cembra, P. Picea, P. Abies, et P. Larix. Vix aliquid certi reperitur super hac re apud antiquos scriptores. Quatuor apud Linn. Sp. Plant. 1418. P. sylv. varietates, quæ forsan amplectantur omnes Πεύκης et Πίτυος, a Theophr. enumeratas species, Larice, et P. Pinea, et Cembra exceptis. Respectu Laricis nulla occurrit desc. specifica: Π. τὸ γένος deciduum vocatur i. 13. et alibi. Πίτυς φθειρόφορος occurrit ii. 3. de qua vid. Lex. Theophr. Capite hoc Πεύκη ἥμερις enumeratur sine descriptione; ad fin. cap. tamen Ἀρκαδες λέγουσιν Π. ἥμερον Πίτυν εἶναι. Descr. Πεύκ. ἡμέρου omittitur, forsan ut arbor notissima. Π. Ἰδαία, secundum Mathiol. Pinus maritima altera; secundum Clus. Pinaster prior. Fuse tractat super hac re Bodæus, sed paullo ad.rem, p. 165. 2.

Τὴν αἰγίδα. Supra mentio fit *ægidis* apud antiquos ex nodis Pinus vel Abietis ad tabulas pictorias, vel scriptorias, &c. Hic συκῆς mentio fit, nodi non absimilis; utpote et λοῦσσον infra. Vid. Lex. Theophr.

Τὴν Κωνόφορον, i. e. κατ' ἐξοχήν. De strobilo prægrandi et nucibus edulibus P. Pineæ, et Cembræ.

Ἐλάτη ἄῤῥην ᾗ θήλεια. Pinus Picea, P. Abies L. Descriptio

accuratissima, sed ex corruptione textus respectu voc. κυκλοῖδες, κυνέαις, κυάθοις, θολοεῖδες, ut in var. lect. occurrunt, confusio orta vix sanabilis. Vide de hac re Præf. ad Illustr. Theophr. p. iv.

Οὔλην ἢ λείαν. De ægide: an curvaturæ venarum in ligno?

CAP. IX.

Πλὴν ἀνακάνθῳ. Sensus est, pericarpium in Fago, sylvestr. molliter spinosum esse, non rigide, ut in F. Castanea.

Ἡ λεύκη—μέλαινα. Apud nos, etsi non agnoscantur a Linn. duæ occurrunt varietates ex colore ligni nominatæ, alba et nigra, quarum nigra duritie longe præcedit.

Δυσθάνατον καὶ δυστοκεῖν. Vires noxias respicit arboris hujus, adeo ut mors habitantium in domibus ex ligno ejus constructis, æque ac parturitio difficilis: anilis fabula, ut videtur.

Τῆς δὲ Φιλύρας. Tiliam ἄῤῥενα καὶ θηλείαν εἶναι a quamplurimis superioris ævi Botanicis, æque ac a Theophr. asseritur: minus recte tamen. In classe Polyandria Linn. enumeratur Tilia, cujus in Spec. Plant. p. 733. occurrunt varietates quinque. Fors. var. α. T. mas, var. γ. T. fœmina.

Ἄνθος καλυκῶδες. Explicatio loci hujus difficillimi, si textus sanus sit, ex inspectione fructificationis petenda, et hinc forsan emendanda.

CAP. X.

Σφενδάμνου δύο γένη. Plinius ait tria genera xvi. 15. "marem "et fœminam; tertium genus Zygiam, rubentem fissili ligno, "cortice livido et scabro: hoc alii generis proprii esse malunt, "et Latine Carpinum appellant." Sed Carpinus L. accurate describitur cap. priore sub nomine Ὀστρυΐς. N. B. Bodæus icon. Aceris majoris et minoris Lobel. sistit, p. 183.

Τῷ σχήματι δαφνοειδῆ. Fraxini folii pinnati lobum ut φύλλον describit Theophr. folium ipsum κλῶνα vocat; attamen dicit, εἴποι τις ἂν μονόφυλλον τῷ ἅμα φυλλορρεῖν. N. B. Fraxinus excelsior L. Βουμελία, F. Ornus Μελία· prior λεία, posterior τραχεία. Mirum tamen nullam floris in posteriore mentionem, etsi adeo conspicua sit. Vide Flor. Gr. Fasc. 1. Racemus flor. Frax. excels. sic describitur, φέρει καὶ ἕτερ' ἄλλα οἷον βρύα, καθάπερ ἡ Δάφνη. Forsan Frax. rotundifolia Ὄρνος Theophrasti?

CAP. XI.

Ἡλίκη ἡ Σαρισσῶν. Lancea Macedonica: hæ ex ligno Corni fiebant. Longitudo ejus eximia hic clare indicatur, sc. duodecim cubitos.

Πυρῆνα παραπλήσιον Ἐλαίας. Vox πυρὴν interpretand. de drupa tota, non de nucleo ejus. Fructum Corni eleganter describit Dioscor. i. c. 172.

Κέδρον δὲ οἱ μὲν. Spec. duæ Juniperi L. hoc cap. describuntur; itemque Juniperus communis L. sub alio nomine Ἀρκευθος. Mira hallucinatio Bod. qui Pinus Cedri L. iconem sistit, p. 197.

Μεσπίλης δ' ἐστὶ τρία γένη. Mespilus Germanica occurrit L. Sp. Plant. p. 684. cujus var. α. et β. sed nulla mentio Setaniæ vel Anthedonis. Quatuor species enumerantur Ger. em. 1453. M. sativa prima, M. sativa altera, M. Aronia, M. chamæmespilus. N. B. Fructu Mespili inter delicias enumerato, var. forsan plurimæ interciderunt.

Πεφύκασι στοιχηδὸν ἐκ τῶν πλαγίων. Accuratissima descriptio folii pennati Sorbi. Textus forsan corruptus: conf. descr. folii Fraxini, cap. x.

Ὑπὸ συχνοῦ. Textus corruptus: forsan ὑπὸ συχν. proximitatem loborum folii pennati indicat, et postea legend. καὶ κατὰ μέρος, per paria.

Πολλῶν μίσχων καὶ λευκῶν. Mira transpositio verborum ex incuria librarii. Καρπὸς hoc loco dicitur similis κηρίῳ, sed umbella floris Sorbi ἐκ πολλῶν μίσχων, plana superficie favum, cellulis relictis vacuis, apprime refert. Suspicor etiam vocem σκωληκόβροτον de ξύλῳ dici, non de trunco. Vid. supra. Flores Cerasi cap. seq. sic describuntur, ἄνθος—ἐκ μικρῶν ἀνθῶν συγκείμενον κηριῶδες: itemque de flore Sambuci.

CAP. XII.

Ἴδιον δὲ Κέρασος. Species hæc forsan Cerasus duracinus Plin. Cer. sylv. non cultus, ex quo tamen var. cultæ, cujus fructus in deliciis sub nomine Pruni Cerasi L. Secundum Constantinum Cer. sylv. "Gignier" vocatur Gallis. Cer. niger Ger. em. 1505. Usus corticis singularis ad cistas faciendas, ut et decorticatio non transversim, sed linea spirali, si textus sanus.

N. B. Cerasi sylv. in sepibus nostris forsan non indigenæ, sed ex nucleis, var. cult. in hortis nostris ab avibus et aliis, seminatis.

Πρὸ τῆς ῥίζης. Proxime terræ. Sermo est de ima trunci parte.

Καὶ τὸ ξύλον ὅμοιον. Sc. fibras in ligno spirales esse, et similes fibris in cortice: sed certe aliter se res habet, et textus vel corruptus, vel obscurus.

Ἐκ μικρῶν ἀνθῶν. Flores Cerasi plures ex eadem ἀρχῇ, non tamen umbellati. N. B. Occurrit iterum similitudo cavitatum in flore cellulis vacuis favi. Vid. Fraxinus, Sorbus, supra.

Φύλλον τὸ μὲν καθ' ἕκαστον. De lobis singulis folii pinnati. Ἓν δὲ ἐξ ἄκρου. Fol. pinnat. lobo impari. Bot.

Ἴδιον γένος Ἰτέας μικρόν. Salix herbacea L. N. B. Triginta fere spec. Salicis occurrunt L. Spec. Plant. 1442. varietatibus apud nos ad infinitum multiplicatæ.

CAP. XIII.

Τῆς Πτελέας. Ulmi campestris varietates nullæ apud Linnæum, nec unquam mentio fit Ὀρειπτελέας. U. Atinea, teste Plin. xvi. 17. excelsior; U. campestris fructicosior: "Atineæ "non ferunt Samara: ita vocatur ejus semen." Sed forsan Samara, quæ apud Columellam "amara," fructificatio Ulmi primo vere, κωρύκαι καὶ τὸ κόμμι Theophr.

Θυρώματα πολυτελῆ. Scal. interpret. cardines ligneos, sed rectius opera fabrilia forarum valvas spectantia, quæ antiquitus artificiose cælata.

Οὐδέτερον δὲ τούτων οὐδὲ ἄνθος. Sermo est de Populo, alba et nigra L. Inter has P. fœmina rarissima.

Φλοιὸς ἔσωθεν ἐρυθρός. Etiam nunc ad tingendum in usu.

Φλοιὸς ποικίλος· sc. Betulæ albæ; recte in junioribus, ubi λειότατος reperitur; in annosis τραχύτατος. Betula virgis terribilis antiquitus, Batula, a batuendo (cædendo) vocabatur, teste Plinio.

Κολουτέα. Interpretor Coluteam arborescentem L. sed obscura et nimium brevis descriptio. Plantæ hujus iterum fit mentio c. xvii. N. B. Pro Ἰτέα legend. Τύλη, quæ vox ibi se-

mel tantum occurrit, et a Bodæo vocatur Trigonella, fœnum Græcum L.

CAP. XIV.

Ἡ δὲ Ἡρακλεωτικὴ Καρύα. Coryli species duæ, C. avellana, et C. colurna, a Theophrasto describuntur, ut sylvestris et culta satis accurate.

Γένη δὲ δύο ἀμφοῖν. N. B. Vox ἀμφοῖν redundat: alias quatuor species.

Τὸ περὶ ἴουλον. De Amento accuratissime supra.

Τῆς Τερεβίνθου τὸ μὲν ἄῤῥεν. Auctor forsan sistit Pistaciam Terebinthum L. Pist. Lentiscus L. ἐρυθρὸν φέρει καρπόν. Pistaciæ nux exterius viridi-rubescens, nuclei cuticula rubescit. Vide Plin. xiii. 6.

Καὶ τὸ ἐξ ἄκρου περιττόν. Folium pinnatum, lobo impari. Vide Fraxinum supra.

Ἡ δὲ Πύξος. Recte vocatur Myrtifolius. Arbor frigoris amans, ut Taxus. Virg. Georg. Τὰ Κυτώρα sc. ὄρη. Sic Plinius: "Buxus Pyrenæis et Cytoro montibus plurima," xvi. 16. et Virg. Georg. "Undantem Cytorum Buxo." Καλλίστη ἐν Κύρνῳ. Crassissima in Corsica. "Flore non spernendo, quæ causa "amaritudinis mellis." Plin. ibid.

CAP. XV.

Ὁ δὲ Πρῖνος. Quercus sempervirentis species duo, sc. Q. Ilex, L. var. α. et Q. Ilex var. β. (Q. Smilax Theophr.) has sistit Auctor ut diversas a Δρυΐ: et ad finem capitis Φελλὸν Q. Suberem descr. Decorticatio exterioris corticis, et ejus reproductio memoratur. De usibus nulla mentio.

Ἴσχει δὲ καὶ Ἰξίαν. Viscum album L. frequens in arboribus Parasita: rarissime in Ilice, si Clusio fides. Sed q.? Ὑφίαρ ut species distincta? "A septentrione Viscum, a meridie Hy-"phear." Plin. xvi. 30. Nulla tamen mentio apud synon. Linn.

Φέρει δὲ κόκκον. N. B. Quare species a Linn. coccifera vocatur diversa ab Ilice? Quod ad κόκκον φοινικοῦν; Vid. Clus. Granum puniceum nigricans, l. i. c. 15. Coccus hic est Gallæ species, insecti domicilium.

Ὥσπερ ὠὸν ἐγκεκολαμμένον. Flos monophyllus Arbuti comparatur ovo, apice exciso, vacuo. N. B. Ἄφυλλος, monopetalus Bot. i. e. non petalis distinctis.

Κοκκυγρία. Vide Plin. xv. 24. "Similis Andrachnes Coccygria proprietatem habet fructum emittendi cum Pappo, quod nulli alii arbori evenit." Vid. Ic. Bod. 246.

Τυῤῥηνία. Tyrrhenia, vel Etruria.

CAP. XVI.

Κολουτέα περὶ Λιπάραν. Colutea, arborescens L. "Bladder Senna." Κολουτέας mentio fit cap. 13. ὡς δένδρον ὅλως μέγα: sed forsan legend. οὐ μέγα.

Καρπὸν ἐν λοβοῖς. Const. interpr. φυσίγγας, vesiculas inflatas.

Ἡ δὲ περὶ τὴν Ἴδην. Ambigitur an Coronilla Emerus L. vel Anagyris fœtida L. ex descriptione parum constat: quod ad verba ἔχει φύλλον δαφνοειδῆ πλατυφύλλου Δάφνης, Auctor, ut videtur, simpliciter indicat folium pinnatum, iisdem enim verbis utitur de folio Fraxini et Sambuci. Vid. cap. 10. Forsan corrigendum: πλὴν στρογγυλότερον [τοῦτο], (i. e. lobi in folio Fraxini,) καὶ μεῖζον.

Χρόαν ἐπὶ θατέρα, i. e. superiori folii pagina; ὄπισθεν inferiori.

Ταῖς ἶσι. Post hæc verba in textu Bodæi occurrunt voces ταῖς ῥίζαις: interpolatio certissima.

Τὴν κορυνώδη κάχρυν. Amentum Gaz. sed non datur in Diadelphiis: anne error in voce κάχρυς? Forsan apex rami gemmis intumescentibus indicatur.

Ἡ δὲ Συκῆ. Ambigitur quænam sit Σ. Ἰδαία: sed notandum Theophrastum hic cursim tantum et obiter de plantis montis Idæ loqui. Ἀμπελον Ἰδαῖον constat Vaccinii spec. esse ex descript. et Σ. Ἰδ. Lonicera Pyrenaica secundum Bodæum.

Ῥάμνος λευκὴ καὶ μέλαινα. Prior Hippophaæ, Rhamnoides L. posterior Rh. Catharticus L.

Ῥοῦ, τὸ μὲν ἄῤῥεν, τὸ δὲ θῆλυ. Nulla var. nec affinis species in Rhoi Coriaria L. reperitur. Rhoen eleganter describit Theophr. Bod. p. 273. Vid. Dioscor. l. i. c. 147. "Rhus Syriæ fœmina fertilis; masc. sterilis." Plin. xiii. 6. Alibi tria nominat genera, inter quæ spec. herbaceam xxiv. 11.

Φύλλον δὲ ὅμοιον Πτελέᾳ. An de lobis singulis Rhois folii pin-

nati? Suspicor legend. Τύλη, Trigonella L. Vid. obs. ad cap. xiii. ubi Τύλη apud Bod. in describendo Coluteæ folio occurrit, vice Πτελέας in margine.

CAP. XVII.

Πολυειδὴς δὲ ὁ Κιττός. Hederæ, Helicis L. var. quatuor ex Bauhino, ex quibus ὁ μέλας, Hedera arborea: de ceteris minus constat, etsi bacca alba vel albescens, λευκόκαρπος, nullibi notetur. Hedera sæpe conspicitur foliis maxime variegatis, quæ ποικίλη Theophr.

Ταύτην ὥσπερ ῥάχιν. Accuratissima desc. venarum folii Smilacis, ubi venæ concentricæ, novemnerviæ, Gouan, apud Linn. Spec. Plant. 1458.

Τὸ δ' Εὐώνυμον. Certe non Euonymus Linnæi, quæ Τετραγωνία Theophrasti. Bodæus conjicit Nerium L. indicari, vel Cneorum. Prior magis arridet, si detur var. Ner. Oleandri flore albo: quod ad semina κατὰ τετρασταιχίαν, refert ad internam collocationem seminum in pericarpio quadrilocari, non ad figuram internam pericarpii. Vid. Plin. xiii. 22.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Δ'.

CAP. I.

Quibus Locis quæque Arbores gaudeant.

Αἱ μὲν οὖν διαφοραὶ τῶν ὁμογενῶν τεθεώρηνται πρότερον· ἅπαντα δ' ἐν τοῖς οἰκείοις τόποις καλλίω γίνεται, καὶ μᾶλλον εὐθενεῖ. καὶ πρὸς τοῖς ἀγρίοις εἰσὶν ἑκάστοις οἰκεῖοι [τόποι], καθάπερ τοῖς ἡμέροις, τὰ μὲν γὰρ φιλεῖ τοὺς ἐφύδρους καὶ ἑλώδεις, οἷον Αἴγειρος, Λεύκη, Ἰτέα, καὶ ὅλως τὰ παρὰ τοὺς ποταμοὺς φυόμενα· τὰ δὲ τοὺς [a]*εὐσκεπεῖς καὶ εὐηλίους, τὰ δὲ μᾶλλον τοὺς παλισκίους. Πεύκη μὲν γὰρ ἐν τοῖς προσηλίοις καλλίστη καὶ μεγίστη φύεται, ἐν δὲ τοῖς παλισκίοις [b]οὐ καλῶς φύεται, Ἐλάτη δὲ ἀνάπαλιν, ἐν τοῖς παλισκίοις καλλίστη, τοῖς δ' εὐηλίοις οὐχ ὁμοίως. ἐν Ἀρκαδίᾳ γοῦν περὶ τὴν Κράνην καλουμένην, τόπος ἐστί τις κοῖλος καὶ ἄπνους, εἰς ὃν οὐδέποθ' ὅλως ἥλιον ἐμβάλλειν φασὶν, ἐν τούτῳ δὲ πολὺ *διαφέρουσιν αἱ Ἐλάται, καὶ τῷ μήκει,

[a] ἀσκιπεῖς Theod. [b] ὅλως οὐ φύεται, Bod. οὐ καλὴ φύεται, Const.

καὶ τῷ πάχει, οὐ μὴν ὁμοίως γε πυκναὶ, οὐδ' ὡραῖαι, ἀλλ' [c] ἥκιστα, (καθάπερ καὶ αἱ Πεῦκαι,) αἱ ἐν τοῖς παλισκίοις· διὸ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων, οἷον θυρώματα, καὶ εἴτι ἄλλο σπουδαῖον, οὐ χρῶνται τούτοις, ἀλλὰ πρὸς τὰς ναυπηγίας μᾶλλον, καὶ τὰς οἰκοδομίας· καὶ γὰρ δοκεῖ ὅτι κάλλιστα καὶ * τανεῖα καὶ * κέραια, αἱ ἐκ τούτων· ἔτι δὲ ἰσοὶ τῷ μήκει διαφέροντες, ἀλλ' οὐχ ὁμοίως ἰσχυροὶ τοῖς ἐκ τῶν προσηλίων, ἀλλὰ ἅμα τῇ βραχύτητι πυκνότεροί τε ἐκείνων καὶ ἰσχυρότεροι γίνονται. χαίρει δὲ σφόδρα, καὶ ἡ [d] Μίλος τοῖς παλισκίοις, καὶ ἡ Πάδος, καὶ Θραύπαλος. περὶ δὲ τὰς κορυφὰς τῶν ὀρέων, καὶ τοὺς ψυχροὺς τόπους, [e] Θυΐα μὲν φύεται εἰς ὕψος, Ἐλάτη, δὲ καὶ Ἄρκευθος φύεται μὲν, οὐκ εἰς ὕψος δὲ, καθάπερ καὶ περὶ τὴν ἄκραν, Κυλλήνην. φύεται δὲ καὶ ἡ Κήλαστρος ἐπὶ τῶν ἄκρων καὶ χειμεριωτάτων. ταῦτα μὲν οὖν ἄν τις θείη φιλόψυχρα, τὰ δ' ἄλλα πάντα, ὡς εἰπεῖν, μᾶλλον χαίρει τοῖς προσηλίοις· οὐ μὴν ἀλλὰ, καὶ τοῦτο συμβαίνει κατὰ τὴν χώραν οἰκεῖαν ἑκάστῳ τῶν δένδρων. ἐν Κρήτῃ γῆν φασὶν, ἐν τοῖς Ἰδαίοις ὄρεσι, καὶ ἐν τοῖς Λευκοῖς καλουμένοις, ἐπὶ τῶν ἄκρων, οὗπερ οὐδέποτε ἐπιλείπει χιὼν, Κυπάριττον εἶναι· πλεῖστον γὰρ [f] ταύτης τῆς ὕλης ἐν τῇ νήσῳ, καὶ ἐν τοῖς ὄρεσιν. ἔστι δὲ, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, τὰ μὲν, ὀρεινὰ, τὰ δὲ, πεδινὰ μᾶλλον· ἀναλογίᾳ δὲ καὶ ἐν αὐτοῖς ὄρεσι, τὰ μὲν ἐν τοῖς ὑποκάτω, τὰ δὲ, περὶ τὰς κορυφάς· [g] ὥστε καὶ καλλίω γίνεται καὶ

[c] μήκιστα, Const. [d] Μίλητος Bod. [e] Θεία Bod. Θύα Bas. [f] ταύτης τῆς ὅλης καὶ ὕλης Bod. [g] ὥστε καλλίω γίνεται Bod.

εὐθενεῖ· πανταχοῦ δὲ, καὶ πάσης τῆς ὕλης, [h] τὰ πρὸς βορρᾶν φέρει ξύλα πυκνότερα καὶ ἁπλῶς καλλίω. καὶ ὅλως δὲ πλείω ἐν τοῖς προσβορείοις φύεται· αὐξάνεται δὲ καὶ ἐπιδίδωσι τὰ πυκνὰ μὲν ὄντα, μᾶλλον εἰς μῆκος, διὸ καὶ ἄοζα, καὶ εὐθέα, καὶ ὀρθοφυῆ γίνεται, (καὶ κωπεῶνες ἐκ τούτων κάλλιστοι.) [i] μᾶλλον δὲ εἰς βάθος πάχεα εἰσί· τὰ δ' ἀραιὰ σκολιώτερα καὶ ὀζωδέστερα, καὶ τὸ ὅλον στερεώτερα καὶ πυκνότερα φύεται. σχεδὸν δὲ τὰς αὐτὰς ἔχει διαφορὰς τούτοις, καὶ [k] τὰ ἐν τοῖς παλισκίοις, καὶ ἐν τοῖς εὐηλίοις, καὶ ἐν τοῖς εὐπνόοις· ὀζωδέστερα γὰρ καὶ βραχύτερα καὶ ἧττον εὐθέα τὰ ἐν τοῖς εὐηλίοις ἢ τοῖς προσηνέμοις. ὅτι δὲ ἕκαστον ζητεῖ καὶ χώραν οἰκείαν καὶ κράσιν ἀέρος, φανερὸν, τῷ τὰ μὲν φέρειν ἐνίους τόπους, τὰ δὲ μὴ φέρειν, μήτε αὐτὰ γινόμενα, μήτε φυτευόμενα, ῥαδίως, ἐὰν δὲ καί [l] *τι ἀντιλάβηται, μὴ καρποφορεῖν, ὥσπερ ἐπὶ τοῦ Φοίνικος ἐλέχθη, καὶ τῆς Αἰγυπτίας Συκαμίνου, καὶ ἄλλων. εἰσὶ γὰρ πλείω, καὶ ἐν πλείοσι χώραις, (τὰ μὲν, [m] ὅμως φυτευόμενα,) ἀναυξῆ δὲ καὶ ἄκαρπα, καὶ τὸ ὅλον φαῦλα. περὶ ἂν ἴσως λεκτέον, ἐφ' ὅσον ἔχομεν ἱστορίας.

CAP. II.

Ficus Sycomorus, et Cypria. Ceratonia, siliqua? Persea? Guilandina, Bonduc. Cycas, circinalis.

ΕΝ Αἰγύπτῳ [n] δ' ἔστιν δένδρα πλείω· ἥ, τε Συκάμινος, καὶ ἡ Περσέα καλουμένη, καὶ ἡ Βάλανος, καὶ ἡ

[h] τὰ πρὸς βορρᾶν τὰ ξύλα πυκνότερα καὶ καλλίω φέρει, καὶ ἁπλῶς καλλίω. Bod. [i] μᾶλλον δὲ εἰς βάθος καὶ πάχος ἀραιά. Bod. τὰ ἀραία. Scal. Vid. not. ad fin. libri. [k] τὰ deest Bod. [l] τὶ deest Bod, [m] ὅλως Const. [n] γάρ ἐστιν ἔνια δένδρα Bod.

Ἄκανθος, καὶ ἕτερ' ἄτλα. ἔστι δὲ ἡ μὲν Συκάμινος παραπλησία πως τῇ ἐνταῦθα Συκαμίνῳ. καὶ γὰρ τὸ φύλλον [o] ὅμοιον ἔχει, κατὰ τὸ μέγεθος, καὶ τὴν ὅλην προσοψιν, τὸν δὲ καρπὸν ἰδίως φέρει παρὰ τὰ ἄλλα, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐξ ἀρχῆς, οὐ γὰρ ἀπὸ τῶν βλαστῶν, οὐδ' ἀπὸ τῶν ἀκρεμόνων, ἀλλ' ἐκ τοῦ στελέχους. μέγεθος μὲν, ἡλίκον σῦκον, καὶ τῇ ὄψει δὲ παραπλήσιον, τῷ χυλῷ δὲ καὶ τῇ γλυκύτητι τοῖς ὀλύνθοις, πλὴν γλυκύτερον πολὺ, καὶ κεχραμίδας ὅλως οὐκ ἔχοντα· πλήθει δὲ πολὺν ἀλλ' οὐ πέτλειν δύναται, ἂν μὴ [p] *ἐπικνισθῇ, ἀλλ' ἔχοντες ὄνυχας σιδηρᾶς, ἐπικνίζουσιν. ἃ δ' ἂν ἐπικνισθῇ, τεταρταῖα πέττεται, τούτων δ' ἀφαιρεθέντων, πάλιν ἄλλα φύεται, καὶ ἐκ τοῦ αὐτοῦ τόπου, μηδὲν παραλλάσσοντα. καὶ τοῦθ' οἱ μὲν, τρὶς, οἱ δὲ πλεονάκις φασὶ γίνεσθαι. πολύοπον δὲ τὸ δένδρον σφόδρα ἐστὶ, καὶ τὸ ξύλον αὐτῆς, εἰς πολλὰ χρήσιμον· ἴδιον δὲ ἔχειν δοκεῖ, παρὰ τὰ ἄλλα, τμηθὲν γὰρ ἔτι χλωρὸν, εὐθὺς καταβαίνει τε εἰς βυθόν· εἰς βόθυνον δὲ ἐμβάλλουσι, καὶ εἰς τὰς λίμνας εὐθὺς, καὶ ταριχεύουσι· βρεχόμενον δ' ἐν τῷ βυθῷ ξηραίνεται, καὶ ὅταν τελέως ξηρὸν γένηται, τότε ἀναφέρεται, καὶ *ἐπινεῖ, καὶ δοκεῖ καλῶς τότε ταριχεῦσθαι, γίνεται γὰρ κοῦφον καὶ μανόν· ἡ μὲν οὖν Συκάμινος ἔχει ταύτας τὰς ἰδιότητας. ἔοικε δὲ παραπλησία τις ἡ φύσις εἶναι καὶ τῆς ἐν Κρήτῃ καλουμένης Κυπρίας Συκῆς. καὶ γὰρ ἐκείνη φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους, καὶ ἐκ τῶν παχυτάτων ἀκρεμόνων, πλὴν ὅτι βλαστόν τινα ἀφίησι μικρὸν, ἄφυλλον, ὥσπερ *ῥιζίον, πρὸς ᾧ ὁ καρπός. τὸ δὲ στέλεχος μέγα καὶ παρόμοιον τῇ

o ὅμοιον deest Bod. p ἐπικνισθῇ καὶ ἐπαλειφθῇ, ἀλλ' Const. Vide Lib. de Caus. Plant. i. 21.

Συκῇ· φύλλον δὲ τῇ Πτελέᾳ· πεπαίνει δὲ τέτταρας καρπούς, [q] ὅσαι ὑπὲρ αὐτῆς αἱ βλαστήσεις, οὐδένα δὴ πεπαίνει, μὴ [r] ἐπικνισθέντος τοῦ ἐρινοῦ, καὶ ἐκρύεντος τοῦ ὀποῦ. ἡ δὲ γλυκύτης, προσεμφερὴς τῷ σύκῳ, καὶ ἔσωθεν τοῖς ἐρινοῖς. μέγεθος ἡλίκον [s] * κοκκύμηλον. ταύτῃ δὲ παραπλησία καὶ ἣν οἱ Ἴωνες Κερωνίαν καλοῦσιν, ἐκ στελέχους γὰρ καὶ αὐτὴ φέρει τὸν πλεῖστον καρπὸν, ἀπὸ δὲ τῶν ἀκρεμόνων, ὥσπερ εἴπομεν, ὀλίγον· ὁ δὲ καρπὸς ἔλλοβος, ὃν καλοῦσί τινες Αἰγύπλιον σῦκον, διημαρτηκότες, οὐ γίνεται γὰρ ὅλως περὶ Αἴγυπτον, ἀλλὰ περὶ Συρίαν, καὶ ἐν Ἰωνίᾳ δὲ, περὶ Κνίδον καὶ Ῥόδον. ἀείφυλλον δὲ, καὶ ἄνθος λευκὸν ἔχον, ([t] καὶ δ' ἔστι βαρύτατον,) μὴ μετεωρίζον σφόδρα, καὶ ὅλως ἐκ τῶν κάτω παραβλαστικὸν, ἄνωθεν δὲ ὑποξηραινόμενον· ἔχει δὲ ἅμα καὶ τὸν ἔνον καὶ τὸν νέον [u] καρπὸν, ἀφαιρουμένου γὰρ θατέρου μετὰ κύνα, καὶ ὁ ἕτερος εὐθὺς φανερὸς κυούμενος, (κύει γὰρ ὥσπερ βότρυς, [x] ὁμοσχήμων,) εἶτ' αὐξηθεὶς ἀνθεῖ περὶ ἀρκτοῦρον καὶ ἰσημερίαν, ἀπὸ τούτου δὴ διαμένει τὸν χειμῶνα μέχρι κυνός. ἡ μὲν οὖν ὁμοιότης ἐστὶν, ὅτι στελεχόκαρπα καὶ ταῦτα, διαφορὰ δ' αἱ εἰρημέναι πρὸς τὴν Συκάμινον. ἐν Αἰγύπτῳ δ' ἐστὶν ἕτερον, Περσέα καλούμενον, τῇ μὲν προσόψει μέγα καὶ καλὸν, παραπλήσιον δὲ μάλιστα τῇ Ἀπίῳ, καὶ φύλλοις, καὶ ἄνθεσι, καὶ ἀκρέμοσι, καὶ τῷ ὅλῳ σχήματι· πλὴν τὸ μὲν, ἀείφυλλον, τὸ δὲ φυλλοβόλον, καρπὸν δὲ φέρει πολὺν, καὶ κατὰ πᾶσαν ὥραν πεπαίνει, περικαταλαμ-

[q] ὅσα ὑπὲρ αὐτοῦ Bod. [r] ἐπιτμηθέντος Bod. [s] Οὔης μῆλον. Const. [t] καὶ ἔτι βαρύτατον, μὴ μετεωρίζον δὲ σφόδρα, Ald. [u] Vid. not. ad finem libri. [x] ὁμοιοσχήμων, Const.

βάνει γὰρ ὁ νέος ἀεὶ τὸν ἔνον, πέττει δὲ ὑπὸ τοὺς ἐτησίας, τὸν δὲ ἄλλον ὠμότερον ἀφαιροῦσι καὶ *ἀποτιθέασι· ἔστι δὲ μέγεθος ἡλίκον [x] ἄπιον, τῷ σχήματι δὲ πρόμακρος, ἀμυγδαλώδης, χρῶμα δὲ αὐτοῦ ποῶδες· ἔχει δὲ ἐντὸς κάρυον ὥσπερ τὸ κοκκύμηλον, πλὴν ἔλαττον πολὺ καὶ μαλακώτερον, τὴν δὲ σάρκα γλυκεῖαν σφόδρα καὶ ἡδεῖαν καὶ εὔπεπτον· (οὐδὲν γὰρ *ἐνοχλεῖ, πολὺ, [y] *προσενεγκάμενον.) εὔριζον δὲ τὸ δένδρον, καὶ μήκει, καὶ πάχει καὶ [z] πλήθει πόλλῳ [τῶν ῥίζων]. ἔχει δὲ καὶ ξύλον ἰσχυρὸν καὶ καλὸν, τῇ ὄψει μέλαν, ὥσπερ ὁ Λωτὸς, ἐξ οὗ καὶ τὰ ἀγάλματα, καὶ τὰ *κλινίδια, καὶ *τραπέζια, καὶ τὰ ἄλλα τὰ τοιαῦτα ποιοῦσιν. ἡ δὲ Βάλανος ἔχει μὲν τὴν προσηγορίαν ἀπὸ τοῦ καρποῦ· φύλλον δὲ αὐτῆς παραπλήσιον τῷ τῆς Μυῤῥίνης, πλὴν προμηκέστερον. ἔστι δὲ τὸ δένδρον ἄσαπες μὲν, καὶ εὐμέγεθες, οὐκ εὐφυὲς δὲ, ἀλλὰ παρεστραμμένον· τοῦ καρποῦ δὲ τοῖς κελύφεσι χρῶνται οἱ μυρεψοὶ, κόπτοντες· (εὐῶδες γάρ τι ἔχει.) [a] ὁ δὲ καρπὸς αὐτοῦ ἀχρεῖος. ἔστι δὲ καὶ τῷ μεγέθει καὶ τῇ ὄψει παραπλήσιον τῷ τῆς Καππάριος· ξύλον δὲ ἰσχυρὸν, καὶ εἰς ἄλλα τε χρήσιμον, καὶ εἰς τὰς ναυπηγίας. τὸ δὲ καλούμενον Κουκιόφορον, ἐστὶν ὅμοιον τῷ Φοίνικι· τὴν δὲ ὁμοιότητα κατὰ τὸ στέλεχος ἔχει καὶ τὰ φύλλα· διαφέρει δὲ, ὅτι ὁ μὲν Φοίνιξ μονοφυὲς, καὶ ἁπλοῦν ἐστὶ, τοῦτο δὲ προσαυξηθὲν σχίζεται καὶ γίνεται [b] *δίκρουν· εἶτα πάλιν τούτων ἑκάτερον ὁμοίως· ἔτι δὲ τὰς ῥάβδας βραχείας ἔχει καὶ οὐ πολλάς. χρῶνται δὲ τῷ φλοιῷ, καθάπερ τῷ τοῦ Φοί-

x ἄπιος, Bod. y προσενεγκαμένων. Bod. z πλήθει πολὺ, ἔχει Bod. a τὸν δὲ καρπὸν αὐτοῦ Bod. b ἄκρον· Bod.

νικος φύλλῳ, πρὸς τὰ *πλέγματα. καρπὸν δὲ ἴδιον ἔχει πολὺ διαφέροντα καὶ μεγέθει, καὶ χήματι, καὶ χυλῷ· μέγεθος μὲν γὰρ ἔχει σχεδὸν *χειροπληθὲς, στρογγύλον δὲ καὶ οὐ προμῆκες, χρῶμα δὲ ἐπίξανθον· χυλὸν δὲ γλυκὺν καὶ εὔστομον, οὐκ ἀθρόον δὲ ὥσπερ ὁ Φοίνιξ, ἀλλὰ κεχωρισμένον καθ' ἕνα· πυρῆνα δὲ μέγαν καὶ σφόδρα σκληρὸν, ἐξ οὗ τοὺς *κρίκους τορνεύουσι τοὺς εἰς τοὺς στρωματεῖς τοὺς διαποικίλους· διαφέρει δὲ πολὺ τὸ ξύλον τοῦ Φοίνικος· τὸ μὲν γὰρ μανὸν καὶ ἰνῶδες καὶ χλωρὸν, τὸ δὲ, πυκνὸν, καὶ βαρὺ, καὶ σαρκῶδες· καὶ διατμηθὲν, οὐλὸν σφόδρα καὶ σκληρόν ἐστιν. καὶ οἵγε δὴ Πέρσαι πάνυ ἐτίμων αὐτὸ, καὶ ἐκ τούτου τῶν κλινῶν ἐποιοῦντο τοὺς πόδας.

CAP. III.

Mimosa, Nilotica, L. Cordia Myxa. Mimosa, sensitiva, &c.

Ἡ δὲ Ἄκανθος καλεῖται μὲν, διὰ τὸ ἀκανθῶδες ὅλον τὸ δένδρον εἶναι, πλὴν τοῦ στελέχους· καὶ γὰρ ἐπὶ τῶν βλαστῶν καὶ ἐπὶ τῶν φύλλων ἔχει· μεγέθει δὲ μέγα, καὶ γὰρ δωδεκάπηχυς ἐξ [c] αὐτῆς *ἐρέψιμος ὕλη τέμνεται· διττὸν δὲ τὸ γένος αὐτῆς, ἡ μὲν γάρ ἐστι λευκὴ, ἡ δὲ μέλαινα· καὶ ἡ μὲν ἀσθενής τε καὶ εὔσηπτος, ἡ δὲ μέλαινα, ἰσχυροτέρα τε καὶ ἄσηπτος· διὸ καὶ ἐν ταῖς ναυπηγίαις χρῶνται πρὸς τὰ *ἐγκοίλια αὐτῇ· τὸ δένδρον δὲ οὐκ ἄγαν ὀρθοφυὲς, ὁ δὲ καρπὸς ἔλλοβος, καθάπερ τῶν χεδροπῶν, ᾧ χρῶνται οἱ ἐγχώριοι πρὸς τὰ δέρματα ἀντὶ [d] κικίδος· τὸ δ' ἄνθος καὶ τῇ ὄψει καλὸν, ὥστε καὶ στεφάνους ποιεῖν ἐξ αὐτοῦ. καὶ φαρμακώδες ἐστὶ, διὸ

[c] αὐτῶν Bod. [d] κήκιδος· Const.

καὶ συλλέγουσιν οἱ ἰατροί· γίνεται δὲ ἐκ ταύτης καὶ τὸ κόμμι· καὶ ῥέει, καὶ πληγείσης, καὶ αὐτόματον ἄνευ χάσεως· ὅταν δὲ [e]κοπῇ, μετὰ τρίτον ἔτος εὐθὺς ἀναβεβλάστηκε. πολὺ δὲ τὸ δένδρον ἐστὶ, καὶ δρυμὸς μέγας περὶ τὸν Θηβαϊκὸν νόμον, οὗπερ καὶ Δρῦς, καὶ ἡ Περσέα [f]πλείστη, καὶ ἡ Ἐλαία· καὶ γὰρ ἡ Ἐλαία περὶ τοῦτον τὸν τόπον ἐστὶ, τῷ ποταμῷ μὲν οὐκ ἀρδευομένη. (πλείω γὰρ ἢ τριακόσια στάδια ἀπέχει·) [g]*ναματιαίοις δ' ὕδασιν, εἰσὶ γὰρ κρῆναι πολλαί. τὸ δὲ ἔλαιον οὐδὲν χεῖρον τοῦ ἐνθάδε, πλὴν κακωδέστερον, διὰ τὸ σπανίως τοῖς ἁλσὶ χρῆσθαι τῇ φύσει· τὸ δὲ ξύλον τοῦ δένδρου καὶ σκληρὸν καὶ παραπλήσιον, τεμνόμενον, τὴν χρόαν τῷ λωτίνῳ. ἄλλο δέ τι δένδρον ἡ Κοκκυμηλέα, μέγα μὲν τῷ μεγέθει, [h]καὶ τὴν φύσιν τοῦ καρποῦ ὅμοιον τοῖς μεσπίλοις, καὶ τὸ μέγεθος παραπλήσιον, πλὴν ἔχον τὸν πυρῆνα στρογγύλον, ἄρχεται δὲ ἀνθεῖν μηνὸς πυανεψιῶνος, τὸν δὲ καρπὸν πεπαίνει περὶ ἡλίου τροπὰς χειμερινάς· [i]ἀείφυλλον δέ ἐστιν· οἱ δὲ περὶ τὴν Θηβαΐδα κατοικοῦντες, διὰ τὴν ἀφθονίαν τοῦ δένδρου ξηραίνουσι τὸν καρπόν. καὶ τὸν πυρῆνα ἐξαιροῦντες, κόπτουσι καὶ ποιοῦσι *παλάθας. [k]ὕλημα δὲ ἴδιόν τι φύεται περὶ Μέμφιν, ὃ καὶ φύλλα καὶ βλαστοὺς καὶ τὴν ὅλην μορφὴν ἔχει [l]οὐ κατ' αὐτὸ ἴδιον, ἀλλ' εἰς τὸ συμβαῖνον περὶ αὐτὸ πάθος, ἡ μὲν γὰρ πρόσοψις ἀκανθώδης ἐστὶν αὐτοῦ καὶ τὸ φύλλον παρόμοιον ταῖς [m]Πτέρισιν, ὅταν δέ τις ἅψηται τῶν κλωνίων, ὥσπερ [n]ἀφαυαινόμενα τὰ φύλλα

[e] ἰκοπῇ, Const. [f] πλίκτη, Ald. [g] ματιαίοις Ald. [h] κατὰ τὴν φύσιν φέρει τὸν καρπὸν ὅμοιον Ald. [i] ἀφυλλον Ald. [k] οἴδημα Ald. [l] οὐ τὸ ἴδιον, Bod. οὐ τῶν ἰδίων, Const. [m] πτέρυξιν, Bod. [n] ἀφαυλινόμενα Theod.

συμπίπτειν φασὶν, εἶτα μετά τινα χρόνον ἀναβιώσκεσθαι πάλιν καὶ θάλλειν. καὶ τὰ μὲν ἴδια τῆς χώρας, [o] ὅσα ἂν ἢ δένδρά τις, ἢ θάμνος εἴποι. τὰ γὰρ ἐπιφανέστερα ταῦτ' ἔστι· περὶ γὰρ τῶν ἐν τῷ ποταμῷ, καὶ τοῖς ἕλεσιν ὕστερον ἐροῦμεν, ὅταν καὶ περὶ τῶν ἄλλων τῶν ἐνύδρων· ἅπαντα δὲ ἐν τῇ χώρᾳ τὰ δένδρα τὰ τοιαῦτα μεγάλα, καὶ τοῖς μήκεσι καὶ τοῖς πάχεσιν. ἐν γοῦν Μέμφιδι τηλικοῦτον δένδρον εἶναι λέγεται τὸ πάχος, ὃ τρεῖς ἄνδρες οὐ δύνανται περιλαμβάνειν· ἔστι δὲ καὶ τμηθὲν τὸ ξύλον καλὸν, πυκνόν τε γὰρ σφόδρα καὶ τῷ χρώματι λωτοειδές. ἐν Λιβύῃ δὲ ὁ Λωτὸς πλεῖστος καὶ κάλλιστος, καὶ ὁ Παλίουρος· καὶ ἔν τισι μέρεσι, τῇ τε Νασαμωνικῇ, καὶ παρ' Ἄμμωνι καὶ [p] ἐν ἄλλοις, ὁ Φοίνιξ· ἐν δὲ τῇ Κυρηναίᾳ Κυπάρισσος, Ἐλαίαι τε κάλλισται, καὶ ἔλαιον πλεῖστον· ἰδιώτατον δὲ πάντων τὸ Σίλφιον, ἐπεὶ καὶ ὀπὸν πολλὴν ἡ χώρα φέρει καὶ εὔοσμον.

CAP. IV.

Celtis, australis, et Loti affinis Planta. Palmæ in Africa, &c. Citrus, Aurantium, sylvestri statu, &c. &c.

ΕΣΤΙ δὲ τοῦ Λωτοῦ μὲν ἴδιον γένος εὐμέγεθες, ἡλίκον Ἄπιος, ἢ μικρὸν ἔλαττον, φύλλον δὲ, *ἐντομὰς ἔχον καὶ [q] *πριονῶδες, καὶ τὸ μὲν ξύλον, μέλαν· γένη δὲ αὐτοῦ πλείω, διαφορὰς ἔχοντα τοῖς καρποῖς· ὁ δὲ καρπὸς ἡλίκος *κύαμος, πεπαίνεται δὲ, ὥσπερ οἱ βότρυες, μεταβάλλων τὰς χροιάς· φύεται δὲ καθάπερ τὰ μύρτα, παράλληλα, πυκνῶς ἐπὶ τῶν βλαστῶν· ἐσθιόμενος δὲ

[o] ἴσ' ἂν ἢ Ger. ὡσανὶ Const. [p] ἐν deest Bod. [q] περιωδὲς, Bod.

ἐν τοῖς λωτοφάγοις καλουμένοις, γλυκὺς, ἡδὺς, καὶ ἀσινὴς, καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθός. ἡδίων δὲ [r] ὁ ἀπύρηνος· (ἔστι γὰρ καὶ τοιοῦτον γένος,) ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτῶν. πολὺ δὲ τὸ δένδρον, καὶ πολύκαρπον· τὸ οὖν Ὀφέλλου στρατόπεδον, ἡνίκα ἐβάδιζεν εἰς Καρχηδόνα, καὶ τούτῳ φασὶ πλείους ἡμέρας, ἀπολειπόντων τῶν ἐπιτηδείων, κεχρῆσθαι. ἔστι μὲν οὖν ἐν τῇ νήσῳ τῆς Λωτοφαγίας, Φάριδι καλουμένῃ, πολὺς, αὐτὴ δὲ ἀπόκειται [s] μικρὸν [ἀπὸ γῆς]· οὐ μὲν ἐνταῦθα μόνον, ἀλλὰ πολλῷ πλείων ἐν τῇ ἠπείρῳ· πλεῖστον γὰρ ὅλως ἐν τῇ Λιβύῃ, καθάπερ εἴρηται. [t] πλησίον τούτου καὶ ὁ Παλίουρός ἐστιν, ἐν γὰρ *Ἑσπερίσι τούτοις εἰς καῦσιν χρῶνται. διαφέρει δὲ οὗτος ὁ Λωτὸς τοῦ παρὰ τοῖς λωτοφάγοις· ὁ δὲ Παλίουρος θαμνωδέστερος τοῦ Λωτοῦ, φύλλον δὲ παρόμοιον ἔχει τῷ ἐνταῦθα, τὸν δὲ καρπὸν διάφορον, οὐ γὰρ πλατὺν, ἀλλὰ στρογγύλον, καὶ ἐρυθρὸν, μέγεθος δὲ ἡλίκον τῷ τῆς Κέδρου ἢ μικρῷ μεῖζον· πυρῆνα δὲ ἔχει οὐ συνεσθιόμενον, καθάπερ αἱ τῆς Ῥοιᾶς, ἡδὺν δὲ τὸν καρπόν. καὶ ἐάν τις οἶνον ἐπιχέῃ, καὶ αὐτὸν ἡδίω γίνεσθαί φασι, καὶ τὸν οἶνον ἡδίω ποιεῖν. ἔνιοι δὲ τὸ τοῦ Λωτοῦ δένδρον θαμνῶδες εἶναι φασὶ καὶ πολύκλαδον, τῷ στελέχει δὲ εὔπαχες, τὸν δὲ καρπὸν [u] μετὰ τοῦ καρύου ἔχειν, τὰ δὲ ἐκτὸς οὐ σαρκῶδες, ἀλλὰ δερματωδέστερον· ἐσθιόμενον δὲ, οὐχ οὕτω γλυκὺ, ὡς εὔστομον, καὶ τὸν οἶνον, ὃν ἐξ αὐτοῦ ποιοῦσιν, οὐ διαμένειν, ἀλλ' ἢ δύο ἢ τρεῖς ἡμέρας, εἶτ' ὀξύνειν. ἡδίω μὲν οὖν τὸν καρπὸν, ἐν τοῖς λωτοφάγοις, ξύλον δὲ κάλλιστον τὸ ἐν Κυρηναίᾳ· θερμοτέραν δὲ εἶναι τὴν χώραν τῶν λωτοφάγων· τοῦ δὲ

[r] ὁ πύρινος· Const. [s] καὶ ἀπέχει μικρὸν Bod. [t] τοῦτο καὶ Bod. [u] μέγα Const.

ξύλου τὴν ῥίζαν εἶναι μελαντέραν μὲν πολὺ, πυκνὴν δὲ ἧττον, καὶ εἰς ἐλάττω χρησίμην· εἰς γὰρ τὰ ἐγχειρίδια καὶ τὰ ἐπικολλήματα χρῆσθαι· τῷ ξύλῳ δὲ εἴς τε τοὺς [x] αὐλοὺς καὶ εἰς ἄλλα πλείω. ἐν δὲ τῇ μὴ ὑομένῃ τῆς Λιβύης, ἄλλά τε πλείω φύεσθαι [φασὶν], καὶ Φοίνικας μεγάλους καὶ καλούς· οὐ μὴν ἀλλ' ὅπου μὲν Φοίνιξ, ἁλμυρίδα τε εἶναι καὶ ἔφυδρον τὸν τόπον, οὐδὲ ἐν πολλῷ βάθει σφόδρα, ἔνθαδε ἡδέων καὶ [y] ἁλικῶν [ὑδάτων] πλησίων ὄντων ἀλλήλοις· ὅπου τε τὰ ἄλλα φύεται, καὶ ξηρὸν καὶ ἄνυδρον· ἐνιαχοῦ δὲ καὶ τὰ φρέατα [φασὶν] εἶναι ἑκατὸν ὀργυῶν, ὥστε ὑποζυγίοις ἀπὸ *τροχηλιᾶς *ἀνιμᾶν, διὸ καὶ θαυμαστὸν, πῶς ποτὲ ὠρύχθη τηλικαῦτα βάθη. [z] ταὐτὸ δ' οὖν τῶν ὑδάτων, τῶν ὑπὸ τοὺς Φοίνικας καὶ ἐν Ἄμμωνος φασὶν εἶναι, διαφορὰν δὲ ἔχειν τὴν εἰρημένην. φύεσθαι δὲ ἐν τῇ μὴ ὑομένῃ τῆς Λιβύας τὸ [a] Θύμον πολὺ, καὶ ἄλλα ἴδιά τε καὶ πλείω γίνεσθαι· ἐνταῦθα καὶ Πτῶκα, καὶ Δορκάδα, καὶ Στρουθὸν, καὶ ἕτερα τῶν θηρίων· ἀλλὰ ταῦτα μὲν ἄδηλον, εἰ *ἐκτοπίζει που πιόμενα, διὰ γὰρ τὸ τάχος δύναται καὶ ταχὺ παραγίνεσθαι· ἄλλωστε καὶ εἰ δι' ἡμερῶν τινῶν πίνουσι, καὶ καθάπερ καὶ τὰ ἥμερα, παρὰ τρίτην ἢ τετάρτην [b] ποτίζεται· τινὰ δὲ τῶν ζώων, οἷον Ὄφεων, Σαυρῶν, καὶ τῶν τοιούτων, φανερὸν ὅτι ἄποτα. τοὺς δὲ Λίβυας λέγειν, ὅτι τὸν Ὄνον ἐθίειν ταῦτα· (ὃς καὶ παρ' ἡμῖν γίνεται, πολύπουν τι καὶ μέλαν, [c] συσπειρόμενον εἰς ἑαυτό·) τῶτον δὲ πολὺν γίνεσθαι σφόδρα, καὶ ὑγρὸν τὴν φύσιν εἶναι· δρόσον δὲ ἀεὶ ἐν τῇ μὴ ὑομένῃ πολλὴν, ὥστε

[x] αὐτοὺς Ald. [y] ἁλικὸν ὄντα ἀλλήλοις, Const. [z] τὸ δ' οὖν Bod. Vid. not. ad fin. libri. [a] θάμνον Bas. [b] ποτίζεται ταῦτα Ald. [c] συσφαιρόμενος Scal.

δῆλον ὅτι τὸν μὲν Φοίνικα, (καὶ εἴτι ἄλλο φύεται ἐν ἀνύδροις) τό τε ἐκ τῆς γῆς ἀνιὸν [ὕδωρ] ἐκτρέφει, καὶ πρὸς τοῦτο ἡ δρόσος, ἱκανὴ γὰρ ὡς κατὰ μεγέθη, καὶ τὴν φύσιν αὐτῶν, ξηρὰν οὖσαν, ἐκ τοιούτων συνεστηκυῖαν. [d] καὶ δένδρα μὲν οὖν ἐκεῖ πλεῖστα καὶ ἰδιώτατα, περὶ δὲ τοῦ Σιλφίου λεκτέον ὕστερον, ποιόν τι τὴν φύσιν. ἐν δὲ τῇ Ἀσίᾳ παρ' ἑκάστοις ἴδι' ἄτλα τυγχάνει· τὰ μὲν γὰρ φέρουσιν αἱ χῶραι, τὰ δ' οὐ φύουσιν. οἷον Κιττὸν καὶ Ἐλάτην οὔ φασιν εἶναι τῆς Ἀσίας ἐν τοῖς ἄνω τῆς Συρίας, ἀπὸ θαλάττης πένθ' ἡμερῶν, ἀλλὰ ἐν Ἰνδοῖς φανῆναι, ἐν τῷ ὄρει τῷ Μηρῷ καλουμένῳ, (ὅθεν δὴ καὶ τὸν Διόνυσον εἶναι μυθολογοῦσι, διὸ καὶ ὁ Ἀλέξανδρος ἐξ Ἰνδίας ποτὲ ἀπιὼν ἐστεφανωμένος [e] Κίττῳ ἤϊε, καὶ αὐτὸς καὶ ἡ στρατία,) τῶν δὲ ἄλλων [ὀρέων] ἐν Μηδίᾳ μόνον, περικλίειν γὰρ αὐτὴν δοκεῖ, καὶ συνάπτειν πῶς τῷ Πόντῳ· καὶ τοίγε διεφιλοτιμήθη Ἅρπαλος ἐν τοῖς παραδείσοις τοῖς περὶ Βαβυλῶνα, φυτεύων πολλάκις καὶ πραγματευόμενος, ἀλλ' οὐδὲν ἐποίει πλέον, οὐ γὰρ ἐδύνατο ζῆν, ὥσπερ τ' [f] ἄλλα τὰ ἐκ τῆς Ἑλλάδος· τοῦτο μὲν οὖν ὁ δέχεται ἡ χώρα διὰ τὴν τοῦ ἀέρος κρᾶσιν, * ἀναγκαίως δὲ δέχεται καὶ Πύξον καὶ Φιλύραν· καὶ γὰρ περὶ ταῦτα πονοῦσιν οἱ ἐν τοῖς παραδείσοις. ἕτερα δὲ ἴδια φέρει, καὶ δένδρα καὶ ὑλήματα, καὶ ἔοικεν [g] ὅλος ὁ τόπος, ὁ πρὸς ἀνατολὰς, καὶ μεσημβρίαν, ὥσπερ καὶ ζῶα, καὶ φυτὰ φέρειν ἴδια παρὰ τοὺς ἄλλους· οἷον ἥ, τε Μηδία χώρα καὶ ἡ Περσὶς, ἄλλα τε ἔχει πλείω, καὶ τὸ Μῆλον τὸ Μηδικὸν, καὶ τὸ Περσικὸν καλούμενον· ἔχει δὲ τὸ δένδρον τοῦτο φύλλον μὲν ὅμοιον, καὶ σχεδὸν ἴσον, τῷ τῆς [h] Ἀνδράχνης, ἀκάνθας δὲ, οἵας

[d] δένδρων μὲν οὐ πλεῖστα Scal. [e] Κίττῳ deest Bod.
[f] ἄλλα τινὰ Const. [g] ὅλως Bod. [h] Δάφνης, Const.

Ἄπιος, Ἄχρας, ἢ Ὀξυάκανθος, λείας δὲ καὶ ὀξείας σφόδρα καὶ ἰσχυράς· τὸ δὲ μῆλον οὐκ ἐσθίεται μὲν, εὔοσμον καὶ πάνυ, καὶ αὐτὸ τὸ φύλλον τοῦ δένδρου· κἂν εἰς ἱμάτια τεθῇ τὸ μῆλον, *ἄκοπα διατηρεῖ. χρήσιμον δὲ, ἐπειδὰν τύχῃ πεπωκώς τις φάρμακον[i], ἢ πρὸς στόματος εὐωδίαν· ἐὰν γάρ τις ἑψήσας ἐν τῷ ζωμῷ, ἢ ἐν ἄλλῳ τινι, τὸ ἔξωθεν τοῦ μήλου ἐκπιέσῃ εἰς τὸ στόμα καὶ *καταῤῥοφήσῃ. ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦ ἦρος εἰς *πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα διειργασμένας ἐπιμελῶς, εἶτα ἀρδεύεται διὰ τετάρτης, ἢ πέμπτης ἡμέρας· ὅταν δὲ ἀδρὸν ᾖ, διαφυτεύεται πάλιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν καὶ ἔφυδρον, καὶ οὐ λίαν λεπτόν· (φιλεῖ γὰρ τοιαῦτα.) φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν· τὰ μὲν γὰρ, ἀφῄρηται, τὰ δὲ ἀνθεῖ, τὰ δὲ ἐκπέπτει· τῶν δὲ ἀνθῶν ὅσα, ὥσπερ εἴπομεν, ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου τίν' ἐξέχουσαν, ταῦτά ἐστι γόνιμα, ὅσα δὲ μὴ, ἄγονα· σπείρεται δὲ καὶ εἰς *ὄστρακα διατετρημένα, καθάπερ οἱ Φοίνικες. τοῦτο μὲν οὖν ὥσπερ εἴρηται περὶ τὴν Περσίδα καὶ τὴν Μηδίαν ἐστίν.

CAP. V.

Ficus, religiosa, L. Ebenus Cretica. Pistacia, Terebinthus. Musa. Cerealia quædam ex Oriente.

Ἡ δὲ Ἰνδικὴ χώρα τήν τε καλουμένην ἔχει Συκῆν, ἣ καθίησιν ἐκ τοῦ κλάδων τὰς ῥίζας ἀν' ἕκαστον ἔτος, ὥσπερ εἴρηται πρότερον· ἀφίησι δὲ οὐκ ἐκ τῶν νέων, ἀλλ' ἐκ τῶν ἔνων καὶ ἔτι παλαιοτέρων. αὕτα δὲ συν-

[i] δοθὲν γὰρ ἐν οἴνῳ διακόπτει τὴν κοιλίαν καὶ ἐξάγει τὸ φάρμακον, Const.

ἁπτουσαι τῇ γῇ, ποιοῦσιν ὥσπερ *δρύφρακτον κύκλῳ περὶ τὸ δένδρον, ὥςε γίνεσθαι καθάπερ σκηνὴν, ὑφ' αἷς δὴ καὶ εἰώθασι διατρίβειν· εἰσὶ δὲ αἱ ῥίζαι φυόμεναι διάδηλοι πρὸς τοὺς βλαστοὺς, λευκότεραι γὰρ, καὶ δασεῖαι, καὶ σκολιαὶ [h] καὶ δίφυλλοι. ἔχει δὲ τὴν ἄνω κόμην πολλὴν, καὶ τὸ ὅλον δένδρον, εὔκυκλον, καὶ τῷ μεγέθει μέγα σφόδρα, καὶ γὰρ ἐπὶ δύο ςάδια ποιεῖν φασι τὴν σκιάν· καὶ τὸ πάχος τοῦ στελέχους [i] ἐνίοις, πλειόνων ἢ ἑξήκοντα *βημάτων, τὰ δὲ πολλὰ τετταράκοντα. τὸ δέγε φύλλον οὐκ ἔλαττον ἔχει [k] πέλτης, καρπὸν δὲ σφόδρα μικρὸν, ἡλίκον ἐρέβινθον, ὅμοιον δὲ μορφὴν σύκῳ· διὸ καὶ ἐκάλουν αὐτὸ οἱ Ἕλληνες Συκῆν· ὀλίγον δὲ θαυμαςῶς τὸν καρπὸν, οὐχ ὅτι κατὰ τὸ τοῦ δένδρε μέγεθος, ἀλλὰ [l] καὶ τὸ ὅλον· φύεται δὲ τὸ δένδρον περὶ τὸν Ἀκεσίνην ποταμόν. ἔςι δὲ καὶ ἕτερον δένδρον, καὶ τῷ μεγέθει μέγα, καὶ ἡδύκαρπον θαυμαστῶς καὶ μεγαλόκαρπον· καὶ χρῶνται τροφῇ τῶν Ἰνδῶν οἱ σοφοὶ [m] καὶ *ἀπεχόμενοι. ἕτερον δὲ, οὗ τὸ φύλλον τὴν μὲν μορφὴν πρόμηκες, καὶ τοῖς τῶν Στρουθῶν πτεροῖς ὅμοιον, ἃ παρατίθενται παρὰ τὰ κράνη, μῆκος δὲ ὡς διπηχυαῖον. ἄλλο τέ ἐστιν οὗ ὁ καρπὸς μακρὸς, καὶ οὐκ εὐθὺς, ἀλλὰ σκολιός· ἐσθιόμενος δὲ, γλυκύς· οὗτος ἐν τῇ κοιλίᾳ *δηγμὸν ποιεῖ καὶ δυσεντερίαν· διὸ καὶ ὁ Ἀλέξανδρος, ἀπεκήρυξε μὴ ἐσθίειν. ἔςι δὲ ἕτερον, οὗ ὁ καρπὸς ὅμοιος τοῖς [n] Κρανείοις· καὶ ἕτερα δὲ πλείω, καὶ διαφέροντα τῶν ἐν τοῖς Ἕλλησιν, ἀλλ' ἀνώνυμα. θαυμαςὸν δ' οὐδὲν τῆς ἰδιότητος· κεδὸν γὰρ, ὥσγε δή τινές φασιν, [o] οὐδὲν ὅλως τῶν δένδρων,

[h] καὶ deest Bod. [i] ἔνια, Bod. [k] πέλτης Ἀμαζονικῆς, Const. [l] κατὰ τὸ ὅλον· Const. [m] οὐκ ἀμπεχόμενοι. Const. [n] κρανείοις· Bod. [o] οὐδὲ Bod.

οὐδὲ τῶν ὑλημάτων, οὐδὲ τῶν ποωδῶν, ὅμοιόν ἐστι τοῖς ἐν τῇ Ἑλλάδι, πλὴν ὀλίγων. ἴδιον δὲ καὶ ἡ Ἑβένη τῆς χώρας ταύτης· ταύτης δὲ δύο γένη, τὸ μὲν, εὔξυλον καὶ καλὸν, τὸ δὲ φαῦλον· σπάνιον δὲ τὸ καλὸν, θάτερον δὲ πολύ· τὴν δὲ χρόαν, οὐ θησαυριζομένη λαμβάνει τὴν εὔχρουν, ἀλλ' εὐθὺς τῇ φύσει. ἔστι δὲ τὸ δένδρον θαμνῶδες, ὥσπερ ὁ Κύτισος. φασὶ δ' εἶναι καὶ Τέρμινθον, οἳ δ' ὅμοιόν τι τῇ Τερμίνθῳ, ὃ τὸ μὲν φύλλον καὶ τὰς κλῶνας καὶ τ' ἄλλα πάντα ὅμοια ἔχει τῇ Τερμίνθῳ, τὸν δὲ καρπὸν διάφορον. (ὅμοιον γὰρ τοῖς ἀμυγδάλοις,) εἶναι γὰρ καὶ ἐν Βάκτροις τὴν Τέρμινθον ταύτην, καὶ κάρυα φέρειν, ἡλίκα τὰ ἀμύγδαλα, (p διότι μὴ μεγάλα.) καὶ τῇ ὄψει δὲ παρόμοια, καὶ ἡ ἡδονὴ κρείττων τῶν ἀμυγδάλων, διὸ καὶ χρῆσθαι τοὺς ἐκεῖ μᾶλλον. ἐξ ὧν δὲ τὰ ἱμάτια ποιοῦσι ταῦτα μὲν φύλλον ὅμοιον ἔχει τῇ Συκαμίνῳ, q τὸν δὲ *κύτινον τοῖς Κυνοράδοις ὅμοιον· φυτεύουσι δὲ ἐν τοῖς πεδίοις αὐτὰ *κατ' ὄρχεις· διὸ καὶ πόρρωθεν ἀφορῶσιν Ἄμπελοι φαίνονται. ἔχει δὲ καὶ Φοίνικας ἔνια μέρη πολλοὺς, καὶ ταῦτα μὲν ἐν δένδρου φύσει. φέρει δὲ καὶ σπέρματα ἴδια· τὰ μὲν τοῖς Χεδροποῖς ὅμοια, τὰ δὲ τοῖς Πυροῖς καὶ ταῖς Κριθαῖς. Ἐρέβινθος μὲν γὰρ, r καὶ Φακὸς, καὶ τ' ἄλλα τὰ παρ' ἡμῖν οὐκ ἔστιν, ἕτερα δέ ἐστιν, ὥστε παραπλήσια ποιεῖν τὰ ἐψήματα, καὶ μὴ διαγινώσκειν, ὥς φασιν, ἂν μή τις ἀκούσῃ· Κριθαὶ δὲ καὶ Πυροὶ καὶ s ἄλλο τι γένος ἀγρίων Κριθῶν, ἐξ ὧν καὶ ἄρτοι ἡδεῖς, καὶ *χόνδρος καλός· ταύτας οἱ ἵπποι ἐσθίοντες τὸ πρῶτον διεφθείροντο, κατὰ μικρὸν δὲ οὖν, ἐθισθέντες ἐν ἀχύροις,

p διὰ τὸ μὴ Bod. q τὸ δ' ὅλον φυτὸν τοῖς Bod. r καὶ φακὸς καὶ κύαμος, καὶ τ' ἄλλα Const. s ἄλλ' ὅτι γένος Bod.

οὐδὲν ἔπαχον. μᾶλλον δὲ σπείρεσι τὸ καλούμενον Ὄρυζον, ἐξ οὗ τὸ ἕψημα. τοῦτο δὲ ὅμοιον τῇ Ζειᾷ καὶ περιττιθὲν ὅμοιον· καὶ χόνδρος εὔπεπλος· τὴν δ' ὄψιν πεφυκὸς ὅμοιον ταῖς Αἴραις καὶ τὸν πολὺν χρόνον ἐν ὕδατι· ἀποχεῖται δὲ οὐκ εἰς στάχυν, ἀλλ' [t] οἷον *φόβην, ὥσπερ ὁ Κέγχρος, καὶ ὁ Ἔλυμος. ἄλλο δέ τι ὃ ἐκάλουν οἱ Ἕλληνες Φακόν· τοῦτο δὲ ὅμοιον μὲν τῇ ὄψει καὶ τῷ Βούκερας, θερίζεται δὲ καὶ περὶ Πλειάδος δύσιν. διαφέρει δὲ καὶ [u] αὐτὴ ἡ χώρα, τῷ τὴν μὲν φέρειν ἔνια, τὴν δὲ μὴ φέρειν· ἡ γὰρ ὀρεινὴ καὶ Ἄμπελον ἔχει καὶ Ἐλαίαν, καὶ τὰ ἄλλα *ἀκρόδρυα· πλὴν ἄκαρπον τὴν Ἐλαίαν, σχεδὸν καὶ τὴν φύσιν ὥσπερ μεταξὺ Κοτίνης καὶ Ἐλαίας. ἔστι δὲ τῇ ὅλῃ μόρφῃ [διάφορος] καὶ τὸ φύλλον τὸ μὲν πλατύτερον, τοῦ δὲ στενώτερον. ταῦτα μὲν οὖν κατὰ τὴν Ἰνδικήν. ἐν δὲ τῇ [x] Ἀριάνῃ χώρᾳ καλουμένῃ Ἄκανθά ἐστιν, ἐφ' ἧς γίνεται δάκρυον ὅμοιον [y] τῇ ἐν Ἰλλυρίᾳ καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ. τοῦτο δ', ὅταν ἐπιλάμψῃ ὁ ἥλιος, καταῤῥεῖ. πολλὰ δὲ καὶ ἄλλα παρὰ τὰ ἐνταῦθα, καὶ ἐν τῇ χώρᾳ, καὶ ἐν τοῖς ποταμοῖς γίνεται. ἐν ἑτέροις δὲ τόποις ἐστὶν Ἄκανθα ἡ λευκὴ, τρίοζος, ἐξ ἧς καὶ σκυτάλια καὶ βακτηρίας ποιοῦσιν, ὀπώδης δὲ, καὶ μανή· ταύτην δὲ καλοῦσιν Ἡρακλείαν. ἄλλο δὲ ὕλημα μέγεθος μὲν ἡλίκον Ῥάφανος, τὸ δὲ φύλλον, ὅμοιον Δάφνῃ, καὶ τῷ μεγέθει καὶ τῇ μορφῇ· τοῦτο δὲ εἴτις φάγοι, ἐναποθνήσκει· διὸ καὶ ὅποι ἵπποι, τούτους ἐφύλαττον διὰ χειρῶν. ἐν δὲ τῇ [z] Γεδρωσίᾳ χώρᾳ πεφυκέναι φασὶν, ἓν μέν τι, ὅμοιον τῇ Δάφνῃ φύλλον ἔχον οὗ τὰ ὑποζύγια, (καὶ ὁτιοῦν εἰ

[t] οἷον φόβην, Bod. [u] αὐτῇ τῇ χώρᾳ, Bod. [x] Ἀρίᾳ, Bod. [y] τῇ Γαβιραίᾳ σμύρνῃ Const. [z] Κιδρωσίᾳ Ald.

φάγοι.) μικρὸν ἐπισχόντα διεφθείρετο, παραπλησίως διατιθέμενα, καὶ σπώμενα ὁμοίως τοῖς ἐπιλήπτοις. ἑτέραν δὲ, Ἄκανθάν τινα εἶναι· ταύτην φύλλον μὲν οὐδὲν ἔχειν, πεφυκέναι δὲ ἐκ μιᾶς ῥίζης, ἐφ' ἑκάστῳ δὲ τῶν ὄζων ἄκανθαν ἔχειν ὀξεῖαν σφόδρα. καὶ τούτων δὲ [a] καταρηγνυμένων ἢ προστριβομένων, ὀπὸν ἐκρεῖν πολύν. ὃς ἀποτυφλοῖ τὰ ἄλλα ζῶα πάντα, καὶ πρὸς τοὺς ἀνθρώπους. . . . . τίς αὐτοῖς· ἐν δὲ τόποις τισὶ πεφυκέναι τινὰ βοτάνην ἐφ' ᾗ [b] συνεσπειραμένους Ὄφεις εἶναι μικροὺς σφόδρα· τούτοις δ' εἴτις ἐμβὰς πληγείη, θνήσκειν. ἀποπνίγεσθαι δὲ καὶ ἀπὸ τῶν φοινίκων τῶν ὠμῶν εἴτις φάγοι· καὶ τοῦτο ὕστερον κατανοηθῆναι. τοιαῦται μὲν οὖν δυνάμεις καὶ ζώων καὶ φυτῶν ἴσως καὶ παρ' ἄλλοις εἰσί.

CAP. VI.

Arbores odoriferæ: Quænam Arbores, Regionum diversarum et Montium propriæ.

ΠΕΡΙΤΤΟΤΕΡΑ δὲ τῶν φυομένων καὶ πλεῖστον ἐξηλλαγμένα πρὸς τ' ἄλλα, τὰ εὔοσμα, τὰ περὶ Ἀραβίαν καὶ Συρίαν καὶ Ἰνδούς· οἷον ὅπε Λιβανωτὸς καὶ ἡ Σμύρνα καὶ Κασία, καὶ [c] ὁ Βάλσαμος, καὶ ὁ Κιννάμωμος, καὶ ὅσα ἄλλα τοιαῦτα, περὶ ὧν [d] ἐν ἄλλοις εἴρηται διὰ πλειόνων· ἐν μὲν οὖν τοῖς πρὸς ἕω τε καὶ μεσημβρίαν, καὶ ταῦτ' ἴδια, καὶ ἕτερα δὲ πλείω τούτων ἐστίν· ἐν δὲ τοῖς πρὸς ἄρκτον οὐχ ὁμοίως, οὐθὲν γὰρ ὅ, τι ἄξιον λόγου λέγεται, παρὰ τὰ κοινὰ τῶν δένδρων, ἃ καὶ φιλό-

[a] καταμιγνυμένων Bod. [b] συμφυομένους Theod. συστειρομένους Scal. [c] τὸ Ὀποβάλσαμον καὶ τὸ Κιννάμωμον, Bod. [d] ἐν deest Bod.

ψυχρα τυγχάνει, (καὶ ἔστι καὶ παρ' ἡμῖν·) οἷον Πεύκη, Δρῦς, Ἐλάτη, Πύξος, Διὸς Βάλανος, Φίλυρα, καὶ τ' ἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐδὲν ἕτερον παρὰ ταῦτά ἐστιν, ἀλλὰ μᾶλλον τῶν ἄλλων ὑλημάτων ἔνια τὰς ψυχρὰς ἐκζητεῖ τόπους, καθάπερ Κενταύριον, καὶ Ἀψίνθιον. ἔςι δὲ φαρμακώδη τινὰ ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς (οἷον Ἐλλέβορος καὶ [e] ὁ Σίκυος ὁ ἄγριος, ἐξ οὗ τὸ ἐλατήριον, καὶ ἡ Σκαμμωνία.) ὡς καὶ σχεδὸν πάντα τὰ * ῥιζοτομούμενα· τὰ μὲν γὰρ ἐν τῷ Πόντῳ καὶ τῇ Θράκῃ γίνεται, τὰ δὲ περὶ τὴν Οἴτην, καὶ τὸν Παρνασὸν, καὶ τὸ Πήλιον, καὶ τὴν Ὄσσην, καὶ τὸ Παρθένιον· καὶ ἐν τούτοις δέ τινές φασι [f] πλεῖστον· πολλὰ δὲ καὶ ἐν τῇ Ἀρκαδίᾳ καὶ ἐν τῇ Λακωνικῇ, (φαρμακώδεις γὰρ αὗται·) τῶν δὲ εὐωδῶν οὐδὲν ἐν ταύταις, (πλὴν Ἶρις ἐν τῇ Ἰλλυρίδι καὶ περὶ τὸν Ἀδρίαν, αὕτη δὲ χρηστὴ καὶ πολὺ διαφέρουσα τῶν ἄλλων·) ἀλλ' ἐν τοῖς ἀλεεινοῖς καὶ τοῖς πρὸς μεσημβρίαν, ὥσπερ [g] ἀντικειμένοις [τοῖς φαμακώδεσι] τὰ εὐώδη· ἔχουσι δὲ καὶ τὴν Κυπάριττον οἱ ἀλεεινοὶ μᾶλλον, ὥσπερ Κρήτη, Λυκία, Ῥόδος· Κέδρον δὲ, καὶ τὰ Θράκια ὄρη, καὶ τὰ Φρύγια. τῶν δὲ ἡμερουμένων ἥκιστά φασιν ἐν τοῖς ψυχροῖς ὑπομένειν Δάφνην καὶ Μυῤῥίνην, καὶ τούτων καὶ ἧττον [h] ἔτι τὴν Μυῤῥίνην. σημεῖον δὲ λέγουσιν, ὅτι ἐν τῷ Ὀλύμπῳ Δάφνη μὲν πολλὴ, Μυῤῥίνη δὲ ὅλως οὐκ ἔστιν· ἐν δὲ τῷ Πόντῳ περὶ [i] Παντικαπαῖον οὐδέτερον, καίπερ σπουδαζόντων καὶ πάντα μηχανωμένων πρὸς τὰς ἱερωσύνας, Συκαὶ δὲ πολλαὶ ἐκεῖ καὶ εὐμεγέθεις, καὶ Ῥοιαὶ δὲ (περισκεπαζό-

[e] ὁ Σίκυος ὁ ἄγριος ἐξ οὗ desunt Bod. [f] φαιστόν· Const. [g] ἀντικείμενα Bod. [h] ἐπὶ τῶν Μυῤῥίνων. Bod. [i] παντὶ καὶ ποῖον, Bod.

μεναι) καὶ Ἄπιοι καὶ Μηλέαι παντοδαπώταται, καὶ χρῆται (αἱ ἐαριναὶ, πλὴν εἰ ἄρα αἱ ὄψιαι·) τῆς δὲ ἀγρίας ὕλης, ἔστι Δρῦς, Πτελέα, Μελία, καὶ ὅσα τοιαῦτα· Πεύκη δὲ, καὶ Ἐλάτη, καὶ Πίτυς, οὐκ ἔστιν, οὐδ' ὅλως οὐδὲν *ἔνδαδον· ὑγρὰ δὲ αὕτη καὶ χείρων πολὺ τῆς Σινωπικῆς, ὥς' οὐδὲ πολὺ χρῶνται αὐτῇ, πλὴν πρὸς τὰ ὑπαίθρια. ταῦτα μὲν οὖν περὶ τὸν Πόντον, ἢ ἔν τισί γε τόποις αὐτοῦ· ἐν δὲ τῇ Προποντίδι γίνεται καὶ Μυῤῥίνη, καὶ Δάφνη πολλαχοῦ ἐν τοῖς ὄρεσιν. ἴσως δὲ ἔνια καὶ τῶν τόπων ἴδια θετέον, ἕκαστοι γὰρ ἔχουσι τὰ διαφέροντα, ὥσπερ εἴρηται, κατὰ τὰς ὕλας, οὐ μόνον τῷ βελτίω καὶ χείρω τὴν αὐτὴν ἔχειν, ἀλλὰ καὶ τῷ φέρειν, [k] ἢ μὴ φέρειν· οἷον, ὁ μὲν Τμώλος ἔχει, καὶ ὁ Μύσιος Ὄλυμπος πολὺ τὸ Κάρυον καὶ τὴν Διὸς Βάλανον, ἔτι δὲ καὶ Ἄμπελον, καὶ Μηλέαν, καὶ Ῥοιάν· ἡ δὲ Ἴδη τὰ μὲν οὐκ ἔχει τούτων, τὰ δὲ, σπάνια. περὶ δὲ Μακεδονίαν καὶ τὸν Πιερικὸν Ὄλυμπον, τὰ μέν ἐστι, τὰ δ' οὐκ ἔστι τούτων. ἐν δὲ τῇ Εὐβοίᾳ, καὶ περὶ τὴν Μαγνησίαν, τὰ μὲν [Κάρυα] Εὐβοϊκὰ πολλὰ, τῶν δὲ ἄλλων οὐθέν· οὐδὲ δὴ περὶ τὸ Πήλιον, οὐδὲ τὰ ἄλλα τὰ ἐνταῦθα ὄρη. βραχὺς δ' ἐστὶ τόπος ἐκεῖ, καὶ ὅλως πρὸς τὴν ναυπηγήσιμον ὕλην· τῆς μὲν γὰρ Εὐρώπης τὰ περὶ τὴν Μακεδονίαν, καὶ ὅσα τῆς Θράκης ὄρη, καὶ [l] περὶ Ἰταλίαν ἔχει· τῆς δὲ Ἀσίας, τά τε ἐν Κιλικίᾳ καὶ τὰ ἐν Σινώπῃ καὶ Ἀμισῷ, ἔτι δὲ ὁ Μύσιος Ὄλυμπος, καὶ ἡ Ἴδη, πλὴν οὐ πολύ· ἡ γὰρ Συρία Κέδρον ἔχει, καὶ ταύτῃ χρῶνται πρὸς τὰς τριήρεις. ἀλλὰ καὶ τὰ φίλυδρα [δένδρα] καὶ τὰ παρα-

[k] ἢ μὴ φέρειν desunt Bod. [l] περὶ Ἰταλίαν μόνον ἔχει. Const.

ποτάμια ταῦθ' ὁμοίως [ἔχει], ἐν μὲν γὰρ [m] τῇ Ἀδρίᾳ Πλάτανον οὐ φασὶν εἶναι, πλὴν περὶ τὸ Διομήδους ἱερὸν, σπανίαν δὲ καὶ ἐν Ἰταλίᾳ πάσῃ· καίτοι πολλοὶ καὶ μεγάλοι ποταμοὶ παρ' ἀμφοῖν, ἀλλ' οὐκ ἔοικε φέρειν ὁ τόπος. [n] ἐν Ῥηγίῳ γοῦν ἃς Διονύσιος ὁ πρεσβύτερος, ὁ τύραννος ἐφύτευσεν ἐν τῷ παραδείσῳ, αὗται μέν εἰσι νῦν ἐν τῷ γυμνασίῳ, [o] φιλοτιμηθεῖσαι, οὐδὲ δύναντ' λαβεῖν μέγεθος. ἔνιοι δὲ [τόποι] πλείστην ἔχουσι Πλάτανον, οἱ δὲ Πτελέαν, καὶ Ἰτέαν, οἱ δὲ Μυρίκην, ὥσπερ ὁ Αἶμος· ὥστε τὰ μὲν τοιαῦτα, καθάπερ ἐλέχθη, τῶν τόπων ἰδίᾳ θετέον, ὁμοίως ἔν τε τοῖς ἀγρίοις καὶ τοῖς ἡμέροις. οὐ μὴν ἀλλὰ τάχα ἂν εἴη καὶ τούτων [p] τινὰ, οὕτως διακοσμηθέντα, δύναθ' τὴν χώραν φέρειν, ὃ καὶ νῦν συμβαῖνον ὁρῶμεν καὶ ἐπὶ ζώων ἐνίων καὶ φυτῶν.

CAP. VII.

Algæ marinæ, utriusque Maris.

ΜΕΓΙΣΤΗΝ δὲ διαφορὰν αὐτῆς τῆς φύσεως τῶν δένδρων, καὶ ἁπλῶς τῶν ὑλημάτων ὑποληπτέον, (ᾗ καὶ προτερόν γε εἴπομεν,) ὅτι τὰ μὲν, ἔγγεια, τὰ δ' *ἔνυδρα τυγχάνει, καθάπερ τῶν ζώων, καὶ τῶν φυτῶν. οὐ γὰρ μόνον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς ποταμοῖς, ἀλλὰ καὶ ἐν τῇ θαλάττῃ φύεται ὑλήματα ἔνια καὶ δένδρα ἐν τῇ ἔξω, καὶ ἐν τῇ περὶ ἡμᾶς· ἐν μὲν γὰρ τῇ περὶ ἡμᾶς μικρὰ πάντα φυόμενα, καὶ οὐδὲν ὑπερέχοντα, ὡς εἰπεῖν, τῆς θαλάσσης· ἐν ἐκείνῃ δὲ καὶ τὰ τοιαῦτα καὶ ὑπερέχοντα, καὶ ἕτερα δὲ μείζω δένδρα. τὰ μὲν οὖν περὶ ἡμᾶς ἐστὶ

[m] τῷ Ἀδρίᾳ Bod. [n] ἐν ῥηπῷ γοῦν, Bod. [o] φιλοτιμηθεὶς, Bod. [p] ἐπί τινων ὥστε διακοσμηθέντων δύνασθαι Bod.

τάδε· φανερώτατα μὲν καὶ κοινότατα καὶ ἰδιώτατα [q] κατὰ τοὺς τόπους, Ἐλάτη, Συκῆ, Δρῦς, Ἄμπελος, Φοῖνιξ. τούτων δὲ τὰ μὲν * προσγεια, τὰ δὲ, * πόντια, τὰ δ' ἀμφοτέρων τῶν τόπων κοινά· καὶ τὰ μὲν πολυειδῆ, καθάπερ ὁ Φύκος, τὰ δὲ, μίαν ἰδέαν ἔχοντα· τοῦ γὰρ Φύκους, τὸ μέν ἐςι πλατύφυλλον * τετανοειδὲς, χρῶμα ποῶδες ἔχον, ὃ δὴ, καὶ Πράσον καλοῦσί τινες, οἱ δὲ Ζωστῆρα· ῥίζαν δὲ ἔχει δασεῖαν ἔξωθεν, ἄνωθεν δὲ καὶ [r] λεπυρώδη, μακρὰν δὲ ἐπιεικῶς, καὶ εὐπαχῆ, παρομοίαν τοῖς Κρομμυογηθείοις· τὸ δὲ τριχόφυλλον, ὥσπερ τὸ Μάραθρον, οὐ ποῶδες, ἀλλ' * ἐξωχρον, οὐ δὲ ἔχον καυλὸν, ἀλλ' ὀρθόν πως ἐν αὐτῷ· φύεται δὲ τοῦτο ἐπὶ τῶν ὀστράκων καὶ ἐπὶ τῶν λίθων, οὐχ, ὥσπερ θάτερον, πρὸς τῇ γῇ (πρόσγεια δὲ ἄμφω·) ἄλλα καὶ τὸ μὲν τριχόφυλλον πρὸς αὐτῇ γῇ· πολλάκις δὲ ὥσπερ ἐπικλύζεται μόνον ὑπὸ τῆς θαλάττης· θάτερον δὲ ἀνωτέρω. γίνεται δὲ ἐν μὲν τῇ ἔξω, τῇ περὶ Ἡρακλείας ςήλας, θαυμαςόν τι τὸ μέγεθος, ὥς φασι, καὶ τὸ πλάτος μεῖζον ὡς παλαιστιαῖον· φέρεται δὲ τοῦτο εἰς τὴν ἔτω θάλατταν τῷ ῥῷ τῷ ἔξωθεν, καλοῦσι δὲ αὐτὸ πράσον. [s] ταύτης δὲ ἔν τισι τόποις τοσοῦτον αὐξάνεται ὥστ' ἐπάνω τοῦ ὀμφαλοῦ· λέγεται δὲ ἐπέτειον εἶναι, καὶ φύεσθαι μὲν τοῦ ἦρος λήγοντος, ἀκμάζειν δὲ τοῦ θέρους, τοῦ μετοπώρου δὲ φθίνειν, κατὰ δὲ τὸν χειμῶνα ἀπόλλυσθαι καὶ ἐκπίπτειν· ἅπαντα δὲ, ὡς καὶ ἄλλα τὰ φυόμενα, χείρω καὶ ἀμαυρότερα γίνεσθαι τοῦ χειμῶνος. ταῦτα μὲν οὖν οἷον πρόσγειά ἐστι περί γε τὴν θάλατταν, τὸ δὲ πόντιον φύκος, ὃ οἱ

q κατὰ deest Bod. r λιπύρια, μακρὰν Bod. s ταύτῃ Bod.

*σπογγεῖς ἀνακολυμβῶσι, πελάγιον. καὶ ἐν Κρήτῃ δὲ φύεται πρὸς τῇ γῇ ἐπὶ τῶν πετρῶν πλεῖστον καὶ κάλλιστον, ᾧ βάπτουσιν οὐ μόνον τὰς ταινίας, ἀλλὰ καὶ ἔρια, καὶ ἱμάτια, καὶ ἕως ἂν ᾖ *πρόσφατος ἡ βαφὴ, πολὺ κάλλιον ἡ χρόα ἢ τῆς Πορφύρας, (γίνεται δὲ καὶ ἐν τῇ προσβόρρῳ καὶ [t] πλείονα καὶ καλλίω, ὥσπερ αἱ σπογγιαὶ καὶ ἄλλα τοιαῦτα.) ἄλλο δ' ἔστιν ὅμοιον τῇ Ἀγρώστει, καὶ γὰρ τὸ φύλλον παραπλήσιον ἔχει, καὶ τὴν ῥίζαν γονατώδη, καὶ πεφυκυῖαν πλαγίαν, ὥσπερ [u] ἡ τῆς Ἀγρώστιδος· ἔχει δὲ καὶ καυλὸν καλαμώδη, καθάπερ ἡ Ἄγρωστις· μεγέθει δὲ ἐλάττω πολὺ τοῦ Φύκους [προτέρου]. ἄλλο δὲ, [x] ὡς βότρυον, ὃ φύλλον ἔχει ποῶδες τῇ χρόᾳ, πλατὺ δὲ, καὶ οὐκ ἀνόμοιον ταῖς Θριδακίναις, πλὴν [y] ῥυτιδωδέστερον, καὶ ὥσπερ συνεσπασμένον· καυλὸν δὲ οὐκ ἔχει, ἀλλ' ἀπὸ μιᾶς ἀρχῆς πλείω τὰ τοιαῦτα, καὶ πάλιν ἀπ' ἄλλης· φύεται δὲ ἐπὶ τῶν λίθων τὰ τοιαῦτα πρὸς τῇ γῇ, καὶ ἐπὶ τῶν ὀστράκων. καὶ τὰ μὲν ἐλάττω σχεδὸν ταῦτ' ἔστιν, ἡ δὲ Δρῦς καὶ ἡ Ἐλάτη, πρόσγειοι μὲν ἄμφω· φύονται δ' ἐπὶ λίθοις καὶ ὀστράκοις· ῥίζας μὲν οὐκ ἔχουσαι, προσπεφυκυῖαι δὲ ὥσπερ αἱ Λεπάδες. ἀμφότεραι μὲν οἷον σαρκόφυλλαι, προμηκέστερον δὲ τὸ φύλλον τῆς [z] Δρύος, καὶ παχύτερον τῆς Ἐλάτης, καὶ οὐκ ἀνόμοιον τοῖς τῶν ὀσπρίων λοβοῖς· [a] κοῖλον δ' ἔνδοθεν, καὶ οὐδὲν ἔχον ἐν αὐτοῖς. τὸ δὲ τῆς Δρύος, λεπτὸν καὶ *μυρικωδέστερον· χρῶμα δ' ἐπιπόρφυρον ἀμφοῖν. ἡ δ' ὅλη μορφὴ τῆς μὲν Ἐλάτης ὀρθὴ, καὶ αὐτῆς καὶ τῶν ἀκρεμόνων, τῆς δὲ Δρυὸς σκολιωτέρα

[t] πλεῖον καὶ καλὸν, ὥσπερ Bod. [u] τῇ τῆς Bod. [x] ὡς deest Bod. [y] χρυσιωδέστερον, Bod. [z] παχὺ, Bod. [a] δὲ κοῖλον, ἔνδοθεν, Bod.

καὶ μᾶλλον ἔχουσα πλάτος. γίνεται δὲ ἄμφω καὶ πολύκαυλα, (μονοκαυλότερον δὲ ἡ Ἐλάτη.) τὰς δὲ ἀκρεμονικὰς *ἀποφύσεις ἡ Ἐλάτη μὲν μακρὰς ἔχει καὶ εὐθείας καὶ μανάς· ἡ δὲ Δρῦς βραχυτέρας καὶ σκολιωτέρας καὶ πυκνοτέρας· τὸ δὲ ὅλον μέγεθος ἀμφοτέρων ὡς πυγωνιαῖον, ἢ μικρὸν ὑπεραίρον· μεῖζον δὲ, ὡς ἁπλῶς εἰπεῖν, τὸ τῆς Ἐλάτης. χρήσιμος δὲ ἡ Δρῦς εἰς βαφὴν ἐρίων ταῖς γυναιξίν· ἐπὶ μὲν τῶν ἀκρεμόνων προσηρτημένα εἰσὶ τῶν *ὀστακοδέρμων ζώων ἔνια, καὶ κάτω δὲ πρὸς αὐτῷ τῷ καυλῷ περιπεφυκότων τινῶν *ἰξλων, [b] ἐν τούτοις δεδυκότες οἱ Ὀνίσκοι, καὶ ἄλλ' ἄττα, καὶ τὸ ὅμοιον Πολύποδι. ταῦτα μὲν οὖν πρόσγεια καὶ ῥᾴδια θεωρηθῆναι, φασὶ δέ τινες καὶ ἄλλην Δρῦν εἶναι ποντίαν, ἣ καὶ καρπὸν φέρει, καὶ ἡ βάλανος αὐτῆς χρησίμη, τοὺς δὲ *σπογγεῖς, καὶ κολυμβητὰς λέγειν, ὅτι καὶ ἕτεραι μεγάλαι τινὲς τοῖς μεγέθεσιν εἴησαν. ἡ δὲ Ἄμπελος ἀμφοτέρωσε γίνεται, καὶ γὰρ πρὸς τῇ γῇ, καὶ ποντία· μεῖζω δ' ἔχει καὶ τὰ φύλλα, καὶ τὰ κλήματα, καὶ τὸν καρπὸν ἡ ποντία. ἡ δὲ Συκῆ ἄφυλλος μὲν, τῷ μεγέθει δ' οὐ μεγάλη, χρῶμα δὲ τοῦ φλοιοῦ φοινικοῦν. ὁ δὲ Φοῖνιξ πόντιός ἐστι μὲν βραχυσελέχης σφόδρα· καὶ σχεδὸν εὐθεῖαι αἱ ἐκφύσεις τῶν ῥάβδων· κάτωθεν οὐ κύκλωθεν αὗται, καθάπερ τῶν ῥάβδων οἱ ἀκρέμονες, ἀλλ' ὡς ἂν ἐν πλάτει, κατὰ μίαν συνεχεῖς, ἐνιαχοῦ δὲ καὶ [c] ἐπαλλάττουσαι. τῶν δὲ ῥάβδων ἢ τῶν *ἀποφύσεων τούτων, ὁμοία τρόπον τινὰ ἡ φύσις τοῖς τῶν Ἀκανθῶν φύλλοις ἢ τοῖς τῶν [d] *ἀκανθῶν, οἷον Σόγκου, καὶ τῶν τοιούτων· (πλὴν ὀρθαὶ, οὐκ ὥσπερ

[b] ἐν τούτοις διδυκότες οἱ ὀνίννοι, Bas. ἐν τούτοις ὀστράκοις διδυκότες οἱ Ὀνίσκοι, Const. [c] ἀπαλλάττουσαι. Const. [d] ἀκανικῶν, Bod.

ἐκεῖνα * περικεκλασμένας,) καὶ τὸ φύλλον ἔχουσας διαβεβρωμένον ὑπὸ τῆς ἅλμης· [e] ἔτι τῷγε δι' ὅλα [φύλλα] ἥκειν τὸν μέσον γε καυλὸν, καὶ ἡ ἄλλη ὄψις παραπλησία· τὸ δὲ χρῶμα τούτων, καὶ [f] τῶν κλάδων καὶ ὅλου τοῦ φυτοῦ ἐξέρυθρόν τε σφόδρα καὶ φοινικοῦν. καὶ τὰ μὲν ἐν τῇδε τῇ θαλάττῃ, τοσαῦτά ἐστιν, ἡ γὰρ Σπογγιὰ, καὶ αἱ Ἀπλυσίας καλούμενας, καὶ εἴτι τοιοῦτον, ταῦτ' ἑτέραν ἔχει φύσιν· ἐν δὲ τῇ ἔξω, τῇ περὶ Ἡρακλέους στήλας, τό, τε Πράσον, ὥσπερ εἴρηται, φύεται, καὶ τὰ * ἀπολιθούμενα ταῦτα, οἷον τὰ Θῦμα, καὶ τὰ δαφνοειδῆ, καὶ τὰ ἄλλα.

CAP. VIII.

Plantæ Arabicæ; et quæ in Mari rubro occurrunt, Corallinæ, Gorgoniæ, &c. &c.

[g] ΠΡΟΣ δὲ τῇ ἐρύθρᾳ καλουμένῃ Θαλάσσῃ ἐν Ἀραβίᾳ μικρὸν ἐπάνω Κόπτου, ἐν μὲν τῇ γῇ δένδρον οὐδὲν φύεται, πλὴν τῆς Ἀκάνθης τῆς Διψάδος καλουμένης· σπανία δὲ καὶ αὐτὴ διὰ τὰ καύματα, καὶ διὰ τὴν ἀνυδρίαν· οὐκ ὕει γὰρ, ἀλλ' ἢ δι' ἐτῶν τεττάρων ἢ πέντε, καὶ τότε λάβρως, καὶ ἐπ' ὀλίγον χρόνον· ἐν δὲ τῇ θαλάττῃ δένδρά τινα φύεται, καὶ καλοῦσιν αὐτὰ Δάφνην καὶ Ἐλαίαν· ἔστι δὲ ἡ μὲν Δάφνη ὁμοία τῇ Ἀρίᾳ· ἡ δὲ Ἐλαία τῷ [h] Φέλλῳ. καρπὸν δὲ ἔχει ἡ Ἐλαία παραπλήσιον δὲ τοῖς ἐλαίοις, ἀφίησι δὲ καὶ δάκρυον, ἐξ οὗ οἱ ἰατροὶ φάρμακον * ἔναιμον συντιθέασιν, ὃ γίνεται σφόδρα ἀγαθόν· ὅταν δὲ ὕδατα πλείω γένηται, Μύκητες

[e] ἐπεὶ Bod. [f] καυλῶν Const. [g] τῆς δ' ἐρυθρᾶς θαλάσσης καλουμένης Bod. [h] φύλλῳ. Bod.

φύονται πρὸς τῇ θαλάττῃ κατά τινα τόπον· οὗτοι δὲ ἀπολιθοῦνται ὑπὸ τοῦ ἡλίου. ἡ δὲ θάλαττα *θηριώδης. πλείους δὲ ἔχει τοὺς *Καρχαρίας, ὥστε μὴ εἶναι κολυμβῆσαι. ἐν δὲ τῷ καλουμένῳ Ἡρώῳ, ἐφ' ὃν καταβαίνουσιν οἱ ἐξ Αἰγύπτου, φύεται μὲν Δάφνητε καὶ Ἐλαία καὶ Θύμον, οὐ μὴν χλωράγε, ἀλλὰ λιθοειδῆ τὰ ὑπερέχοντα τῆς θαλάττης, ὅμοια δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς βλαστοῖς τοῖς χλωροῖς· ἐν δὲ τῷ Θύμῳ καὶ τὸ τοῦ ἄνθους χρῶμα διάδηλον, ὡς ἂν μήποτε λίαν ἐξηνθηκός. [i] μήκη δὲ τῶν δενδρυφίων, ὅσον εἰς τρεῖς πήχεις. οἱ δὲ, ὅτε ἀνάπλους ἦν τῶν ἐξ Ἰνδῶν ἀποσταλέντων ὑπὸ Ἀλεξάνδρου, τὰ ἐν τῇ θαλάττῃ φυόμενα μέχρις οὗ ἂν ᾖ ἐν τῷ ὑγρῷ, χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκοῖς, ὁπόταν δ' ἐξενεχθέντα τεθῇ πρὸς τὸν ἥλιον, ἐν ὀλίγῳ χρόνῳ ἐξομοιοῦσθαι τῷ ἁλί· φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν τὴν θάλατταν, οὓς οὐδεὶς ἂν διαγνοίη τῇ ὄψει πρὸς τοὺς ἀληθινούς. θαυμασιώτερον δὲ τούτου λέγουσι, φύεσθαι γὰρ *δενδρύφια ἅττα, τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοὸς, τοῖς δὲ ὄζοις τραχέα, καὶ ἀπ' ἄκρα πυρρά· ταῦτα δὲ θραύεσθαι μὲν, εἰ [k] συγκρεή τις· ἔκτος δὲ τούτου πυρὶ ἐμβαλλόμενα, καθάπερ τὸν σίδηρον, *διάπυρα γενόμενα, πλὴν ὅταν ἀποψύχοιτο, καθίσταθαι, καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν. ἐν δὲ ταῖς νήσοις, ταῖς ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομέναις, δένδρα μεγάλα πεφυκέναι ἡλίκα Πλάτανοι· συμβαίνειν δὲ ὅθ' ἡ πλημμυρὶς ἐπέλθοι, τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα, τῶν δὲ μεγίστων ὑπερέχειν τὰς κλάδας, ἐξ ὧν τὰ πρυμνήσια ἀνάπτειν· εἶθ' ὅτε πάλιν ἄμπωτις γίνοιτο,

[i] μήκει Bod. [k] συγκλώῃ Bod.

ἐκ τῶν ῥιζῶν. ἔχειν δὲ τὰ δένδρα ταῦτα φύλλον μὲν ὅμοιον τῇ Δάφνῃ, ἄνθος δὲ τοῖς [l] Λευκοΐοις, καὶ τῷ χρώματι καὶ τῇ ὀσμῇ, καρπὸν δ' ἡλίκον Ἐλαία, καὶ τοῦτον εὐώδη σφόδρα. καὶ τὰ μὲν φύλλα οὐκ ἀποβάλλειν, τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα τῷ φθινοπώρῳ γίνεσθαι, τοῦ δὲ ἔαρος ἀποῤῥεῖν. ἄλλα δὲ ἐν αὐτῇ τῇ θαλάττῃ πεφυκέναι, ἀείφυλλα μὲν, τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς Θέρμοις· περὶ δὲ τὴν Περσίδα, τὴν κατὰ Καρμανίαν, καθ' ἣν ἡ πλημμυρὶς γίνεται, δένδρα ἐστὶν εὐμεγέθη, ὅμοια τῇ [m] Ἀνδράχνῃ, καὶ τῇ μορφῇ καὶ τοῖς φύλλοις· [n] ἄνθη δ' ἔχει πολλὰ ὅμοια τῷ χρώματι ταῖς Ἀμυγδάλαις ἔξωθεν, τὸ δὲ ἐντὸς συνελίττεται καθάπερ [o] συνηρτημένα ἐν πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς θαλάττης, καὶ ἕστηκεν ἐπὶ τῶν ῥίζων, ὥσπερ Πολύπους· ὅταν γὰρ ἡ ἄμπωτις γένηται, θεωρεῖν ἐστίν. (ὕδωρ δ' οὐδὲν ὅλως [τότε] ἐν τῷ τόπῳ· καταλείπονται γάρ τινες *διώρυχες δι' ὧν [p] διαρέουσιν·) ταῦτα δ' εἰσὶ ἐν θαλάττῃ, ᾧ καὶ δῆλον, οἴονταί τινες, ὡς τρέφονται ταύτῃ, καὶ οὐ τῷ ὕδατι, πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς ἕλκονται. εὔλογον δὲ καὶ τοῦθ' ἁλμυρὸν εἶναι, καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ ῥίζαι· τὸ δ' ὅλον ἓν τὸ γένος εἶναι, τῶν ἐν τῇ θαλάττῃ φυομένων, καὶ τῶν ἐν τῇ γῇ ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων· καὶ τὰ μὲν ἐν τῇ θαλάττῃ μικρὰ καὶ φυκώδη, τὰ φυόμενα δ' ἐν τῇ γῇ, μεγάλα καὶ χλωρὰ, καὶ [q] ἄνθος εὔοδμον ἔχοντα, καρπὸν, δ' οἷον θέρμος.

l οἴσοις, Bod. m Ἀδράχνῃ, Const. n καρπὸν δὲ ἔχει πολὺν, ὅμοιον Bod. o συνηρτημένον πᾶσιν. Bod. p διαπλέουσιν· Bod. Ald. q ἄνθοδμον Bod.

CAP. IX.

Gossypium, arboreum, L. Papyrus, Nilotica, et affines. Plantæ Ægypti et Syriæ.

ΕΝ Τύλῳ δὲ τῇ νήσῳ (κεῖται δ' αὐτὴ ἐν τῷ Ἀραβικῷ κόλπῳ) [r] ἐν τοῖς πρὸς ἠῶ τοσοῦτον πλῆθος εἶναί φασι δένδρων, ὅτ' ἐκβαίνει ἡ πλημμυρὶς, ὥστ' [s] *ἀποχυρῶσθαι· πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχει, ἡλίκα ἡ Συκῆ, τὸ δὲ ἄνθος ὑπερβάλλον τῇ εὐωδίᾳ· καρπὸν δὲ ἄβρωτον, ὅμοιον τῇ ὄψει τῷ θέρμῳ. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα, τὰ *ἐριοφόρα πολλά· ταῦτα δὲ φύλλον μὲν ἔχειν ὅμοιον τῇ Ἀμπέλῳ, πλὴν [t] μικρότερον, καρπὸν δὲ οὐδένα φέρειν. ἐν ᾧ δὲ τὸ ἔριον, ἡλίκον μῆλον ἐαρινὸν, συμμεμυκός· ὅταν δὲ ὡραῖον ᾖ, ἐκπετάννυσθαι, καὶ ἐξαίρειν τὸ *ἔριον, ἐξ οὗ τὰς *σινδόνας ὑφαίνουσι· τὰς μὲν εὐτελεῖς, τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν Ἰνδοῖς, ὥσπερ ἐλέχθη, καὶ ἐν Ἀραβίᾳ. εἶναι δὲ [φασὶ] καὶ ἄλλα δένδρα ἄνθος ἔχοντα ὅμοιον τῷ [u] Λευκοΐῳ, πλὴν ἄοδμον, τῷ μεγέθει τετραπλάσιον τῶν Ἴων. καὶ ἕτερόν τι δένδρον πολύφυλλον, ὥσπερ τὸ Ῥόδον, τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν, ἅμα δὲ τῷ ἡλίῳ ἀνιόντι διοίγνυσθαι, μεσημβρίας δὲ τελέως *διεπτύχθαι πάλιν δὲ τῆς δείλης συνάγεσθαι, κατὰ μικρὸν, καὶ τὴν νύκτα [x] σύμμυειν· λέγειν δὲ καὶ τοὺς ἐγχωρίους, ὅτι καθεύδει. γίνεσθαι δὲ καὶ τοὺς Φοίνικας ἐν τῇ νήσῳ, καὶ Ἀμπέλους, καὶ τἄλλα ἀκρόδρυα, καὶ Συκᾶς, αἳ οὐ φυλ-

[r] τὰ μὲν Bod. τῇ Const. [s] ἀπωχυρῶσθαι· Bod. ἀπηχυρῶσθαι· Ald. Bas. ἀποχωννῦσθαι· Scal. [t] μικρόν· Bod. [u] λυκτίῳ, Bas. [x] συμβαίνειν· Ald. σημαίνειν· Bod.

λοροοῦσιν. ὕδωρ δὲ οὐράνιον γίνεσθαι μὲν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρποὺς, ἀλλ' εἶναι κρήνας μὲν ἐν τῇ νήσῳ πολλὰς, ἀφ' ὧν πάντα βρέχειν, [y] ὁ καὶ συμφέρει μᾶλλον τῷ Σίτῳ καὶ τοῖς δένδρεσι· διὸ καὶ ὅταν ὕσῃ, τοῦτο ἐπαφιέναι, καθαπερεὶ καταπλύνοντες ἐκεῖνο. καὶ τὰ μὲν ἐν τῇ ἔξω θαλάσσῃ δένδρα, τάγε νῦν θεωρούμενα, σχεδὸν τοσαῦτά ἐστιν· ὑπὲρ δὲ τῶν περὶ τοὺς ποτάμους, καὶ ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, μετὰ ταῦτα λεκτέον. τρία δέ ἐστιν εἴδη τῶν ἐν τούτοις, τὰ μὲν δένδρα, τὰ δ' ὥσπερ πούδη, τὰ δὲ, *λοχμώδη· λέγω δὲ πούδη μὲν οἷον τὸ Σέλινον, τὸ ἔλειον, καὶ ὅσα ἄλλα τοιαῦτα· λοχμώδη δὲ, Κάλαμον, Κύπειρον, Φλεὼ, Σχοῖνον, Βούτομον, ἅπερ σχεδὸν κοινὰ πάντων τῶν ποταμῶν καὶ τῶν τοιούτων τόπων ἐστίν. ἐνιαχοῦ δὲ καὶ Βάτοι, καὶ Παλίουροι, καὶ τὰ ἄλλα· δένδρα δὲ, καθάπερ Ἰτέα, Λεύκη, Πλάτανος. τὰ μὲν, ὥστε ὑπὸ τοῦ ὕδατος κατακρύπτεσθαι, τὰ δὲ, ὥστε μικρὸν ὑπερέχειν· τῶν δὲ αἱ μὲν ῥίζαι καὶ μικρὸν τοῦ στελέχους ἐν τῷ ὑγρῷ τὸ δὲ ἄλλο πᾶν σῶμα ἔξω. τοῦτο γὰρ καὶ Ἰτέᾳ, καὶ Κλήθρᾳ, καὶ Πλατάνῳ, καὶ Φιλύρᾳ, καὶ πᾶσι τοῖς φιλύδροις συμβαίνει. σχεδὸν δὲ καὶ ταῦτα κοινὰ πάντων τῶν ποταμῶν ἐστιν, ἐπεὶ καὶ ἐν τῷ Νείλῳ πέφυκεν οὐ μὴν πολλήγε ἡ Πλάτανος, ἀλλὰ σπανιώτερά ἐστι ταύτης, καὶ ἡ Λεύκη· πλείστη δὲ Μελία, καὶ [z] Βουμελία. τῶν γοῦν ἐν Αἰγύπτῳ φυομένων, τὸ μὲν ὅλον πολὺ πλῆθός ἐστιν εἰς τὸ ἀριθμήσασθαι καθ' ἕκαστον· οὐ μὴν ἀλλ', ὥστε ἁπλῶς εἰπεῖν, ἅπαντα ἐδάδιμα, καὶ χυλοὺς ἔχοντα γλυκεῖς· διαφέρειν δὲ δοκεῖ τῇ γλυκύτητι, καὶ τῷ τρόφιμα

y ἃ καὶ Bod.

z Βουμίλιος. Bod.

μάλιστα εἶναι, τρία ταῦτα· ὅ, τε Πάπυρος, καὶ τὸ καλούμενον Σάρι, καὶ τρίτον, ὃ Μνάσιον καλοῦσι. φύεται δὲ ὁ Πάπυρος οὐκ ἐν βάθει τοῦ ὕδατος, ἀλλ' ὅσον ἐν δύο πήχεσιν, ἐνιαχοῦ δὲ καὶ ἐλάττονι. πάχος μὲν οὖν τῆς ῥίζης ὡς καρπὸς ἀνδρὸς εὐρώστου, μῆκος δὲ, ὑπὲρ δέκα πήχεις· φύεται δὲ ὑπ' ἐκ τῆς γῆς αὐτῆς, πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖσα, λεπτὰς, καὶ πυκνὰς, ἄνω δὲ, τοὺς *παπύρους καλουμένους, τριγώνους, μέγεθος ὡς τετραπήχεις, *κόμην ἔχοντας [a] ἀχρεῖαν, ἀσθενῆ, καρπὸν δὲ ὅλως οὐδένα· τούτους δ' ἀναδίδωσι κατὰ πολλὰ μέρη· χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων, οὐ μόνον τῷ καίειν, ἀλλὰ καὶ τῷ σκεύη ἄλλα ποιεῖν ἐξ [b] αὐτῶν παντοδαπά. (πολὺ γὰρ ἔχει τὸ ξύλον καὶ καλόν.) αὐτὸς δὲ ὁ Πάπυρος πρὸς πλεῖστα χρήσιμος, καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ, καὶ ἐκ τῆς βίβλου ἱστία τε πλέκουσι, καὶ *ψιάθους, καὶ ἐσθῆτάς τινας, καὶ στρωμνὰς, καὶ σχοινία τε, καὶ ἕτερα πλείω· καὶ ἐμφάνεσταται δὴ τοῖς ἔξω, τὰ *βιβλία· μάλιστα δὲ, καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ' αὐτοῦ γίνεται, μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ Πάπυρον, καὶ ὠμὸν, καὶ ἑφθὸν, καὶ ὀπτόν· καὶ τὸν μὲν χυλὸν καταπίνουσι, τὸ δὲ μάσημα ἐκβάλλουσιν. ὁ μὲν οὖν Πάπυρος τοιοῦτός τε καὶ τοιαῦτας παρέχεται τὰς χρείας. γίνεται δὲ ἐν Συρίᾳ περὶ τὴν λίμνην, ἐν ᾗ καὶ ὁ Κάλαμος ὁ εὐώδης, ὅθεν καὶ Ἀντίγονος εἰς τὰς ναῦς ἐποιεῖτο τὰ σχοινία. τὸ δὲ Σάρι, φύεται μὲν ἐν τῷ ὕδατι περὶ τὰ ἕλη, καὶ τὰ πεδία, ἐπειδὰν ὁ ποταμὸς ἀπέλθῃ· ῥίζαν δὲ ἔχει σκληρὰν καὶ συνεστραμμένην, καὶ ἐξ αὐτῆς φύεται τὰ *σαρία καλούμενα. ταῦτα δὲ,

[a] ἀκρίαν, i. e. θυρσίνην, Const. [b] αὐτοῦ Bod.

μῆκος μὲν εἰς δύο πήχεις, πάχος δὲ ἡλίκον ὁ δάκτυλος ὁ μέγας τῆς χειρός· τρίγωνον δὲ τοῦτο, καθάπερ ὁ Πάπυρος, καὶ κόμην ἔχον παραπλήσιον. μασώμενοι δὲ ἐκβάλλουσι καὶ τούτου τὸ μάσημα· τῇ ῥίζῃ δὲ οἱ σιδηρουργοὶ χρῶνται, τὸν γὰρ ἄνθρακα ποιεῖ χρηστόν, διὰ τὸ σκληρὸν εἶναι τὸ ξύλον. τὸ δὲ Μνάσιον ποώδές ἐστιν, ὥστε οὐδεμίαν παρέχεται χρείαν, πλὴν εἰς τροφήν· καὶ τὰ μὲν γλυκύτητι διαφέροντα, ταῦτά ἐστι. φύεται δὲ καὶ ἕτερον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, ὃ οὐ συνάπτει τῇ γῇ· τὴν μὲν φύσιν ὅμοιον τοῖς κρίνοις· πολυφυλλότερον δὲ, καὶ παράλληλα τὰ φύλλα καθάπερ ἐν διστοιχίᾳ. χρῶμα δὲ χλωρὸν ἔχει σφόδρα· (χρῶνται δὲ οἱ ἰατροὶ πρόστε τὰ γυναικεῖα αὐτῶν, καὶ πρὸς τὰ κατάγματα·) συμβαίνει δ' ὥσπερ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπ' αὐτῶν πλείω ταὐτά· γίνεται δ' ἐν τῷ ποταμῷ, εἰ μὴ ὁ ῥοῦς ἐξέφερεν.

CAP. X.

Arum Colocasia L. Nymphæa, Lotus: Cyperus, esculentus.

Ὁ δὲ Κύαμος φύεται μὲν ἐν [c] Αἰγύπτῳ ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, καυλὸς δὲ αὐτοῦ μῆκος μὲν, ὁ μακρότατος, εἰς τέτταρας πήχεις, πάχος δὲ δακτυλιαῖος· ὅμοιος δὲ Καλάμῳ [d] μακρῷ, ἀγόνατος· *διαφύσεις δὲ ἔνδοθεν ἔχει διόλου. [e] ἐπὶ τούτῳ δὲ ἡ *κωδία παρόμοια [f] σφηκίῳ περιφερεῖ, καὶ ἐν ἑκάστῳ τῶν [g] *κυττάρων

[c] Αἰγύπτῳ deest Bod. [d] μαλακῷ, ἀγονάτῳ. Bod. διασχίσεις. Scal. [e] Vid. not. ad fin. libri. [f] σφοκίῳ Bas. Vid. not. ad fin. libri. [g] κητάρων Bas.

κύαμος μικρὸν ὑπεραίρων αὐτοῦ. πλῆθος δὲ οἱ πλεῖστοι τριάκοντα, τὸ δὲ ἄνθος διπλάσιον ἢ Μήκωνος, χρῶμα δὲ ὅμοιον ῥόδῳ *κατακορές· ἐπάνω δὲ τοῦ ὕδατος ἡ κωδία· παραφύεται δὲ φύλλα μεγάλα παρ' ἕκαστον τῶν κυάμων, ὧν καὶ τὰ μεγέθη πίλῳ θετταλικῇ [h] ἔοικεν, τὸν αὐτὸν ἔχοντα καυλὸν τῷ τῶν κυάμων· συντρίψαντι δ' ἕκαστον τῶν κυάμων, φανερόν ἐστι [i] τὶ μικρὸν συνεστραμμένον ἐξ οὗ γίνεται ἡ *πίλος. τὰ μὲν οὖν περὶ τὸν καρπὸν, τοιαῦτα, ἡ δὲ ῥίζα παχυτέρα τοῦ Καλάμου τοῦ παχυτάτου, καὶ διαφύσεις ὁμοίως ἔχουσα ἐν τῷ καυλῷ· ἐσθίουσι δ' αὐτὴν καὶ ὠμὴν, καὶ ἑφθὴν, καὶ ὀπτὴν, καὶ γὰρ οἱ περὶ τὰ ἕλη, τούτῳ ὡς σίτῳ χρῶνται. φύεται μὲν οὖν καὶ πολὺς αὐτόματος, οὐ μὴν ἀλλὰ καταβάλλουσιν ἐν πηλῷ, [k] ἀχυρώσαντες εὖ μάλα πρὸς τὸ μὴ κατενεχθῆναί γε, καὶ διαφθαρῆναι. καὶ οὕτω κατασκευάζουσι τοὺς *κυάμονας, ἂν δ' ἅπαξ ἀντιλάβηται, μένει διὰ τέλους, ἰσχυρὰ γὰρ ἡ ῥίζα καὶ οὐ πόῤῥω τῆς τῶν Καλάμων, [l] πλὴν ἐπακανθίζουσα, διὸ καὶ ὁ Κροκόδειλος φεύγει, μὴ προσκόψῃ τῷ ὀφθαλμῷ, τῷ μὴ ὀξὺ καθορᾶν. γίνεται δὲ οὗτος καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν, ἀλλ' οὐκ ἐκπέτουσιν αἱ χῶραι· περὶ δὲ Τραύνην τῆς Χαλκιδικῆς, ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὐτὴ πέττει καὶ τελειοῖ καὶ τελεοκαρπεῖ. ὁ δὲ Λωτὸς καλούμενος, φύεται μὲν ὁ πλεῖστος ἐν τοῖς πεδίοις, ὅταν ἡ χώρα κατακλυσθῇ· τούτῳ δὲ ἡ μὲν τοῦ καυλοῦ φύσις ὁμοία τῇ τοῦ Κυάμου. καὶ οἱ *πέτασοι δὲ ὡσαύτως, πλὴν ἐλάττους καὶ λεπτότεροι. ἐπιφύεται δ' ὅμοιόν τι ὁ

[h] ἔοικε deest Bod. [i] τὸ συνεστραμμένον Bod. τὸ πικρὸν (fors. μικρὸν) συνεστραμμένον Const. [k] ἀχυρώσαντες Bod. φυράσαντες Const. [l] καύλος ἐπακανθίζων, Const.

Λωτὸς τῷ τοῦ Κυάμου, καὶ τὸ ἄνθος αὐτοῦ λευκὸν, ἐμφερὲς δὲ τῇ στενότητι τῶν φύλλων τοῖς τῶν Κρίνων· πολλὰ δὲ καὶ πυκνὰ [m] ἐπαλλήλως φύεται. ταῦτα δ', ὅταν μὲν ὁ ἥλιος [n] [δύῃ] συμμύει καὶ συγκαλύπτει τὴν κωδίαν, ἅμα δὲ τῇ ἀνατολῇ διοίγεται, καὶ ὑπὲρ τοῦ ὕδατος γίνεται. τοῦτο δὲ ποιεῖ, μέχρις ἂν ἡ κωδία ἐκτελεωθῇ, καὶ τὰ ἄνθη περιῤῥυῇ. τῆς δὲ κωδίας τὸ μέγεθος ἡλίκον Μήκωνος τῆς μεγίστης, καὶ διέζωται ταῖς * κατατομαῖς τὸν αὐτὸν τρόπον τῇ Μήκωνι. πλὴν πυκνότερος, καὶ ἐν ταύταις ὁ καρπός· ἔστι δὲ παρόμοιος τῇ Κέγχῳ. ἐν δὲ τῷ Εὐφράτῃ τὴν κωδίαν φασὶ, καὶ τὰ ἄνθη δύνειν, καὶ ὑποκαταβαίνειν τῆς ὥρας δειλινῆς μέχρι [o] μεσονυκτίου· καὶ τῷ βάθει πόῤῥω, οὐδὲ γὰρ καθίεντα τὴν χεῖρα λαβεῖν εἶναι· μετὰ δὲ ταῦτα ὅταν ὄρθρος ᾖ, πάλιν ἐπανιέναι, καὶ πρὸς ἡμέραν ἔτι μᾶλλον, ἅμα τῷ ἡλίῳ φανερὸν ὑπὲρ τοῦ ὕδατος, καὶ ἀνοίγειν τὸ ἄνθος· ἀνοιχθέντος δὲ ἔτι ἀναβαίνειν, συχνὸν δ' εἶναι τὸ ὑπεραῖρον τὸ ὕδωρ. τὰς δὲ κωδίας ταύτας οἱ Αἰγύπτιοι συνθέντες εἰς τὸ αὐτὸ, σήπουσιν, ἐπὰν δὲ σαπῇ τὸ κέλυφος, ἐν τῷ ποταμῷ κλύζοντες, ἐξαίρουσι τὸν καρπόν· ξηράναντες δὲ καὶ ὀπτήσαντες, ἄρτους ποιοῦσι, καὶ τούτῳ χρῶνται ὡς σιτίῳ· ἡ δὲ ῥίζα τοῦ Λωτοῦ καλεῖται μὲν * κόρσιον, ἔστι δὲ στρογγύλη, τὸ μέγεθος ἡλίκον μῆλον * κυδώνιον· φλοιὸς δὲ περίκειται περὶ αὐτὴν μέλας, ἐμφερὴς τῷ * κασταναϊκῷ καρύῳ, τὸ δὲ ἐντὸς λευκόν· ἑψόμενον δὲ, ἢ καὶ ὀπτώμενον γίνεται [p] * λεκιθῶδες, ἡδὺ δὲ τῇ * προσφορᾷ· ἐσθίεται δὲ καὶ ὠμὸν, ἀρίστη δὲ ἐν

[m] ἐπαλλήλους Bod. [n] δύεται Const. δύῃ deest Bod.
[o] μεσοιννύκτων, Bod. [p] λεκυθῶδες, Bod.

τῷ ὕδατι, [q] ἐφθὴ ἢ καὶ ὀπτή. καὶ τὰ μὲν ἐν τοῖς ὕδασι σχεδὸν ταῦτά ἐστιν. ἐν δὲ τοῖς ἀμμώδεσι χωρίοις, ἃ ἐστιν οὐ πόρρω τοῦ ποταμοῦ, φύεται κατὰ γῆς, ὃ καλεῖται Μαλιναθάλλη, στρογγύλον τῷ σχήματι, μέγεθος δὲ ἡλίκον μέσπιλον, ἀπύρηνον δὲ καὶ ἄφλοιον· φύλλα δὲ ἀφίησιν ἀπ' αὐτοῦ ὅμοια Κυπείρῳ· [r] τοῦτο συνάγοντες οἱ κατὰ τὴν χώραν, ἑψοῦσιν ἐν βρυτῷ, τῷ ἀπὸ τῶν κριθῶν, καὶ γίνεται [s] γλυκὺ σφόδρα. χρῶνται δὲ πάντες ὥσπερ *τραγήμασι. τοῖς δὲ βουσὶ καὶ τοῖς προβάτοις ἅπαντα μὲν τὰ φυόμενα ἐδώδιμά ἐστιν· ἓν δέ τι γένος ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι φύεται *διαφέρον· ὃ καὶ χλωρὸν νέμονται, καὶ ξηραίροντες παρέχουσι κατὰ χειμῶνα τοῖς βουσὶν, ὅταν ἐργάζωνται, καὶ τὰ σώματα ἔχουσιν εὐσιτοῦντα, λαμβάνοντες οὐθέν· ἔστι καὶ ἄλλο παραφυόμενον αὐτόματον ἐν τῷ Σίτῳ· τοῦτο δὲ, ὅταν ὁ Σῖτος ᾖ καθαρὸς, [t] *ὑποπτίσσαντες καταβάλλουσι τοῦ χειμῶνος ὑγρὸν εἰς τὴν γῆν· βλαστήσαντος δὲ, τεμόντες καὶ ξηράναντες παρέχουσι καὶ τοῦτο βουσὶ καὶ ἵπποις καὶ τοῖς ὑποζυγίοις, σὺν τῷ καρπῷ [u] τῷ ἐπιγινομένῳ. ὁ δὲ καρπὸς, μέγεθος μὲν ἡλίκον σήσαμον, στρογγύλος δὲ, καὶ τῷ χρώματι χλωρὸς, ἀγαθὸς δὲ διαφερόντως.

CAP. XI.

Plantæ fluviatiles, et palustres Lucus Orchomenii.

ΕΝ Αἰγύπτῳ μὲν οὖν τὰ πάντα σχεδὸν ταῦτα ἄντις λάβοι, ἕκαστοι δὲ τῶν ποταμῶν ἐοίκασιν ἴδιόν τι φέρειν, ὥσπερ καὶ τῶν χερσαίων. ἐπεὶ οὐδὲ ὁ Τρίβολος

[q] αὐτὴ ὠμή. Bod. [r] ταῦτα Bod. [s] γλυκία Bod. ὑποπτήσαντες Bod. [t] τοῦ ἐπιγινομένου. Bod.

ἐν ἅπασιν, οὐδὲ πανταχοῦ φύεται, ἀλλ' ἐν τοῖς ἑλώδεσι τῶν ποταμῶν· οὐκ ἐν μεγίστῳ δὲ βάθει, ἢ πενταπήχει, ἢ μικρῷ μείζονι, καθὰ οἱ περὶ τὸν Στρύμωνα· σχεδὸν δ' ἐν τοσούτῳ καὶ ὁ Κάλαμος, καὶ τὰ ἄλλα. ὑπερέχει δὲ οὐθὲν αὐτοῦ, πλὴν αὐτὰ τὰ φύλλα, ὥσπερ [x] *ἐπινέοντα καὶ κρύπτοντα τὸν *τρίβολον. ὁ δὲ τρίβολος αὐτὸς ἐν τῷ ὕδατι νεύει εἰς βυθόν· τὸ δὲ φύλλον ἐστὶ πλατὺ, προσεμφερὲς τῷ τῆς Πτελέας, μίσχον δὲ ἔχει σφόδρα μακρὸν, ὁ δὲ καυλὸς ἐξ ἄκρου παχύτατος, ὅθεν τὰ φύλλα καὶ ὁ καρπὸς, τὰ δὲ κάτω λεπτότερος ἀεὶ μέχρι τῆς ῥίζης. ἔχει δὲ ἀποπεφυκότα ἀπ' αὐτοῦ [y] τριχώδη [τινά]· τὰ μὲν πλεῖστα παράλληλα· τὰ δὲ, καὶ *παραλλάττοντα, κάτωθεν ἀπὸ τῆς ῥίζης μεγάλα, τὰ δὲ ἄνω ἀεὶ ἐλάττω προϊοῦσιν, ὥστε τὰ τελευταῖα μικρὰ πάμπαν εἶναι· καὶ τὴν διαφορὰν μεγάλην τὴν τῆς ῥίζης πρὸς τὸν [z] καυλόν· καὶ *παραβλαστήματα πλείω· (καὶ γὰρ τρία καὶ τέτταρα.) μέγιστον δ' ἀεὶ τὸ πλησιέστερον τῆς ῥίζης, εἶτα τὰ μετὰ τοῦτο, καὶ τὰ ἄλλα κατὰ λόγον· τὸ δὲ παραβλάστημά ἐστιν ὥσπερ καυλὸς ἄλλος, λεπτότερος μὲν τοῦ πρώτου, τὰ δὲ φύλλα καὶ τὸν καρπὸν ἔχων ὁμοίως· ὁ δὲ καρπὸς μέλας, καὶ σκληρὸς σφόδρα· ῥίζαν δὲ ἡλίκην, καὶ [a] ποίαν ἔχει, σκεπτέον. ἡ μὲν οὖν φύσις, τοιαύτη· φύεται μέντοι ἀπὸ τοῦ καρποῦ πίπτοντος, καὶ ἀφίησι βλαστὸν τοῦ ἦρος. φασὶ δ' οἱ μὲν εἶναι ἐπέτειον, οἱ δὲ διαμένειν τὴν μὲν ῥίζαν εἰς χρόνον, ἐξ ἧς καὶ τὴν βλάστησιν εἶναι τοῦ καυλοῦ· τοῦτο μὲν οὖν σκεπτέον· ἴδιον δὲ παρὰ τῶν ἄλλων, τὸ τῶν παρα-

[x] ἐπινεύοντα Theod. [y] τριχώδη· τὰ μὲν Bod. [z] καρπόν. Bod. [a] ποάν Bod.

φυομένων ἐκ τοῦ καυλοῦ τριχωδῶν, οὔτε γὰρ φύλλα ταῦτα, οὔτε καυλὸς, ἐπεὶ τόγε τῆς παραβλαστήσεως, κοινὸν Καλάμου καὶ ἄλλου· τὰ μὲν οὖν ἴδια θεωρητέον ἰδίως δηλονότι, τὰ δὲ ἄλλα κοινῶς· διαιρεῖν δὲ χρὴ καὶ κατὰ τόπους, οἷον εἰ τὰ μὲν ἕλεια, τὰ δὲ, λιμναῖα, τὰ δὲ ποτάμια, μᾶλλον ἢ καὶ κοινὰ πάντων τῶν τόπων. διαιρεῖν δὲ, ποῖα ταῦτα ἐν τῷ ὑγρῷ, καὶ ποῖα ἐν τῷ ξηρῷ φύεται, καὶ ποῖα ἐν τῷ ὑγρῷ μόνον, ὡς δ' ἁπλῶς εἰπεῖν, τὰ κοινότατα προσειρημένα πρότερον. ἐν οὖν τῇ λίμνῃ, τῇ περὶ Ὀρχομενὸν τὰ δ' ἐστὶ τὰ φυόμενα, δένδρα καὶ ὑλήματα· Ἰτέα, [b] Ἐλείαγνος, Σίδη, Κάλαμος, (ὅ, τε αὐλητικὸς καὶ ὁ ἕτερος,) Κύπειρος, Φλειὼ, Τύφη. ἔτιγε μὴν [c] Μηνυάνθες, καὶ τὸ καλούμενον Ἴπνον. ὃ γὰρ προσαγορεύουσι Λέμναν, τοῦτο πλεῖον τὸ καθ' ὕδατός ἐστι. τούτων δὲ τὰ μὲν ἄλλα γνώριμα, ἡ δὲ Ἐλαίαγνος, καὶ ἡ Σίδη, καὶ ἡ [d] Μηνυάνθες, καὶ ἡ Ἴκμη, καὶ τὸ Ἴπνον, ἴσως μὲν φύεται καὶ ἑτέρωθι, προσαγορεύεται δὲ ἄλλοις ὀνόμασι· λεκτέον δὲ περὶ αὐτῶν. ἔστι δὲ ἡ μὲν Ἐλείαγνος, φυτὸν θαμνῶδες, καὶ παρόμοιον [e] τῷ Ἄγνῳ· φύλλον δὲ ἔχει τῷ μὲν σχήματι παραπλήσιον (τούτῳ·) μαλακὸν δὲ, ὥσπερ [f] τὰ τῆς Μηλέας· [g] ἄνθος δὲ *χνοῶδες· καρπὸν δὲ οὐδένα φέρει. φύεται δὲ ὁ πλεῖστος μὲν ἐπὶ τῶν *πλοάδων νήσων· εἰσὶ γάρ τινες καὶ ἐνταῦθα πλοάδες, ὥσπερ ἐν Αἰγύπτῳ περὶ τὰ ἕλη, καὶ ἐν Θεσπρωτίδι, καὶ ἐν ἄλλαις λίμναις, ἐλάττω δὲ καθ' ὕδατος· ἡ μὲν οὖν Ἐλείαγνος τοιοῦτον. ἡ δὲ Σίδη

[b] ἐλαία, ἄγνος, Scal. [c] μήνανθος, Bod. [d] μήνανθος, Bod. [e] τοῖς ἄλλοις. Bod. [f] αἱ Μηλέαι· Bod. [g] καὶ χνοῶδες. ἄνθος δὲ, τῷ τῆς λεύκης ὅμοιον, ἔλαττον δέ. καρπὸν δὲ Bod. Vid. not. ad fin. libri.

τὴν μὲν μορφὴν ἐστιν ὅμοια τῇ Μήκωνι, κατὰ γὰρ τὸ ἄνω κωδιῶδες τοιοῦτον ἔχει, πλὴν μεῖζον ὡς κατὰ λόγον· μεγέθει δὲ ὅλος ὁ ὄγκος, ἡλίκον μῆλον. ἔστι δ' οὐ γυμνὸν, ἀλλὰ ὑμένες περὶ αὐτὴν λευκοὶ, καὶ ἐπὶ τούτοις ἔξωθεν φύλλα πόδη, παραπλήσια τοῖς τῶν *ῥόων, ὅταν ἐν κάλυξιν ὦσι, τέτταρα τὸν ἀριθμόν· ἀνοιχθεῖσα δὲ, τοὺς κόκκους ἐρυθροὺς μὲν ἔχει, τῷ χρήματι δ' οὐχ ὁμοίους [h] τοῖς τῶν ῥόων, ἀλλὰ περιφερεῖς, μικροὺς δὲ, καὶ οὐ πολλῷ μείζους *κέγχρου· τὸν δὲ χυλὸν ὑδατώδη τινὰ, καθάπερ ὁ τῶν [i] ῥόων. ἀδρύνεται δὲ τοῦ θέρους, μίσχον δὲ ἔχει μικρὸν, τὸ δὲ ἄνθος ὅμοιον ῥόου κάλυκι· μεῖζον δὲ [καρπὸν] καὶ σχεδὸν διπλάσιον τῷ μεγέθει· [k] τούτου μὲν οὖν καὶ τὸ φύλλον ἐπὶ τοῦ ὕδατος, μετὰ δὲ ταῦτα, ὅταν ἀπανθήσῃ, καὶ συστῇ τὸ κατακάρπιον, κατακλίνεσθαί φασιν εἰς τὸ ὕδωρ μᾶλλον, τέλος δὲ συνάπλειν ἐπὶ τῇ γῇ, καὶ τὸν καρπὸν ἐκχεῖν. καρποφορεῖ δὲ τῶν ἐν τῇ λίμνῃ τοῦτο, καὶ ὁ Βούτομος, καὶ τὸ Φλεώς· εἶναι δὲ τοῦ Βουτόμου καρπὸν μέλανα, τῷ δὲ μεγέθει παραπλήσιον τοῦ τῆς Σίδης· τοῦ δὲ Φλεὼς τὴν καλουμένην *ἀνθήλην, [l] ᾗ χρῶνται πρὸς τὰς [m] *κονιάσεις· τοῦτο δ' ἐστὶν, οἷον πλακουντῶδές τι μαλακὸν, *ἐπίπυρον. ἔτι δὲ καὶ τοῦ Φλεὼς καὶ τοῦ Βατόμου, τὸ μὲν θῆλυ ἄκαρπον, χρήσιμον δὲ πρὸς τὰ πλόκαμα, τὸ δὲ ἄρρεν ἀχρεῖον. περὶ δὲ τῆς Ἴκμης καὶ τοῦ [n] Μηνυάνθους καὶ τοῦ Ἴπνου σκεπτέον. ἰδιώτατον δὲ τούτων ἐστὶν ἡ [o] Τύφη, καὶ τῷ ἄφυλλον εἶναι, καὶ τῷ μὴ πολύρριζον τοῖς ἄλλοις ὁμοίως· ἐπεὶ τ' ἄλλα, οὐχ ἧττον εἰς τὰ

h ταῖς ῥίζαις, Bod. i πυρῶν. Bod. k τοῦτο Scal. l ᾗ Bod. m κονίας. Bod. n Μηνάνθους Bod. o Τίφη, Bod.

κάτω τὴν ὁρμὴν ἔχει καὶ τὴν δύναμιν, μάλιστα δὲ ὁ Κύπειρος, ὥσπερ καὶ ἡ Ἄγρωστις, διὸ καὶ δυσώλεθρα καὶ ταῦτα, καὶ ὅλως ἅπαν τὸ γένος τὸ τοιοῦτον. ἡ δὲ ῥίζα τοῦ Κυπείρου πολύ τι τῶν ἄλλων παραλλάττει τῇ ἀνωμαλίᾳ, τῷ, τὸ μὲν εἶναι παχύ τι καὶ σαρκῶδες αὐτῆς, τὸ δὲ λεπτὸν καὶ ξυλῶδες, καὶ τῇ βλαστήσει καὶ τῇ γενέσει· φύεται γὰρ ἀπὸ [p] τῆς πρεμνώδους [ῥίζης]. ἑτέρα λεπτὴ κατὰ τὸ πλάγιον, εἶτ' ἐν ταύτῃ συνίσταται πάλιν τι σαρκῶδες, ἀφ' ἧ ὁ καυλὸς, ἐν ᾧ δὲ καὶ ὁ βλαστός· ἀφίησι δὲ καὶ εἰς βάθος τὸν αὐτὸν τρόπον ῥίζας, διὸ καὶ πάντων μάλιστα δυσώλεθρον, καὶ ἔργον ἐστὶν ἐξελεῖν. κεδὸν δὲ παραπλησίως φύεται ἡ Ἄγρωστις ἐκ τῶν γονάτων, αἱ γὰρ ῥίζαι γονατώδεις· [q] ἐξ ἑκάστης δὲ ἀφίησιν [r] ἀνὼ βλαστὸν κάτωθεν ῥίζαν. ὡσαύτως δὲ καὶ ἡ Ἄκανθα ἡ Κεάνωθος, ἀλλ' οὐ καλαμώδης, οὐ δὲ γονατώδης ἡ ῥίζα ταύτης· ταῦτα μὲν οὖν διὰ τὴν ὁμοιότητα πλείω εἴρηται. φύεται δὲ ἐν ἀμφοῖν, καὶ ἐν τῇ γῇ, καὶ ἐν τῷ ὕδατι, Ἰτέα, Κάλαμος, ὁ Αὐλητικὸς, Κύπειρος, Τύφη, Φλεὼς, Βούτομος· ἐν δὲ τῷ ὕδατι μόνον Σίδη· περὶ γὰρ τῆς Τύφης ἀμφισβητοῦσιν. καλλίω δὲ καὶ μείζω τῶν ἐν ἀμφοῖν φυομένων ἀεὶ τὰ ἐν τῷ ὕδατι γίνεσθαι, φασί. φύεσθαι δ' ἔνια τούτων καὶ ἐπὶ τῶν πλοάίων, οἷον, ὁ Κύπειρος, καὶ ὁ Βούτομος, καὶ τὸ Φλεώς. ὥστε πάντα τὰ μέρη ταῦτα κατέχειν. ἐδώδιμα δ' ἐστὶ τῶν ἐν τῇ λίμνῃ τάδε· ἡ μὲν Σίδη· καὶ [s] αὐτῆς τὰ φύλλα τοῖς προβάτοις, ὁ δὲ βλαστὸς, τοῖς ὑσὶν, ὁ δὲ καρπὸς, τοῖς ἀνθρώποις. τοῦ δὲ Φλεὼ, καὶ τῆς Τύφης, καὶ τοῦ

[p] τοῦ πρεμνώδους, Bod. [q] ἑκάστου Bod. [r] ἀνάβλαστον, καθάπερ ῥίζαν. Bod. [s] αὐτὴ, καὶ τὰ φύλλα Bod.

Βουτόμου τὸ πρὸς ταῖς ῥίζαις ἁπαλὸν, ὃ μάλιςα ἐσθίει τὰ παιδία. ῥίζα δ' ἐδώδιμος ἡ τοῦ Φλεὼ μόνη τοῖς βοσκήμασιν· ὅταν δὲ αὐχμὸς ᾖ, καὶ μὴ γένηται τὸ κατὰ κεφαλὴν ὕδωρ, ἅπαντα αὐχμεῖ τὰ ἐν τῇ λίμνῃ, μάλιςα δὲ ὁ Κάλαμος, ὑπὲρ οὗ καὶ λοιπὸν εἰπεῖν. ὑπὲρ γὰρ τῶν ἄλλων σχεδὸν εἴρηται.

CAP. XII.

Arundinis, et Cannæ Species.

ΤΟΥ δὴ Καλάμου δύο φασὶν εἶναι γένη, τόν τε Αὐλητικὸν, καὶ τὸν ἕτερον· καὶ γένη φασὶν εἶναι τοῦ ἑτέρου, διαφέρειν δὲ ἀλλήλων [t] ἰσχύι, καὶ ἀσθενείᾳ· καὶ παχύτητι, καὶ λεπτότητι. καλοῦσι δὲ τὸν μὲν ἰσχυρὸν καὶ παχὺν, Χαρακίαν, τὸν δ' ἕτερον, Πλόκιμον. φύεσθαι δὲ, τὸν μὲν [u] Πλόκιμον ἐπὶ τῶν πλοάδων, τὸν δὲ Χαρακίαν, ἐπὶ τοῖς *κώμυσι· κώμυθας δὲ καλοῦσι, οὗ ἂν ᾖ συνηθροισμένος ὁ Κάλαμος, καὶ συμπεπλεγμένος ταῖς ῥίζαις· τοῦτο δὲ γίνεται καθ' οὓς ἂν τόπους τῆς λίμνης εὔγειον ᾖ χωρίον. γίνεσθαι δέ ποτε τὸν Χαρακίαν καὶ οὗ ὁ Αὐλητικός· μακρότερον [x] τὸν μὲν τοῦ Χαρακίου, σκωληκόβρωτον δέ· τούτων μὲν οὖν ταύτας λέγουσι τὰς διαφοράς· περὶ δὲ τοῦ Αὐλητικοῦ, τὸ μὲν, φύεσθαι *δι' ἐνναετηρίδος, ὥσπερ τινές φασι, καὶ ταύτην εἶναι τὴν τάξιν, οὐκ ἀληθὲς δέ· ἀλλὰ τὸ μὲν ὅλον αὐξηθείσης γίνεται τῆς λίμνης· ὅτι δὲ τοῦτο [y] δοκεῖ συμβαίνειν ἐν τοῖς πρότερον χρόνοις μάλιστα δι' ἐννεατηρίδος, καὶ τὴν γένεσιν τοῦ καλάμου ταύτην ἐποίουν, τὸ

[t] ἰσχύι, καὶ λιπτότητι, καὶ ἀσθενείᾳ. Bod. [u] πλωτίμων Plin. [x] τὴν τοῦ ἄλλου Bod. [y] ἐδόκει Const.

συμβεβηκὸς ὡς τάξιν λαμβάνοντες. γίνεται δ' ὅταν ἐπομβρίας γενομένης διεμμένῃ τὸ ὕδωρ, [z] διετὲς τοὐλάχιστον ἂν, πλείω καὶ καλλίω. τούτου δὲ μάλιστα μνημονεύουσι γεγονότος τῶν ὕστερον χρόνων, ὅτε συνέβη τὰ περὶ Χερώνειαν· πρὸ τούτων γὰρ ἔφασαν [a] ἔτι πλεῖον βαθυνθῆναι τὴν λίμνην· μετὰ δὲ ταῦτα ὕστερον, ὡς ὁ λοιμὸς ἐγένετο σφοδρὸς, πλησθῆναι μὲν αὐτήν· οὐ μείναντος δὲ τοῦ ὕδατος, ἀλλ' ἐκλελειπότος χειμῶνος, οὐ γενέσθαι τὸν κάλαμον. φασὶ γὰρ, (καὶ δοκεῖ) μὴ βαθυνομένης τῆς λίμνης ἄλλα [b] μείναντος [τοῦ ὕδατος] τὸν ἐπιόντα ἐνιαυτὸν, ἀδρύνεσθαι, καὶ γίνεσθαι μὲν ἀδρυθέντα, Ζευγίτην· [c] ἂν δὲ μὴ συμπαραμείνῃ τὸ ὕδωρ, Βομβυκίαν. τὴν μὲν οὖν γένεσιν, τοιαύτην, διαφέρει δὲ τῶν ἄλλων Καλάμων, [ὁ Ζευγίτης,] ὡς καθόλου λαβεῖν, [d] εὐτροφίᾳ τινὶ τῆς φύσεως, ἀπληθέστερον γάρ φασιν εἶναι καὶ ἀσαρκότερον, καὶ ὅλως δὲ θῆλυν τῇ προσόψει, καὶ γὰρ τὸ φύλλον πλατύτερον ἔχει καὶ λευκότερον, τὴν δὲ ἀνθήλην ἐλάττω τῶν ἄλλων. τινὰς δέ φασιν ὅλως οὐκ ἔχειν, οὓς καὶ προσαγορεύουσιν Εὐνουχίας, ἐξ ὧν ἄριστα μέν φασί τινες γενέσθαι τὰ ζεύγη, κατορθοῦν δὲ ὀλίγα, παρὰ τὴν ἐργασίαν. τὴν δὲ τομὴν ὡραίαν, πρὸ Ἀντιγενίδου μὲν, ἡνίκ' ἠύλουν *ἁπλάστως, ὑπ' Ἀρκτούρῳ, Βοηδρομιῶνος μηνός· τὸν γὰρ οὕτω τμηθέντα συχνοῖς μὲν ἔτεσιν ὕστερον γίνεσθαι χρήσιμον, καὶ *προκαταυλήσεως δεῖσθαι πολλῆς, συμμύειν δὲ τὸ στόμα τῶν γλωττῶν, ὃ πρὸς [e] *τὴν διακτορίαν εἶναι χρήσιμον· ἐπεὶ δὲ εἰς τὴν πλάσιν μετέβησαν, ἡ τομὴ

[z] διετῆ τ' οὐ λάχιστον, ἂν Bod. [a] πλείων ἴση Theod.
[b] μείναντες Bod. [c] οὐδ' ἂν μὴ Bod. [d] ἀτροφίᾳ Ald.
[e] διατορίαν Bas.

μετεκινήθη, τέμνουσι γὰρ δὴ νῦν τοῦ σκιροφοριῶνος καὶ ἑκατομβαιῶνος, ὥσπερεὶ πρὸ τροπῶν μικρὸν, ἢ ὑπὸ τροπάς. γίνεσθαι δέ φασιν τρίενόν τε χρήσιμον, καὶ *καταυλήσεως βραχείας δεῖσθαι· καὶ *κατασπάσματα τὰς *γλώττας ἔχειν· τοῦτο δὲ ἀναγκαῖον τοῖς μετὰ *πλάσματος αὐλοῦσι. τοῦ μὲν οὖν Ζευγίτου ταύτας εἶναι τὰς ὥρας τῆς τομῆς· ἡ δ' ἐργασία γίνεται [f] τοῦτον τὸν τρόπον· ὅταν συλλέξωσι, τιθέασιν ὑπαίθριον τοῦ χειμῶνος ἐν τῷ *λέμματι· τοῦ δ' ἤρος περικαθάραντες, καὶ ἐκτρίψαντες, εἰς τὸν ἥλιον ἔθεσαν· τοῦ θέρους δὲ, μετὰ ταῦτα συντεμνόντες εἰς τὰ *μεσογόνια, πάλιν ὑπαίθριον τιθέασι χρόνον τινά. πρυσλείπουσι δὲ τῷ *μεσογονατίῳ τὸ πρὸς τὰς βλαστοὺς γόνυ· τὰ δὲ μήκη τὰ τούτων οὐ γίνεται διπαλαιστῶν ἐλάττω· βέλτιστα μὲν οὖν εἶναι τῶν μεσογονίων πρὸς τὴν ζευγοποιΐαν, ὅλου τοῦ Καλάμου τὰ μέσα· μαλακώτατα δὲ ἔχει *ζεύγη, τὰ πρὸς τὰς βλαστοὺς, σκληρότατα δὲ τὰ πρὸς τῇ ῥίζῃ. συμφωνεῖν δὲ τὰς *γλώττας τὰς ἐκ τοῦ αὐτοῦ μεσογονατίου, [g] τὰ δὲ ἄλλα οὐ συμφωνεῖν· καὶ τὴν μὲν πρὸς τῇ ῥίζῃ ἀριστερὰν εἶναι. τὴν δὲ πρὸς τοὺς βλαστοὺς δεξιάν· τμηθέντος δὲ δίχα τοῦ μεσογονίου, τὸ στόμα τῆς γλώττης ἑκατέρας γίνεται κατὰ τὴν τοῦ καλάμου τομὴν, ἐὰν δὲ ἄλλον τινὰ τρόπον ἐργασθῶσιν αἱ γλῶτται, ταύτας οὐ πάνυ συμφωνεῖν. ἡ μὲν οὖν ἐργασία, τοιαύτη, φύεται δὲ πλεῖστος μὲν μεταξὺ τοῦ Κηφισοῦ καὶ τοῦ Μέλανος· οὗτος δὲ ὁ τόπος προσαγορεύεται [h] Πελεκανία, τοῦτ' ἔστιν, ἄττα χύτροι καλου-

[f] τὸν αὐτὸν τρόπον· Bod. [g] τὰς δ' ἄλλας Const. [h] Πελικανία, Ald.

μένοι, τὰ βαθύσματα τῆς λίμνης, ἐν οἷς κάλλιστόν φασι γίνεσθαι [Κάλαμον], καθ' ὃν ἡ Προβατία καλουμένη καταφέρεται· τοῦτο δ' ἐστὶ ποταμὸς ῥέων ἐκ Λεβαδίας· κάλλιστος δὲ δοκεῖ γίνεσθαι πάντων Κάλαμων, ὁ περὶ τὴν Ὀξεῖαν καλουμένην Καμπὴν, ὁ δὲ τόπος οὗτός ἐστιν ἡ ἐμβολὴ τοῦ Κηφισοῦ, γειτνιᾷ δ' αὐτῷ πεδίον εὔγειον, ὃ προσαγορεύουσιν Ἱππίαν. πρόσβορρος δὲ τόπος ἄλλος τῆς τε Ὀξείας Καμπῆς ἐστιν, ὃν καλοῦσι Βοηδρίαν, φύεσθαι δέ φασι καὶ κατὰ ταύτην εὐγενῆ τὸν Κάλαμον, τὸ δ' ὅλον οὐ ἂν ᾖ βαθύγειον καὶ εὔγειον χωρίον καὶ *ἰλυῶδες, (i καὶ γὰρ ὁ Κηφισὸς ἀναμίγνυται, καὶ πρὸς τούτοις βάθυσμά ἐστι τῆς λίμνης,) ἐκεῖ κάλλιστον γίνεσθαι Κάλαμον· περὶ γὰρ τὴν Βοηδρίαν, ταῦτα πάντα ὑπάρχει. ὅτι δὲ ὁ Κηφισὸς μεγάλην ἔχει ῥοπὴν εἰς τὸ ποιεῖν καλὸν Κάλαμον, σημεῖον ἔχουσι· καθ' ὃν γὰρ τόπον ὁ Μέλας καλούμενος ἐμβάλλει, μὴ βαθείας οὔσης τῆς λίμνης, οὐδὲ τοῦ ἐδάφους εὐγείου καὶ k ἰλώδους, ἢ ὅλως μὴ φύεσθαι ἢ φαῦλον. ἡ μὲν οὖν γένεσις καὶ φύσις τοῦ Αὐλητικοῦ, καὶ ἡ κατεργασία, καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς ἄλλους, ἱκανῶς εἰρήσθω· γένη δ' οὐ ταῦτα μόνον, ἀλλὰ πλείω τοῦ Καλάμου τυγχάνει, φανερὰς ἔχοντα τῇ αἰσθήσει διαφοράς· ὁ μὲν γὰρ πυκνὸς καὶ τῇ σαρκὶ καὶ τοῖς *γόνασιν· ὁ δὲ, μανὸς καὶ ὀλιγογόνατος· καὶ ὁ μὲν κοῖλος, ὃν καλοῦσί τινες l Σύριγγα· (οὐδὲν γὰρ, ὡς εἰπεῖν, ἔχει ξύλου καὶ σαρκός.) ὁ δὲ, στερεὸς καὶ συμπλήρης μικροῦ δεῖ· καὶ ὁ μὲν, βραχὺς, ὁ δὲ, εὐαυξὴς καὶ ὑψηλὸς καὶ παχύς· καὶ ὁ μὲν λεπτὸς καὶ

i ὁ Κιφισὸς Ald. Bas. Vid. not. ad fin. libri. k ὑλῶδους, Bod. l Συριγγίαν· Diosc.

πολύφυλλος, ὁ δὲ, ὀλιγόφυλλος ἢ καὶ μονόφυλλος, ὅλως δὲ πολλαί τινές εἰσι διαφοραὶ κατὰ τὰς φύσεις καὶ τὰς χρείας· (ἕκαστος γὰρ πρὸς ἕκαστα χρήσιμος.) ὀνόμασι δὲ [m] ἄλλοι ἄλλοις προσαγορεύουσι, κοινότατον δέ πως ὁ Δόναξ, ὃν καὶ *λοχμωδέστατόν γέ φασιν εἶναι, καὶ μάλιστα φύεσθαι παρὰ τοὺς ποταμοὺς καὶ τὰς λίμνας. διαφέρειν δ' ὅμως, παντὸς καλάμου, πολὺ τόν τε ἐν τῷ ξηρῷ, καὶ τὸν ἐν τοῖς ὕδασι φυόμενον. ἴδιος δὲ καὶ ὁ Τοξικὸς, ὃν δὴ Κρητικόν τινες καλοῦσιν, ὀλιγογόνατος γὰρ οὗτος, σαρκωδέστερος δὲ πάντων, καὶ μάλιστα κάμψιν δεχόμενος, καὶ ὅλως ἄγεσθαι δυνάμενος, ὡς ἂν θέλῃ τις, θερμαινόμενος. ἔχει δὲ, ὥσπερ ἐλέχθη, καὶ κατὰ τὰ φύλλα μεγάλας διαφορὰς, οὐ πλήθει καὶ μεγέθει μόνον, ἀλλὰ καὶ χροιᾷ· *ποικίλος γὰρ ὁ Λακωνικὸς καλούμενος· ἔτι δ' αὐτῇ τῇ θέσει καὶ προσφύσει, κάτωθεν γὰρ ἔνιοι πλεῖστα φέρουσι τῶν φύλλων, [n] αὐτὸς δὲ ὥσπερ ἐκ θάμνου πέφυκε. χεδὸν δὲ, τινές φασι, καὶ τῶν λιμναίων ταύτην εἶναι τὴν διαφορὰν, πολύφυλλον καὶ ὀλιγόφυλλον εἶναι, καὶ παρόμοιον ἔχειν τρόπον τινὰ τὸ φύλλον τοῖς Καλάμοις, ὡς ὁ Κυπείρος καὶ [o] Φλεὼς καὶ Βούτομος· [p] σκέψασθαι δὲ δεῖ τοῦτο. γένος δέ τι Καλάμου φύεται καὶ ἐπίγειον, ὃ οὐκ εἰς ὀρθὸν ἀλλ' ἐπὶ γῆς ἀφίησι τὸν καυλὸν, ὥσπερ ἡ Ἄγρωστις, καὶ οὕτω ποιεῖται τὴν αὔξησιν· ἔστι δὲ ὁ μὲν ἄῤῥην στερεὸς, ὁ δὲ θῆλυς, κοῖλος· (διαιροῦσι γὰρ καὶ τοῦτον τῷ ἄῤῥενι καὶ θήλει.) φύονται δ' ἐξ ἑνὸς πυθμένος πολλοὶ, καὶ οὐ λοχμώδεις, τὸ δὲ φύλλον οὐ μακρὸν, ἀλλ' ὅμοιον τῇ Ἰτέᾳ· τῷ μεγέθει

[m] ἄλλοι deest Bod. [n] καυλὸς δὲ Ald. [o] φλεὼ, καὶ βρύου καὶ βουτόμου. Bod. φλεὼ, καὶ φύκου καὶ βούτομου. Const. [p] δεῖν σκέψασθαι δὲ Bod.

δὲ μεγάλοι καὶ εὐπαχεῖς, ὥστε [q] ἀκοντίοις χρῆσθαι· φύονται δὲ οὗτοι περὶ τὸν Ἀκεσίνην ποταμόν. ἅπας δὲ Κάλαμος εὔζωος, καὶ τεμνόμενος καὶ ἐπικαιόμενος καλλίων βλαστάνει. ἔτι δὲ παχύρριζος, καὶ πολύρριζος, διὸ καὶ δυσώλεθρος· ἡ δὲ ρίζα γονατώδης, ὥσπερ ἡ τῆς Ἀγρώστιδος, πλὴν οὐ παντὸς ὁμοίως. ἀλλὰ περὶ μὲν Καλάμων ἱκανῶς εἰρήσθω.

CAP. XIII.

Schœni Spec. et Scirpi, L.

ΚΑΤΑΛΟΙΠΟΝ δὲ εἰπεῖν, ὡς ἂν ἐκ τοῦ γένους τούτου, περὶ Σχοίνου, καὶ γὰρ καὶ τοῦτο τῶν ἐνύδρων θετέον· ἔστι δὲ αὐτοῦ τρία εἴδη, καθάπερ τινὲς διαιροῦσιν ὅ τε ὀξὺς, καὶ ἄκαρπος, ὃν δὴ καλοῦσιν [v] Ἄρρενα, καὶ ὁ Κάρπιμος, ὃν [r] Μελάγκρανιν καλοῦμεν, διὰ τὸ μέλανα τὸν καρπὸν ἔχειν· (παχύτερος δὲ [s] οὗτος καὶ σαρκωδέστερος.) [t] τρίτος δὲ τῷ μεγέθει καὶ τῇ παχύτητι καὶ εὐσαρκίᾳ διαφέρων, ὁ καλούμενος Ὁλόσχοινος. ἡ μὲν οὖν Μελαγκρανὶς, αὐτός τις καθ' αὑτόν· ὁ δ' Ὀξὺς, καὶ Ὁλόσχοινος, ἐκ τοῦ [u] αὐτοῦ φύονται, ὃ καὶ ἄτοπον φαίνεται, καὶ θαυμαστὸν ἐνιδεῖν, ὅλης κοσμηθείσης τῆς *σχοινίας, οἱ πολλοὶ γὰρ ἦσαν ἄκαρποι, πεφυκότες ἐκ τοῦ αὐτοῦ, κάρπιμοι δὲ ὀλίγοι. τοῦτο μὲν οὖν ἐπισκεπτέον, ἐλάττους γὰρ ὅλως οἱ [x] κάρπιμοι. πρὸς δὲ τὰ πλέγματα χρησιμώτερος ὁ Ὁλόσχοινος, διὰ τὸ σαρκῶδες καὶ μαλακόν· *κορυνᾷ δ' ὅλως ὁ κάρπιμος, ἐξ αὐτοῦ τοῦ *γραμμώδους ἐξοιδήσας· κἄπειτα ἐκτίκτει,

[q] ἀκατίοις Plinius? Vid. not. ad fin. libri. [r] Μιλαγκρανισμὸν Bod. [s] τούτου Const. [t] τρίτον Ald. [u] αὐτοῦ ἰκχυρώματος φύονται, Const. [x] καρποί. Bod.

καθάπερ ὠά· πρὸς μιᾷ γὰρ ἀρχῇ [y] γραμμώδει ἔχει τοὺς *περισταχυώδεις μίσχους, ἐφ' ὧν ἄκρων παραπλαγίους τὰς τῶν ἀγγείων ἔχει στρογγυλότητας, [z] ἐπιχασκούσας· ἐν τούτοις δὲ τὸ σπερμάτιον *ἀκιδῶδές ἐστι, μέλαν ἑκάστῳ, προσεμφερὲς τῷ τοῦ [a] Ἀστερίσκου, πλὴν *ἀμενηνότερον· ῥίζαν δὲ ἔχει μακρὰν καὶ παχυτέραν πολὺ [b] ὁ Ὀλόχοινος· αὕτη δὲ αὐαίνεται καθ' ἕκαστον ἐνιαυτὸν, εἶθ' ἑτέρα πάλιν ἀπὸ τῆς *κεφαλῆς τοῦ Σχοίνου καθίεται· τοῦτο δὲ καὶ ἐν τῇ ὄψει φανερὸν ἰδεῖν, τὰς μὲν, αὔας, τὰς δὲ, χλωρὰς καθιεμένας. ἡ δὲ κεφαλὴ ὁμοία τῇ τῶν Κρομμύων καὶ τῇ τῶν Γητείων, συμπεφυκυῖά πως ἐκ πλειόνων εἰς ταὐτό· καὶ πλατεῖα κάτωθεν, ἔχουσα κελύφη ὑπέρυθρα· συμβαίνει δ' ἴδιον ἐπὶ τῶν ῥιζῶν εἶναι, ὅτι αὐαίνονται κατ' ἐνιαυτὸν, καὶ ἐκ τοῦ ἄνωθεν πάλιν ἡ γένεσις. τῶν μὲν οὖν Σχοίνων τοιαύτη τις φύσις· [c] ἤδη δὲ καὶ ὁ Βάτος καὶ ὁ Παλίουρος, *ἔνυδρά πώς ἐστιν, ἢ *πάρυδρα, καθάπερ ἐνιαχοῦ· φανεραὶ δὲ σχεδὸν καὶ αἱ τούτων διαφοραὶ, περὶ ἀμφοῖν γὰρ εἴρηται πρότερον. τῶν δὲ νήσων τῶν πλοάδων τῶν ἐν Ὀρχομενῷ, τὰ μὲν μεγέθη παντοδαπὰ τυγχάνει, τὸ δὲ μέγιστον αὐτῶν ἐστιν ὅσον τριῶν σταδίων τὴν περίμετρον. ἐν Αἰγύπτῳ δὲ μεγάλας σφόδρα [φασὶ] συνίστασθαι, ὥστε καὶ ὗς ἐν αὐτοῖς ἐγγίνεσθαι πολλοὺς, οὓς καὶ κυνηγετοῦσι διαβαίνοντες· καὶ περὶ μὲν ἐνύδρων ταῦτ' εἰρήσθω.

[y] γραμμώδεις Bod. [z] ἐπισχαζούσας· Bod. [a] ἀστιρίκου, Const. [b] τοῦ σχοινοῦ· Bod. [c] εἰδὴ Theod.

CAP. XIV.

Duratio Arborum.

ΠΕΡΙ δὲ βραχυβιότητος φυτῶν καὶ δένδρων· τῶν μὲν ἐνύδρων ἐπὶ τοσοῦτον ἔχομεν, ὡς ἂν καθόλου λέγοντες, ὅτι βραχυβιώτερα τῶν χερσαίων ἐστὶ, καθάπερ καὶ τὰ ζῶα· τῶν δὲ καθ' ἕκαστα *βίους ἱστορῆσαι δεῖ, τῶν χερσαίων· τὰ μὲν οὖν ἄγριά φασιν οὐδεμίαν ἔχειν, ὡς ἂν εἴποιεν οἱ ὀρεοτύποι, διαφορὰν, ἀλλὰ πάντα εἶναι μακρόβια, καὶ οὐθὲν βραχύβιον· αὐτὸ μὲν τοῦτο ἴσως ἀληθὲς λέγοντες, ἅπαντα γὰρ ὑπερτείνει πολὺ τὴν τῶν ἄλλων ζωήν· οὐ μὴν ἀλλ' ὅμως ἐστὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον μακρόβια, καθάπερ ἐν τοῖς ἡμέροις· ποῖα δὲ ταῦτα, σκεπτέον. τὰ δὲ ἥμερα, φανερῶς διαφέρει τῷ τὰ μὲν εἶναι μακρόβια, τὰ δὲ βραχύβια· ὡς δ' ἁπλῶς εἰπεῖν, τὰ ἄγρια τῶν ἡμέρων μακροβιώτερα· καὶ ὅλως [d] ἐν τῷ γένει τὰ *ἀντιδιῃρημένα καθ' ἕκαστον, οἷον Κότινος, Ἐλαίας· καὶ Ἀχρὰς, Ἀπίου· καὶ Ἐρινεὸς, Συκῆς· ἰσχυρότερα γὰρ καὶ πυκνότερα, καὶ [e] ἀγονώτερα τοῖς περικαρπίοις. τὴν δὲ μακροβιότητα μαρτυροῦσιν ἐπί γε τινῶν καὶ ἡμέρων καὶ ἀγρίων, καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων· Ἐλαίαν μὲν γὰρ λέγουσι, τὴν Ἀθήνῃσι, Φοίνικα δὲ, τὸν ἐν Δήλῳ, Κότινον δὲ, τὸν ἐν Ὀλυμπίᾳ, ἀφ' οὗ [f] οἱ στέφανοι, Φηγοὺς δὲ τὰς ἐν Ἰλίῳ, τὰς ἐπὶ τοῦ Ἴλου μνήματος· τινὲς δέ φασι καὶ τὴν ἐν Δελφοῖς Πλάτανον Ἀγαμέμνονα φυτεῦσαι, καὶ τὴν ἐν Καφύαις τῆς Ἀρκαδίας. ταῦτα μὲν

[d] ἐν deest Bod.
[e] ἀγονώτερα. Vid. not. ad finem libri.
[f] ὁ στέφανος, Bod.

οὖν ὅπως ἂν ἔχῃ, τάχ' ἂν ἕτερος εἴη λόγος, ὅτι δέ ἐστι μεγάλη διαφορὰ τῶν δένδρων, φανερόν· μακρόβια μὲν γὰρ τά τε προειρημένα, καὶ ἕτερα πλείω· βραχύβια δὲ τὰ τοιαῦτα ὁμολογουμένως, οἷον, g Ῥοιὰ, Συκῆ, Μηλέα· καὶ τούτων ἡ ἠρινὴ μᾶλλον, καὶ ἡ γλυκεῖα τῆς ὀξείας, ὥσπερ τῶν Ῥοιῶν ἡ ἀπύρηνος. βραχύβια δὲ καὶ Ἀμπέλων ἔνια γένη, καὶ μάλιστα τὰ πολύκαρπα. δοκεῖ δὲ τὰ πάρυδρα βραχυβιώτερα ἐν τοῖς ξηροῖς εἶναι, οἷον, Ἰτέα, Λεύκη, Ἀκτὴ, Αἴγειρος· ἔνια δὲ γηράσκει μὲν καὶ σήπεται ταχέως, παραβλαστάνει δὲ πάλιν ἐκ τῶν αὐτῶν, ὥσπερ καὶ αἱ Δάφναι, καὶ Μηλέαι, καὶ Ῥοιαὶ, καὶ τῶν φιλύδρων τὰ πολλὰ, περὶ ὧν καὶ σκέψαιτ' ἄν τις, πότερα ταὐτὰ δεῖ λέγειν, ἢ ἕτερα. καὶ καθάπερ εἴ τις τὸ στέλεχος ἀποκόψας, ὥσπερ ποιοῦσιν οἱ γεωργοὶ, πάλιν ἀναθεραπεύοι h τοὺς βλαστοὺς, καὶ εἰ ὅλως ἐκκόψειεν [ἂν] ἄχρι τῶν ῥίζων, καὶ ἐπικαύσειεν, (καὶ γάρ τοι ταῦτα ποιοῦσιν, ὅτε δὲ καὶ ἐπὶ τοῦ αὐτομάτου συμβαίνει τοῦτο·) πότερα δὴ τοῦτο ταὐτὸ δεῖ λέγειν, ἢ ἕτερον. i ἢν μὲν γὰρ ἀεὶ τὰ μέρη τὰς αὐξήσεις καὶ φθίσεις φαίνεται k παραλλάττοντα, καὶ τὰς διακαθάρσεις, τὰς ὑπ' αὐτῶν ταύτῃ μὲν ἂν δόξειεν l ταὐτὰς εἶναι, τὶ γὰρ ἂν ἐπὶ τούτων, ἢ ἐκείνων διαφέροι; ἢν δ' ὥσπερ οὐσία καὶ φύσις τοῦ δένδρου μάλιστ' ἂν φαίνοιτο τὸ στέλεχος, ὅταν μεταλλάττῃ τοῦτο, κἂν τὸ ὅλον ἕτερον ὑπολάβῃ τις, εἰ μὴ ἄρα διὰ τὸ ἀπὸ τῶν αὐτῶν ἀρχῶν εἶναι, αὐτὸ θεῖη. καί τοι m πολλάκις

g Ῥοὰ, Ald. h διάβλαστους, Bod. i ἢ μὲν Bod. k παραλλάττουσα, Bod. l ταὐτὸν Bod. m πολλὰ καὶ Bod.

συμβαίνει, καὶ τὰς ῥίζας ἑτέρας εἶναι καὶ μεταβάλλειν, τῶν μὲν σηπομένων, τῶν δ' ἐξ ἀρχῆς βλαστανουσῶν· ἐπεὶ δ', ὥσγέ τινές φασι τὰς Ἀμπέλους μακροβιωτάτους εἶναι τῷ μὴ φύειν ἑτέρας, ἀλλ' ἐξ αὐτῶν ἀεὶ συναναπληροῦσθαι, γελοῖον ἂν ἴσως δικαιότατα ἡ *σύγκρισις, [n] ἐὰν μένῃ τὸ στέλεχος· αὕτη γὰρ οἷον ὑπόθεσις, καὶ φύσις δένδρων. τοῦτο μὲν οὖν ὁποτέρως ποτὲ λεκτέον, οὐδὲν ἂν διενέγκῃ πρὸς τὰ νῦν, τάχα δ' ἂν εἴη μακροβιώτατον, τὸ πάντως δυνάμενον *αὐταρκεῖν, (ὥσπερ ἡ Ἐλαία,) καὶ τῷ στελέχει καὶ τῇ παραβλαστήσει, καὶ τῷ δυσωλέθρους ἔχειν τὰς ῥίζας· δοκεῖ δὲ ὁ βίος [o] τῆς δ' Ἐλαίας, κατὰ τὸ στέλεχος, ὡς ἤδη τιθέντα τοῦτο ὡς μέτρον χρόνου, μάλιστα περὶ ἔτη διακόσια. εἰδ', ὅπερ ἐπὶ τῶν Ἀμπέλων λέγουσί τινες, ὡς περιαιρουμένων τῶν ῥιζῶν κατὰ μέρος, δύναται διαμένειν τὸ στέλεχος, (καὶ ἡ ὅλη φύσις ὁμοία, καὶ ὁμοιοφόρος,) ὁποσονοῦν χρόνον, μακροβιώτατον ἂν εἴη πάντων. φασὶ δὲ δεῖν οὕτω [p] ποιεῖν, ὅταν ἤδη δοκῇ *καταφέρεσθαι, κλήματά τε ἐπιβάλλειν, καὶ *καρποῦσθαι δι' ἐνιαυτόν· μετὰ δὲ ταῦτα κατασκάψαντα ἐπὶ θάτερα τῆς Ἀμπέλου, περικαθᾶραι πάσας τὰς ῥίζας, εἶτ' ἐμπλῆσαι φρυγάνων, καὶ [q] ἐπαμάσασθαι τὴν γῆν· τούτῳ μὲν οὖν τῷ ἔτει κακῶς φέρειν σφόδρα, τῷ δ' ὑστέρῳ βέλτιον, τῷ δὲ τρίτῳ, καὶ τετάρτῳ, καθίσταθαι, καὶ φέρειν πολλοὺς καὶ καλούς, ὥστε μηδὲν διαφέρειν, ἢ ὅτε ἤκμαζεν· καὶ ἐπειδὰν πάλιν ἀποπληγῇ, θάτερον μέρος κατασκάπτειν δεῖ καὶ θεραπεύειν ὁμοίως, καὶ οὕτως αἰεὶ διαμένειν, ποιεῖν δὲ δεῖ τοῦτο μάλιστα δι'

[n] ἐὰν μὴ μίνῃ Ald. [o] τῆς γι μιᾶς εἶναι καθ' ὃν στίλιχος, ἤδη τὴν ἀρχὴν τιθέντα μέτρον, ἀναμετρεῖν τὸν χρόνον· Bod. Vid. not. ad fin. libri. [p] ποιεῖν, Germ. [q] ἐπαμήσασθαι Bod.

ἐτῶν δέκα· διὸ καὶ οὐ κόπτειν οὐδέ ποτε τοὺς τοῦτο ποιοῦντας, ἀλλ' ἐπὶ γενεὰς πολλὰς ταὐτὰ τὰ στελέχη διαμένειν φασὶ, ὥστε μηδὲ μεμνῆθαι τοὺς φυτεύσαντας· τοῦτο μὲν οὖν ἴσως τῶν πεπειραμένων ἀκούοντα δεῖ πιστεύειν, τὰ δὲ μακρόβια καὶ βραχύβια, διὰ τῶν εἰρημένων θεωρητέον.

CAP. XV.

De Morbis Arborum.

ΝΟΣΗΜΑΤΑ δὲ τοῖς μὲν ἀγρίοις [r] οὐ φασὶ ξυμβαίνειν, ὑφ' ὧν ἀναιροῦνται, φαύλως δὲ διατίθεσθαι, καὶ μάλιστα ἐπιδήλως, ὅταν *χαλαζοκοπηθῇ, ἢ βλαστάνειν μέλλοντα, ἢ ἀρχόμενα, ἢ ἀνθοῦντα· καὶ ὅταν ἢ πνεῦμα ψυχρὸν, ἢ θερμὸν ἐπιγένηται κατὰ τούτους τοὺς καιρούς. ὑπὸ δὲ τῶν ὡραίων χειμώνων, οὐδὲ ἂν ὑποβάλλοντες ὦσιν, οὐδὲν πάσχειν, ἀλλὰ καὶ ξυμφέρειν πᾶσι χειμαθῆναι· μὴ χειμαθέντα γὰρ κακοβλαστότερα γίνεσθαι. [s] τοῖς δὲ ἡμέροις, ἐστὶ πλείω νοσήματα· καὶ τὰ μὲν, ὥσπερ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις, τὰ δ' ἴδια, καὶ κατὰ γένη κοινὰ, οἷον, τό, τε, σκωληκοῦσθαι, καὶ *ἀστροβολεῖσθαι, καὶ ὁ *σφακελισμὸς, ἅπαντα γὰρ, ὡς εἰπεῖν, καὶ σκώληκας ἔχει, πλὴν τὰ μὲν ἐλάττους, τὰ δὲ πλείους· καθάπερ Συκῆ, Μηλέα, καὶ Ἄπιος, ὡς δὲ ἁπλῶς εἰπεῖν, ἥκιστα σκωληκοῦται τὰ δριμέα, καὶ [t] εὐώδη· καὶ ἀστροβολεῖται ὡσαύτως, μᾶλλον δὲ τοῖς ἐν ἀκμῇ τοῦτο συμβαίνει, πάντων δὲ μάλιστα τῇ τε Συκῇ καὶ τῇ Ἀμπέλῳ· ἡ δ' Ἐλαία πρὸς τὸ τοὺς σκώληκας ἔχειν (οἱ δὲ καὶ τὴν

[r] οὐ deest Ald. Germ. [s] ταῖς δὲ ἡμέραις, Bod. [t] ὀπώδη· Ald.

συκὴν διαφθείρουσιν ἐντίκτοντες) φύει καὶ *ἧλον, ὃν οἱ μὲν, μύκητα καλοῦσιν, ἔνιοι δὲ λοπάδα. τοῦτο δ' ἐστὶν οἷον ἡλίου [u] καῦσις· διαφθείρονται δ' ἐνίοτε καὶ αἱ νέαι Ἐλαῖαι διὰ τὴν ὑπερβολὴν τῆς πολυκαρπίας. ἡ δὲ *ψώρα, καὶ οἱ προσφυόμενοι Κοχλίαι, Συκῆς ἰδίαι εἰσὶν, οὐ πανταχοῦ δὲ τοῦτο συμβαίνει ταῖς Συκαῖς, ἀλλ' ἔοικε καὶ τὰ νοσήματα γίνεσθαι κατὰ τοὺς τόπους, ὥσπερ τοῖς ζώοις, ἐπεὶ παρ' ἐνίοις οὐ *ψωριῶσι, καθάπερ οὐδὲ περὶ τὴν Αἰνείαν· ἁλίσκεται δὲ ἡ Συκῆ μάλιστα καὶ *σφακελισμῷ, καὶ *κράδῳ· καλεῖται δὲ σφακελισμὸς μὲν, ὅταν αἱ ῥίζαι μελανθῶσι, κράδος δ' ὅταν οἱ κλάδοι· καὶ γὰρ καλοῦσί τινες τοὺς τῆς Συκῆς κλάδους, [x] *κράδας, ὅθεν καὶ τοὔνομα τῇ νόσῳ. ὁ δὲ Ἐρινεὸς, οὔτε κραδᾷ, οὔτε σφακελίζει, οὔτε ψωριᾷ, οὔτε σκωληκοῦται ταῖς ῥίζαις ὁμοίως· οὐδὲ δὴ, τὰ [y] ἐρινά τινες ἀποβάλλουσιν, οὐδὲ ἐὰν ἔνια φυτευθῶσιν εἰς Συκῆν· ἡ δὲ ψώρα μάλιστα γίνεται, ὅταν ὕδωρ ἐπὶ Πλειάδι γένηται μὴ πολὺ, ἐὰν δὲ πολὺ ᾖ, καὶ ἀποκλύζηται, συμβαίνει δὲ τότε καὶ τὰ ἐρινὰ ἀποῤῥεῖν καὶ τοὺς *ὀλύνθους. τῶν δὲ σκωλήκων τῶν ἐν ταῖς Συκαῖς, οἱ μὲν, ἐξ αὐτῆς γίνονται, οἱ δὲ ἐντίκτονται ὑπὸ τοῦ καλουμένου Κεράστου, πάντες δὲ εἰς Κεράστην ἀποκαθίστανται, φθέγγονται δὲ οἷον *τρισμόν. νοσεῖ δὲ Συκῆ, καὶ ἐὰν ἐπομβρία γένηται, τά γε πρὸς τὴν ῥίζαν ὥσπερ [z] *μαδᾷ· τοῦτο δὲ καλοῦσι *λοπάδα. ἡ δ' Ἄμπελος *τραγᾷ. τοῦτο δὲ μάλιστα αὐτῇ ἐστὶ, πρὸς τῷ ἀστροβολεῖσθαι, ἢ ὅταν ὑπὸ πνευμάτων *βλαστοκοπηθῇ, ἢ ὅταν τῇ ἐργασίᾳ συμπάθῃ, ἢ τρίτον *ὑπῖλα

[u] ἧλοι αὐτῶν. Ald. [x] κράδους, Bod. [y] ἐρινιὰ Const.
[z] μυδᾷ. Const.

τμηθῇ· *ῥοὰς δὲ γίνεται, ὃ καλοῦσί τινες [a] *ψήνεσθαι, ὅταν *ἐπικνιφθῇ κατὰ τὴν ἀπάνθησιν, ἢ ὅταν *κρειττωθῇ. τοῦτο δὲ πάθος ἐστὶν, ὥστε ἀπορρεῖν τὰς *ῥάγας, καὶ τὰς ἐπιμενούσας εἶναι μικράς. ἔνια δὲ καὶ ῥιγώσαντα νοσεῖ, καθάπερ ἡ Ἄμπελος, αμβλοῦνται γὰρ οἱ *ὀφθαλμοὶ τῆς πρώτης τόμης· [b] καὶ ἀνάπαλιν *ὑποθερμανθέντα, ζητεῖ γὰρ καὶ τούτων τὴν συμμετρίαν, ὥσπερ καὶ τῆς τροφῆς· ὅλως δὲ πᾶν τὸ παρὰ φύσιν ἐπικίνδυνον. μεγάλα δὲ ξυμβάλλεται καὶ τὰ τραύματα καὶ αἱ πληγαὶ τῶν περισκαπτόντων, εἰς τὸ μὴ φέρειν τὰς μεταβολὰς ἢ καυμάτων ἢ χειμώνων, ἀσθενὲς γὰρ ὂν διὰ τὴν *ἕλκωσιν καὶ τὸν πόνον, εὐχειρότατόν ἐστι ταῖς ὑπερβολαῖς· σχεδὸν δὲ, ὥς τινες οἴονται, τὰ πλεῖστα τῶν νοσημάτων, ἀπὸ πληγῆς γίνεται, καὶ γὰρ τὰ *ἀστροβόλητα καλούμενα, καὶ τὰ *σφακελίζοντα, διὰ τὸ ἀπὸ ταύτης εἶναι τῶν ῥιζῶν τὸν πόνον. οἴονται δὲ καὶ δύο ταύτας εἶναι μόνας νόσους, οὐ μὴν ἀλλὰ τοῦτό γ' οὐκ ἄγαν ὁμολογούμενόν ἐστι· πάντων δ' [c] ἀσθενέστατον ἡ Μηλέα, ἡ Ἠρινὴ, καὶ τούτων ἡ γλυκεῖα. ἔνιαι δὲ πηρώσεις οὐκ εἰς φθορὰν γίνονται, ἀλλ' εἰς ἀκαρπίαν, οἷον ἐάν τις τῆς Πίτυος ἀφέλῃ τὸ ἄκρον, ἢ τοῦ Φοίνικος, ἄκαρπα γίνεσθαι ἄμφω δοκεῖ, καὶ οὐχ ὅλως ἀναιρεῖσθαι. γίνονται δὲ νόσοι καὶ τῶν καρπῶν αὐτῶν, ἐὰν μὴ κατὰ καιρὸν τὰ πνεύματα, καὶ τὰ οὐράνια [ὕδατα] γένηται. συμβαίνει γὰρ ὅτε μὲν ἀποβάλλειν, γενομένων, ἢ μὴ γενομένων ὑδάτων (οἷον τὰς Συκᾶς ἐνίοτε) ὅτε δὲ χείρους γίνεσθαι σηπομένας καὶ καταπνιγομένας, ἢ

[a] ψίνεσθαι, Bod. [b] καὶ πάλιν Bod. [c] ἀσθενέστατον Bod.

πάλιν ἀναξηραινομένας [d] παρὰ τὸ δέον. χείριςον δὲ ἐὰν ἐπ' ἀνθοῦσί τισιν *ἐφύσῃ, καθάπερ Ἐλαίᾳ, καὶ Ἀμπέλῳ, συναπορρέει γὰρ ὁ καρπὸς δι' ἀσθένειαν. ἐν Μιλήτῳ δὲ τὰς Ἐλαίας, ὅταν ὦσι περὶ τὸ ἀνθεῖν, Κάμπαι κατεθίεσιν· αἱ μὲν, τὰ φύλλα, αἱ δὲ, τὰ ἄνθη, ἕτεραι τῷ γένει, καὶ ψιλοῦσι τὰ δένδρα· γίνονται δὲ, [c] ὅταν ἢ νότια ἢ καὶ εὐδιαινά· ἐὰν δὲ ἐπιλάβῃ καύματα, ῥήγνυνται· περὶ δὲ Τάραντα προφαίνουσι μὲν πολὺν καρπὸν ἀεὶ, ὑπὸ δὲ τὴν ἄνθησιν τὰ πόλλ' ἀπόλλυται. τὰ μὲν οὖν τοιαῦτα τῶν τόπων ἴδια, γίνεται δὲ καὶ ἄλλο νόσημα περὶ τὰς Ἐλαίας *ἀραχίνιον καλούμενον· [f] φύεται γὰρ τοῦτο καὶ διαφθείρει τὸν καρπόν· [g] ἐπικαύει δὲ καὶ καύματά τινα, καὶ ἐλαίαν, καὶ βότρυν, καὶ ἄλλους καρπούς· οἱ δὲ καρποὶ σκωληκοῦνται τινῶν, οἷον Ἐλαίας, Ἀπίου, Μηλέας, Μεσπίλης, Ῥοιᾶς· καὶ ὅγε τῆς Ἐλαίας Σκώληξ, ἐὰν μὲν ὑπὸ τὸ δέρμα γένηται, διαφθείρει τὸν καρπὸν, ἐὰν δὲ τὸν πυρῆνα διαφάγῃ, ὠφελεῖ· [h] κωλύεται δὲ ὑπὸ τῷ δέρματι εἶναι, ὕδατος ἐπ' ἀρκτούρῳ γενομένου. γίνονται δὲ καὶ ἐν τοῖς *δρυπεπέσι Σκώληκες, καίπερ χείρους εἰς τὴν *ῥύσιν, ὅλως δὲ καὶ δοκοῦσιν εἶναι [i] σαπροί· διὸ καὶ γίνονται τοῖς νοτίοις, καὶ μᾶλλον ἐν τοῖς ἐφύδροις. ἐγγίνονται δὲ καὶ Κνίπες ἔν τισι τῶν δένδρων, ὥσπερ ἐν τῇ Δρυὶ καὶ τῇ Συκῇ, καὶ δοκοῦσιν ἐκ τῆς ὑγρότητος συνίστασθαι, τῆς ὑπὸ τὸν φλοιὸν συνισταμένης, αὕτη δέ ἐστι γλυκεῖα γευομένοις· γίνονται δὲ καὶ ἐν λαχάνοις τισὶν, ἔνθα δὲ καὶ Κάμπαι, διαφερούσης δηλονότι τῆς ἀρχῆς. καὶ τὰ μὲν νοσήματα

[d] κατὰ τὸ δέον. Ald. [c] ὅταν ᾖ νότια καὶ τὰ εὐδιεινά· Bod.
[f] ἐμφύεται Plin. [g] ἐπικάει Ald. [h] καὶ λύεται Bod.
[i] σαπραί. Plin.

σχεδὸν ταῦτα, καὶ ἐν τούτοις ἐστίν· ἔνια δὲ πάλιν τῶν κατὰ τὰς ὥρας, καὶ τῶν καθ' αὑτὰ γινομένων, ἀναιρεῖν πέφυκεν, ἃ οὐκ ἄντις [k] εἴποι νόσους, οἷον λέγω τὴν [l] * ἔκπληξιν, καὶ ὃ καλοῦσί τινες * καυθμόν· ἄλλα δὲ παρ' ἑκάστοις πέφυκε πνεύματα ὡς ἀπολλύναι καὶ ἀποκάειν, οἷον ἐν Χαλκίδι τῆς Εὐβοίας, ὁ Ὀλυμπίας, ὅταν πνεύσῃ μικρὸν πρὸ τροπῶν, ἢ μετὰ τροπὰς χειμερινὰς, ψυχρὸς ὢν, ἀποκάει γὰρ τὰ δένδρα, καὶ οὕτως αὖα ποιεῖ καὶ ξηρὰ, ὡς ἐδ' ἄρ' ὑφ' ἡλίε καὶ χρόνου πολλοῦ γένοιτ' ἄν. διὸ καὶ καλοῦσι καυθμόν. ἐγένετο δὲ πρότερόν τε πολλάκις ἤδη, καὶ ἐπ' Ἀρχίππε δι' ἐτῶν τετταράκοντα, σφοδρός. * πονοῦσι δὲ μάλιστα τῶν τόπων οἱ κοῖλοι καὶ οἱ αὐλῶνες, καὶ ὅσοι περὶ τοὺς ποταμοὺς, καὶ ἁπλῶς οἱ ἀπνευστότατοι· τῶν δένδρων δὲ μάλιστα Συκῆ, δεύτερον δὲ Ἐλαίας μᾶλλον ὁ Κότινος ἐπόνησεν, ἰσχυρότερος ὤν, ὃ καὶ θαυμαστὸν ἦν. Ἀμυγδάλαι δὲ τὸ πάμπαν ἀπαθεῖς, καὶ αἱ Μηλέαι, καὶ αἱ Ῥοιαὶ ἐγένοντο, διὸ καὶ τοῦτο ἦν θαυμαστόν. ἀποκαίεται δὲ εὐθὺς ἐκ τοῦ στελέχους, (καὶ ὅλως δὲ μᾶλλον καὶ πρότερον, ὡς εἰπεῖν, ἅπτεται τῶν κάτω·) φανερὸν δὲ γίνεται, ταῖς μὲν ἅμα περὶ τὴν βλάστησιν, τῇ δ' Ἐλαίᾳ διὰ τὸ ἀείφυλλον, ὕστερον. ὅσαι μὲν οὖν ἂν φυλλοβολήσωσιν, [m] ἀναβιώσκονται πάλιν, ὅσαι δ' ἂν μὴ, τελέως ἀπόλλυνται· παρ' ἐνίοις δέ τινες ἀποκαυθεῖσαι, καὶ τῶν φύλλων αὐανθέντων, ἀνεβλάστησαν πάλιν ἄνευ τοῦ ἀποβάλλειν, καὶ τὰ φύλλα ἀνεβίωσεν. ἐνιαχοῦ δὲ, καὶ πολλάκις τοῦτο συμβαίνει, καθάπερ καὶ ἐν Φιλίπποις· τὰ δ' ἐκπληγέντα, ὅταν μὴ

k ἴποι Bod. εἴποι Ald. l ἔκπτξιν, Ald. m ἀναβιβρώσκονται Ald.

τελέως ἀπόλλυται, τάχιστα ἀναβλαστάνει, ὥστε εὐθὺς τὴν Ἄμπελον καρποφορεῖν, ὥσπερ ἐν Θετταλίᾳ. ἐν δὲ τῷ Πόντῳ περὶ [n] Παντοκαπαῖον, αἱ μὲν *ἐκπλήξεις γίνονται διχῶς· ὅτε μὲν ὑπὸ ψύχους, ἐὰν χειμέριον ᾖ τὸ ἔτος, ὅτε δὲ ὑπὸ *πάγων, ἐὰν πολὺν χρόνον διαμένωσί γε· ἀμφότερα δὲ μάλιστα γίνεται μετὰ τροπὰς, μετὰ τετταράκοντα ἡμέρας. γίνονται δὲ οἱ μὲν πάγοι ταῖς αἰθρίαις, τὰ δὲ ψύχη, μάλιστα ὑφ' ὧν ἡ ἔκπληξις, ὅταν αἰθρίας οὔσης αἱ [o] *λεπίδες καταφέρονται. ταῦτα δ' ἐστὶν ὥσπερ τὰ ξύσματα, πλὴν πλατύτερα καὶ φερόμενα φανερὰ, πεσόντα δὲ οὐ διαμένει· περὶ δὲ τὴν Θράκην, ἐκπήγνυνται. ἀλλὰ γὰρ αἱ μὲν νόσοι, πόσαι τε καὶ ποῖαι καί τινες γίνονται, καὶ πάλιν αἱ δι' ὑπερβολὴν χειμῶνος ἢ καυμάτων φθοραὶ, καὶ αἱ διὰ πνευμάτων ψυχρότητα ἢ θερμότητα, διὰ τούτων θεωρείσθωσαν, ὡς ἐνίας οὐδὲν ἂν κωλύοι καὶ τοῖς ἀγρίοις εἶναι κοινὰς, καὶ κατὰ τὴν ὅλην τῶν δένδρων φθορὰν, καὶ ἔτι μᾶλλον κατὰ τὴν τῶν καρπῶν, ὃ καὶ συμβαῖνον ὁρῶμεν· οὐκ εὐκαρπεῖ γὰρ οὐδ' ἐκεῖνα πολλάκις· ἀλλ' οὐχ ὁμοίως οἶμαι παρατετήρηται.

CAP. XVI.

De Vulneribus, et Amputatione Arborum.

ΛΟΙΠΟΝ δ' εἰπεῖν ὅσα, περαιρουμένων τινῶν μορίων, ἀπόλλυται· κοινὴ μὲν δὴ πᾶσι φθορὰ, τοῦ φλοιοῦ περιαιρεθέντος κύκλῳ, πᾶν γὰρ, ὡς εἰπεῖν, οὕτως ἀπόλλυσθαι δοκεῖ, πλὴν Ἀνδράχνη. καὶ αὕτη δὲ, ἐάν τις τὴν σάρκα [p] σφόδρα πιέσῃ, καὶ τὸν μέλλοντα καρ-

[n] Παντικαπαῖον, Ald. [o] ῥιπίδες Bas. [p] σφόδρα deest Bod.

πὸν διακόψῃ, πλὴν εἰ ἄρα Φελλοῦ, τοῦτον γάρ φασι καὶ εὐσθενεῖν μᾶλλον περιαιρουμένου δηλονότι τοῦ ἔξω, καὶ μὴ τοῦ κάτω πρὸς τῇ σαρκὶ, καθάπερ καὶ τῆς Ἀνδράχνης· ἔτι καὶ τοῦ Κεράσου περιαιρεῖται ὁ φλοιὸς καὶ τῆς Ἀμπέλου, καὶ τῆς Φιλύρας, ἐξ οὗ τὰ φοινία, (καὶ Μαλάχης τῶν ἐλατίνων,) ἀλλ' οὐχ ὁ *κύριος, οὐδ' ὁ πρῶτος, ἀλλ' ὁ ἐπιπολῆς, ὃς καὶ αὐτόματος ἐνίοτε ἀποπίπτει, διὰ τὴν *ὑπόφυσιν θατέρου· καὶ γὰρ ¶φλοιορραγία τούτων τῶν δένδρων ἐστὶν, ὥσπερ καὶ τῆς Ἀνδράχνας καὶ τοῦ Πλατάνου. ὡς δέ τινες οἴονται, πάλιν ὑποφύει νέος [φλοιὸς], ὁ δὲ ἔξωθεν ἀποξηραίνεται καὶ ῥήγνυται, καὶ αὐτόματος ἀποπίπτει πολλῶν· ἀλλ' οὐχ ὁμοίως ἐπίδηλος· φθείρονται μὲν οὖν, ὡς οἴονται, πάντα περιαιρουμένου, διαφέρει δὲ τῷ θᾶττον καὶ βραδύτερον, καὶ μᾶλλον καὶ ἧττον, ἔνια γὰρ πλείω χρόνον διαμένει, καθάπερ Συκῆ, καὶ Φιλύρα, καὶ Δρῦς. οἱ δὲ καὶ ζῆν φασί ποτε ταῦτα, καὶ οὐκ [r]ἀπόλλυσθαι, ἀλλὰ τὸν φλοιὸν οἷον *πωροῦσθαι, καὶ ἰδίαν τινὰ φύσιν ἔχειν· βοηθεῖν δὲ πειρῶνται, διαπλάττοντες πηλῷ, καὶ *περιδοῦντες φλοιοῖς καὶ καλάμοις, καὶ τοιούτοις, ὅπως μὴ ψύχηται, μὴ δ' ἀποξηραίνηται· καὶ ἤδη φασί που ἀναφύναι [τινὰ], καθάπερ καὶ ἐν Ἡρακλείᾳ τῇ Τραχιανῇ τὰς Συκᾶς. Δεῖ δὲ ἅμα τῇ [s]τῆς χώρας ἀρετῇ, καὶ τῇ τοῦ ἀέρος κράσει τὰ ἐπιγενόμενα τοιαῦτα εἶναι, χειμώνων γὰρ ἢ καὶ καυμάτων ἐπιγινομένων σφοδρῶν, εὐθὺς ἀπόλλυνται. διαφέρουσι δὲ καὶ αἱ ὧραι, περὶ γὰρ τὴν βλάστησιν Ἐλάτης καὶ Πεύκης, ὅτε καὶ [t]*λιπῶσι τοῦ Θαργηλιῶνος ἢ Σκιροφοριῶνος, ἄντις

¶ φυλλορραγία Bod. [r] ἀπόλλυσθαι τὸν φλοιὸν, ἀλλὰ οἷον Const. [s] τῆς χορείας Bas. [t] λεπῶσιν, Bas.

περιέλῃ, παραχρῆμα ἀπόλλυται, τοῦ δὲ χειμῶνος πλείω χρόνον ἀντέχει, καὶ ἔτι μᾶλλον τὰ ἰσχυρότατα, καθάπερ Πρῖνος, καὶ Δρῦς, χρονιωτέρα γὰρ ἡ τούτων φθορά. δεῖ δὲ καὶ τὴν περιαίρεσιν ἔχειν τι πλάτος· πάντων μὲν, μάλιστα δὲ τῶν ἰσχυροτάτων, ἐπεὶ [u] ἄντις μὴ παντελῶς ποιήσῃ λεπῖὴν, οὐθὲν ἄτοπον τὸ μὴ ἀπόλλυθαι, καίτοι φασί γέ τινες ἐὰν ὁπωσοῦν [x] ἀφαιρεθῇ, συμφθείρεσθαι πάντως· ἀλλ' ἐπὶ τῶν ἀσθενεστέρων τοῦτ' εἰκὸς, ἔνια γὰρ, κἂν μὴ κύκλῳ περιαιρεθῇ, φθείρεσθαί φασιν, ἃ καὶ λυπρὰν ἔχει χώραν καὶ ἄτροφον. αὕτη μὲν δὴ καθάπερ εἴρηται, κοινὴ φθορὰ πάντων, ἣν [y] δὲ καλοῦσιν *ἐπικοπὴν τῶν δένδρων, μόνον Πεύκης, Ἐλάτης, Πίτυος, Φοίνικος, οἱ δὲ καὶ, Κέδρου καὶ Κυπαρίττου φασὶ, ταῦτα γὰρ, ἐὰν περιαιρεθῇ τὴν κόμην, καὶ ἄνωθεν ἐπικοπῇ τὸ ἄκρον, φθείρεται πάντα, καὶ οὐ βλαστάνει, καθάπερ οὐδ' ἐπικαυθέντα, ἢ πάντα ἢ ἔνια· τὰ δ' ἄλλα πάντα καὶ περικοπέντα βλαστάνει, καὶ ἔνια καὶ καλλίω γίνεται, καθάπερ ἡ Ἐλαία. διαφθείρεται δὲ τὰ πολλὰ, κἂν σχισθῇ τὸ στέλεχος, οὐδὲν γὰρ ὑπομένειν δοκεῖ, πλὴν Ἀμπέλου, καὶ Συκῆς, καὶ [z] Ῥοιᾶς, καὶ Μηλέας· ἔνια μὲν, κἂν ἑλκωθῇ καὶ μεῖζον καὶ βαθύτερον, οὐκ ἀπόλλυται, τάδ' οὐδὲν πάσχει, καθάπερ ἡ Πεύκη δαδουργομένη, καὶ ἐξ ὧν δὴ τὰς *ῥητίνας συλλέγουσιν, οἷον, Ἐλάτης, Τερμίνθου, καὶ γὰρ δὴ τούτων εἰς βάθος ἡ *τρῶσις καὶ *ἕλκωσις, καὶ ἐξ ἀφόρων *φορίδες γίνονται, καὶ ἐξ ὀλιγοφόρων πολύφοροι. τὰ δὲ καὶ πελέκησιν ὑπομένει, καὶ ὀρθὰ καὶ πεσόντα ὑπὸ πνεύματος,

[u] ἄντις παντελῶς ποιήσῃ, οὐθὲν Bod. [x] ἀφαιρίθῃ deest Ald. [y] δὴ Bod. [z] Ῥοᾶς, Bod.

ὥστε πάλιν ἀνίσταθαι, καὶ ζῆν καὶ βλαστάνειν, οἷον Ἰτέα, καὶ Πλάτανος· ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ, καὶ ἐν Φιλίπποις, ἐκπεσούσης γὰρ ὡς ἀπέκοψαν τοὺς ἀκρέμονας καὶ ἐπελέκησαν, ἀνεφύη νύκτωρ ἡ Πλάτανος, κουφισθεῖσα τοῦ βάρους, καὶ [a] ἀνεβίωσε, καὶ ὁ φλοιὸς περιέφυ πάλιν. παραπεπελεκημένη δ' ἐτύγχανεν ἐκ τῶν δύο μερῶν, ἦν δὲ τὸ δένδρον μέγα, μῆκος μὲν μεῖζον ἢ δεκάπηχυ, πάχος δ' ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. ἡ δὲ ἐν Φιλίπποις Ἰτέα [ἄνεστη]· [b] περιεκοπήθη μὲν τοὺς ἀκρέμονας, οὐ μὴν παρεπελεκήθη, μάντις δέ τις ἔπεισεν αὐτοὺς, θυσίαν τε ποιεῖσθαι, καὶ τηρεῖν τὸ δένδρον ὡς σημεῖον ἀγαθὸν γεγονός· ἀνέστη δὲ καὶ ἐν Σταγείροις, ἐν τῷ Μουσείῳ, Λεύκη τις ἐκπεσοῦσα. τῆς δὲ μήτρας ἐξαιρουμένης, οὐθὲν ὡς εἰπεῖν φθείρεται δένδρον· σημεῖον δὲ ὅτι πολλὰ κοῖλα τῶν μέγεθος ἐχόντων δένδρων ἐστίν· οἱ δὲ περὶ Ἀρκαδίαν φασὶ, μέχρι τινὸς ἐὰν ἐξῃρέθῃ ἡ μήτρα τοῦ δένδρου, ζῆν, τελέως δὲ καὶ ἐξ ἅπαντος ἐξαιρεθείσης, καὶ Πεύκην φθείρεσθαι, καὶ Ἐλάτην, καὶ ἄλλο πᾶν.

CAP. XVII.

Mors Plantarum, et Inimicitiæ mutuæ.

ΚΟΙΝΗ δὲ φθορὰ πάντων, κἂν αἱ ῥίζαι περικοπῶσιν, ἢ πᾶσαι, ἢ αἱ πλεῖσται καὶ μέγισται καὶ * κυριώταται τοῦ ζῆν. αὗται μὲν οὖν ἐξ ἀφαιρέσεως, ἡ δὲ ὑπὸ τοῦ ἐλαίου, προσθέσει τινὶ μᾶλλον ἢ ἀφαιρέσει, πολέμιον γὰρ δὴ καὶ τοῦτο. πᾶσιν δὲ ἔλαιον ἐπιχέουσι τοῖς ὑπολείμμασι τῶν ῥιζῶν· ἰσχύει δὲ μᾶλλον τὸ ἔλαιον ἐν

[a] ἀνιβίω· Bod. [b] περικόπη Bod.

τοῖς νέοις καὶ ἄρτι φυομένοις, ἀσθενέστερα γάρ· διὸ καὶ ἅπτεσθαι κωλύουσι. φθοραὶ δὲ καὶ ὑπ' ἀλλήλων εἰσὶ, τῷ παραιρεῖσθαι τὰς τροφὰς, καὶ ἐν τοῖς ἄλλοις ἐμποδίζειν. *χαλεπὸς δὲ καὶ ὁ Κιττὸς παραφυόμενος, χαλεπὸς δὲ καὶ ὁ Κύτισος, ἀπόλλυσι γὰρ πάνδ', ὡς εἰπεῖν· ἰσχυρότερον δὲ τούτου τὸ Ἅλιμον, ἀπόλλυσι γὰρ τὸν Κύτισον. ἔνια δὲ, οὐ φθείρει μὲν, χείρω δὲ ποιεῖ ταῖς δυνάμεσι τῶν χυλῶν καὶ τῶν ὀσμῶν, οἷον, ἡ Ῥάφανος, καὶ ἡ Δάφνη τὴν Ἄμπελον, ὀσφραίνεσθαι γάρ φασι καὶ ἕλκειν· διὸ καὶ ὅταν πλησίον ὁ βλαστὸς γένηται, πάλιν ἀναστρέφειν καὶ ἀφορεῖν, ὡς πολεμίας οὔσης τῆς ὀσμῆς. Ἀνδροκύδης γὰρ καὶ παραδείγματι τούτῳ κατεχρήσατο πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς Ῥαφάνου γινομένην πρὸς τὸν οἶνον, ὡς ἐξελαύνουσαν τὴν μέθην, φεύγειν γὰρ δὴ καὶ ζῶσαν τὴν Ἄμπελον τὴν ὀσμήν. αἱ μὲν οὖν φθοραὶ, πῶς τε γίνονται, καὶ πόσαι, καὶ ποσαχῶς, φανερὸν ἐκ τῶν προειρημένων.

NOTÆ

IN LIBRUM QUARTUM.

CAP. I.

Ἐν τοῖς οἰκείοις τόποις καλλίω. Situs proprios cuivis arbori. Mira ἀκρίβεια Auctoris; e. g. τόπος εὐσκεπὴς, εὐήλιος, (tectus simul et apricus,) itemque in intervallis montium habitatio. Ἐλάτης, τόπος κοῖλος, καὶ ἄπνους, εἰς ὃν οὐδέποθ' ὅλως ἥλιον ἐμβάλλειν. Vid. super hac re l. iii. c. 4.

Ἐπὶ τῶν ἄκρων, οὗπερ οὐδέποτε ἐπιλείπει χιών. Mirum sane Cupressum, quæ in calidis regionibus solummodo reperitur, in Cretæ montibus nivem attingere.

Μᾶλλον εἰς βάθος πάχεα. Ita locum restitui. Textus Bodæi, et aliorum, ut ad imum paginæ videre est, corruptissimus. De diminutione molis sursum in truncis sermo est, quæ variat multum in diversis speciebus; in deciduis minus, in Pinu tamen maxime conspicua, præsertim respectu crassitudinis juxta radicem.

CAP. II.

N. B. *Plantas Ægyptiacas quasdam in hoc capite describit Auctor, non tamen omnes ex αὐτοψίᾳ, ut videtur.*

Ἡ μὲν Συκάμινος. Intelligendum ἐν Αἰγύπτῳ, alibi enim c. i. p. 9, 19, 21. Συκάμινον Italiæ et Græciæ, sc. Morum nigram L. satis accurate describit. Species hæc, Ficus *religiosa* L. Angl. "The Banyan Tree," in India orientali, utpote et in Ægypto, notissima. Icon datur apud Bod. p. 291. et Ger. em. 1509.

Ἕτερον Περσέα καλούμενον. Linneus inter Lauros recenset, cum syn. Clusii: sed Clusius describit plantam novi orbis Hispaniam advectam; ergo L. Persea Linn. non Περσέα Theophrasti. "Perseæ pomum myxis rubentibus simile," ait Plinius, ut videtur ex autopsia: inter Prunos igitur recensenda.

Operæ pretium tamen erit inquirere de loco natali Amygdali, *Persicæ* L. an ullibi occurrat statu sylvestri: sin minus, forsan Amygdalus, *Persica* L. cum varietatibus innumeris, Amygdalo, *communi* L. ut parenti referenda. Vid. obss. in notis ad librum iii. p. 136.

Συκῆς Κυπρίας. Textus certe corruptus: dicitur στελεχόφορος, ut præcedens species, sed postea παραπλησία Κερωνίας Ionum, quæ tamen arbor siliquosa. Κερωνίον Theophr. Cassiam *fistulam* L. interpretatur a Bodæo; sed suspicor duo genera sub eodem nomine enumerari. Ceratoniam, sc. siliquam L. l. i. p. 18, 23. et Συκὴν Κυπρίαν παραπλησίαν Κερωνίας in hoc capite; attamen descriptio hæc valde confusa. Ceratoniæ flos purpureo-ruber; Cass. fist. λεύκανθος· ἔχει δ' ἅμα καὶ τὸν ἔνον καὶ τὸν νέον καρπόν. . . . . Κύει, ὥσπερ βότρυς ὁμοσχήμων. Ex hac descriptione conjicerem Tamarindum *Indicum* L. indicari, etsi nullibi fit mentio. Hic enim in unum coeunt characteres siliquosi fructus et pulpamentosi, necnon racemosa quædam congeries baccarum, κοκκυμήλων similium; videndum an successiva fructificatio obtineat.

Ἡ Βάλανος. Secundum Bodæum Myrobalanus *Emblica*. Bauh. Pin. 445. Phyllanthus, *Emblica* L. quæ ex Græco-barbara voce ἐμβλὲξ, ex Charitione. Icon exhibetur glandis unguentariæ, vel Myrobalani Bod. p. 300. N. B. A Linn. genus novum sub nomine Guillandinæ.

Κουκιόφορον. De genere hoc Palmæ affini silet Bodæus; interpretor Palmam Thebaicam, Angl. "The Doom Tree." Vid. "Bruce's Travels," v. 45.

Κρικοὺς τορνεύουσι. Annulos Hed. sed forsan orbiculos sub axe volventes, pedibus pulvinaris subjectos; Ang. "Castors."

CAP. III.

Διττὸν δὲ γένος. Acaciæ Ægyptiacæ, Mimosæ *Niloticæ* L. non dantur species nec varietates. A. Μέλαινα forsan Acacia Matthioli ficta, cujus icon apud Bod. p. 306.

Ἀντὶ Κικίδος. Usus coriarius corticis Quercus antiquis forsan ignotus; gallis utebantur, ut in Ægypto siliquis Mimosæ.

Τῷ ποταμῷ. Nilo flumine.

Κοκκυμηλέα. Cordia *Myxa*, L. Pruni affinis arbor ab aliis

Prunus Sebestinus. Vid. Ger. em. t. i. p. 1499. Vid. de hac arbore Plin. xv. 18. "Fructus, drupa rotunda Pruno domestico "minor, pulpa molli, et pene fluido, unde nomen μύξη a "μύξα." Nulla fructus mentio apud hodiernos.

Εἰς τὸ συμβαῖνον πάθος. Mira hæc proprietas Mimosæ, *sensitivæ* Theophrasto haud ignota. N. B. Folia M. describuntur, παρόμοια ταῖς Πτέρισιν. Filicis folio, Gaz. τοῖς Πτέρυξιν, Bod. sc. pennis in ala avis, quæ utrinque plumulis densissime obsitæ: alibi folium pinnatum πτέρυγι comparatur, itemque surculus Pinus, *Piceæ*. iii. 10.

CAP. IV.

Τοῦ Λωτοῦ. N. B. Lotus Theophrasti, Celtis, *australis*, L. (vid. icon. Bod. p. 325. Ger. em. 1493.) fructus parvus magni Κυάμου, (pisi sc. non fabæ, apud Theophrastum et alios.) Ita quoque Dioscor. καρπὸς μείζων πεπερέως. lib. i. c. 171. infra, τοῖς μύρτοις, baccis Myrti, communis, comparatur. Vid. Plin. xiii. 17.

Πλησίον τούτου ὁ Παλίουρος, sc. Π. 2dus vel Ægyptiacus. De Παλιούρῳ 1mo, Rhamn. *Paliuro* L. supra mentio fit i. 4, 8, 16. et iii. 4, 8, 17. N. B. De Paliuro Africano tractat Plin. xiii. 10. sed exscriptum ex Theophr. et parum fideliter. Apud Linn. Spec. Plant. 1478. spec. duæ occurrunt; Celtis, *australis* et *orientalis*. Vid. Athenæum, l. xiv.

Ταὐτὸ δ' οὖν τῶν ὑδάτων. Textum mendosum restituere aggressus sum ex versione Theodori. Supra dixit mirabile esse πῶς ὠρύχθη τηλικαῦτα βάθη. ταὐτὸ δὲ (similis ratio) τῶν ὑδάτων—an radices attingant aquas, vel subditas esse radicibus, secundum Theodorum? N. B. Διαφορὰ respicit aquas salsas, vel dulces supra.

Τὸν Ὄνον ἐσθίειν ταῦτα, sc. animalia quæ dicuntur Oniscis L. vesci. "Ὄνος insectum multipes, contactu sese complicans, ut pillula appareat." Bod. p. 332. Sub nomine Millepedis satis cogn. Angl. "a Wood Louse." Vid. Scrib. Long. c. 39. Galen. κατὰ Τόπους, c. i. item de Simpl. ii.

Ὁ Ἀλέξανδρος ἐξ Ἰνδίας. Vid. Strab. l. xv.

Μῆλον Μηδικὸν καὶ Περσικόν. N. B. Theophrastus ait, Μῆλον οὐκ ἐσθίεται, sc. sylvestri statu: ergo varietates cultæ nondum

innotuerunt. Ἄκανθαι quoque οἷας Ἄχρας, Ὀξυάκανθαι p. 156. memorantur.

CAP. V.

Τὴν καλουμένην Συκῆν. Ex similitudine radicationis pensilis, si ita dicam, suspicor Theophr. sub communi nomine Συκῆς genera duo maxime diversa confundere, sc. Ficum, *religiosum* L. et Rhizophoram. Vid. l. i. c. 12. Species hæc ad Fluv. Acisinem καρπῷ θαυμαστῶς μικρῷ, necnon foliis grandibus peltatis.

Ἔστι δέ τι ἕτερον. Musa, *Paradisiaca* L. ut videtur.

Ἕτερον δὲ φύλλῳ προμήκει Στρουθίου πτερῷ ὅμοιον, sc. Areca, *Cathecu*, L. ex familia Palmarum.

Ἄλλο τί ἐστιν οὗ ὁ καρπὸς, μακρὸς, σκολιός. De hac arbore inquirendum. An Strychnos, Nux Vomica L.? cujus mira prominentia nucis ex apice pomi, figuræ incurvæ. N. B. Species plures cursim enumerat ex India; aitque Cerealea regionis istius, etsi diversa ab Europæis, proxime tamen accedere, Oryza L. excepta, quæ τὸν πολὺν χρόνον ἐν ὕδατι.

Δένδρον ἐν Κιδρωσίᾳ Δάφνης φύλλῳ. Planta venenosa, quæ a Bodæo, Apocyno, L. refertur.

CAP. VI.

Τὰ εὔοσμα. De odoriferis Arabiæ et Indiæ hoc capitulo tractatur.

Βάλσαμος. Arbor cujus gumma ὀποβάλσαμον, ut apud Bod. Amyris *Gileadensis* L. apud Prosp. Alpinum describitur, et recenter a D. Bruce Abyss. App. sub nomine Balessan, ubi icones duæ dantur.

Ἐν τῇ Ἀδρίᾳ. Regione vicina maris Hadriatici: adeo ut complectetur Galliam cis Alpes.

Πλάτανον. A voce Græca πλατύνω respectu amplitudinis folii, unde umbra fit densissima. Vid. Platani laudes Plin. xii. 1. etiam quæ de admiratione Xerxis apud Ælianum, ii. 14.

CAP. VII.

Τὰ δ' ἔνυδρα. In hoc capite de plantis marinis tractat, quæ ex similitudine terrestrium vocantur Ἐλάτη, Συκῆ, Δρῦς.

Ἄμπελος, Φοῖνιξ. Quorum nomina, quoad ex descriptione eruenda sint, in Catalogo Plant. recensentur.

Κάλλιον τῆς Πορφύρας. MUREX, L. cujus usus ad tingend. antiquis notus, æque ac Fucorum quorundam.

Ὀστρακοδέρμων ἔνια. Testacea animalia quæ fucis vescuntur, et ibi adhærent; sed F. *vesiculoso* L. quasi innascitur genus parvulum, sc. Serpula, *spirorbis* L.

Ἡ Συκῆ ἄφυλλος. Conjicerem Ficum marinam Theophr. Alcyoniis referendam.

Ὁ δὲ Φοῖνιξ. Ex descriptione αἱ ἐκφύσεις τῶν ῥάβδων, οὐ κύκλωθεν—ἀλλ' ὡς ἐν πλάτει, Fucis plurimis convenit: sed charactere qui sequitur, δι' ὅλου φύλλου ἥκειν τὸν μέσον καυλὸν, frons F. *vesiculosi* et *serrati*, apte describitur folio oblongo, costa intermedia, alis utrinque. Bot.

CAP. VIII.

Πλὴν τῆς Ἀκάνθας δίψαδος. Genus Dipsas a Linn. sistitur, sc. Dips. *Fullonum*, Ang. "Teasel." Planta hæc instruitur membrana cyathiformi ad caulem, cujus ope retinetur aqua æstatis tempore: sed apud nos ad aggeres vulgatissima, ideoque forsan diversa a planta Theophr. N. B. Ἀκ. Ἀραβίκης mentio fit apud Galen. de Simpl. lib. vi. ut et apud Dioscor. quæ dicitur Α. λεύκη ὅμοια. Forsan tamen species hæc adhuc latet in arenosis Arabiæ.

Μύκητες, sc. Madrepora, *fungites* L. Corallini species notissima. N. B. Quæ de Daphne marina, Olea, et Thymo, fabulosa admodum. Inter Corallinas reperiuntur species arborescentes; necnon in recenter inundatis a mari casu quopiam, arbores submersas videre est, quæ per secula duraverunt.

Δένδρα ὅμοια Ἀνδράχνῃ ἄνθει, χρώματι Ἀμυγδάλης, κ. τ. λ. Gorgoniæ species reperiuntur ramosissimæ, cujus ex apicibus Polypi, ibi nidulantes (Hydri L.) in formam floris sese expandunt. Vid. icon. tubulariæ, *magnificæ*, Act. Linn. v. 5. Tentacula hujus Polypi συνελίττεται, (contrahunt sese,) itemque ad basim juncta sunt, συνηρτημένα εἰσὶ ἐν πᾶσιν.

CAP. IX.

Ἐν Τύλῳ. Vid. Plin. xii. 10. Hic etiam fabulosa narratio: nempe de sylvis arborum in intervallo insulæ a continentis æstu maris relictis: sed quænam pars Arabici sinus indicatur?

Δένδρα ἐριόφορα. Gossypium *arboreum* L. accuratissime describitur. Notandum quoque σινδόνας apud Græcos gossypinas æque ac linteas vestes exprimere, idque πολυτελιστάτας.

Εἶναι ἄλλα δένδρα. Arbores floribus violaceis et rosaceis cursim nominantur, adeo ut vix liceat conjicere an Hybiscus, vel alia quædam inter exotica specioso flore.

Πάπυρος. Papyrus *Nilotica* L. fuse ex autopsia, ut videtur, describitur. Vid. Plin. xii. 11.

Σαρί. Barbara vox. N. B. Planta affinis Papyri describitur sub hoc nomine: sed nulla mentio apud synonyma Linn. nec apud antiquos, quoad scio.

Τὸ δὲ Μνάσιον ποῶδές ἐστιν. Nullus dubito quin pl. Ægypti a D. Bruce descripta et delineata sub nomine "Ensete," (vid. App. p. 36.) hic referenda sit. Dempta terminatione Græce ον, voces Mnasi, Ansi, haud absimiles, et usus plantæ ad victum humanum idem.

CAP. X.

Ὁ δὲ Κύαμος. Lotus *Colocasia* L. vulgo Faba Ægyptiaca. Vid. Plin. xxi. 15. Dioscor. ii. 128. Celebris planta, ex αὐτοψίᾳ, ut videtur, descripta.

Ἐπὶ τούτῳ δὲ ἡ κωδία. Textus mendosus: apud Bod. et alios post διόλου legitur, διειλημμένας ὁμοίως τοῖς κηρίοις. Suspicor hæc verba ex margine in textum irrepsisse, aut saltem locum obtinere post descriptionem pericarpii apud Bod. ciborium (vid. iconem) παρόμοιον σφηκίῳ περιφέρει.

Ἡ πίλος. Folium Galeriforme Colocasiæ.

Φύεται κατὰ γῆς, ὁ καλεῖται Μαλιναθάλλη. Sub terra tuber Cyperi *esculenti* L. reperitur in arenosis juxta Nilum. A Plin. vocatur "anthalium;" igitur scribend. μῆλον ἀνθάλιον. Vid. icon. apud Bod. p. 471. Hujus mentio in Flora Græc. fasc. 2.

Ὅταν ὁ Σῖτος ᾖ καθαρὸς, i. e. post ventilationem.

CAP. XI.

Ὁ Τρίβολος. Tribuli aquatici L. pericarpio excepto, descriptio satis accurata. Quare, ut μελὰς καὶ σκληρὸς σφόδρα simpliciter vocatur, cum forma ejus sit omnium maxime singularis, sc. undique muricata punctis acutis, muricum ad instar: Angl. "Caltrops."

Ὁ καυλὸς ἐξ ἄκρου παχύτατος. Ordine inverso: observatu dignum hunc ordinem in aquosis quibusdam obtinere.

Ἀποπεφυκότα τριχώδη τινά. De stipulis linearibus, vel capillaribus. N. B. Hæ in Tribulo et Potamogeitone notissimæ.

Ἄνθος χνοῶδες. Flos stamineus. Bot. Textus hoc loco corruptus, non nisi inspectione fructificationis Viticis, *agni casti* L. sanandus: apud Bod. legitur τῷ τῆς Λεύκης ὁμοίῳ, quæ verba tollenda censet idem auctor.

Ἡ δὲ Σίδη. Planta hæc inter ignotas. Bod. p. 462. Certe tamen Nymphææ affinis planta. Nomen forsan ex pericarpio, cujus forma instar pomi M. *Granati* (σιδίου Lex. Theophr). N. B. De Butomo, Equiseto, aliisque fluviatilibus in hoc capite sermo est: vid. Cat. Plant. necnon operæ pretium erit in ipso Lacu Orchomeni plantas investigare.

CAP. XII.

Ὁ δὲ Κάλαμος. Arundinum arborescentium duæ apud Linn. Spec. Plant. A. D. 1674. Novissime tamen Bambusa, ut genus proprium, sistitur. De usibus Arundinis et Cannæ occurrunt multa in hoc capite observatu digna.

Ἔτι πλεῖον βαθυνθῆναι τὴν λίμνην. Non respectu profunditatis aquæ, sed e contra, ut constat ex textu.

Προκαταυλήσεως. De præparatione nodorum Cannæ, in usum tibiarum, sc. ut pars exterior fiat quam firmissima; sermo est descriptio manipulationis accurata admodum.

Καὶ ὁ Κηφισός. Suspicor corruptionem textus, cui mederi conatus sum, parenthesi interposita.

Γένος τὶ Καλάμου ἐπίγειον. Species hæc arborea, ex quibus cymbulæ (ἀκάτιοι secundum Plinium) fiebant, certe Bambusa Linn. sed mallem legere cum Bodæo ἀκόντιοι.

CAP. XIII.

Περὶ Σχοίνου. Genus Schœnus L. videtur indicari, etsi Bodæus interpretetur Juncus. Fortasse tria Σχοίνων Theophrasti γένη, sub generibus diversis L. militant. Scirpi species quædam appellatur Holoschœnus a Linn. et ut Μελάγκρανις enumeratur species Melanoschœnus a Michelio: sed quare κάρπιμοι quidam? Anne seminibus utebantur? Plin. xxi. 17.

Πρὸς μίᾳ ἀρχῇ γραμμώδει. Optime describit inflorescentiam plantæ, ex qua species eruenda sit.

Ὁ Βάτος. Incidenter fit mentio Βάτου, ut siccis pariter ac aquosis gaudens. Descriptio occurrit iii. 17.

CAP. XIV.

Βραχυβιότητος. Comparatio inter arbores palustres et montanas instituitur hoc capite. Vid. etiam de Caus. Plant. ii. 15.

Ἀγοιώτερα τοῖς περικαρπίοις. Interpretes perperam reddunt. Sensus est, fructum plantas hasce edere, sed non maturare: N. B. *τὰ ἐν περικαρπίοις*, caro, vel pulpa.

Ἐλαίαν Ἀθήνησι. De arbore hac, utpote de aliis longævitate famosis, vid. Plin. xvi. 44.

Καθ' ὃν τὸ στέλεχος. Locus hic in Codd. corruptissimus. Sensus, secundum Scal. "Si metiamur vitæ tractum in arbo-"ribus a diuturnitate stipitis tanquam principii ejus, inibitur "ratio vitæ ejus, circa 200 annos." Bod. p. 493. Error textus, forsan ex inscitia librarii, qui *ἀναμετρεῖν τὸν χρόνον* (explicationem sc. verborum *ἀρχὴν τιθέντα μέτρον χρόνου*) ex margine in textum recepit.

CAP. XV.

Τοῖς δ' ἡμέροις ἐστὶ πλείω νοσήματα. Observatio accurata admodum: cultura enim, etsi feraciores, imbecilliores tamen fiunt arbores. N. B. Morbi generales et peculiares arborum hoc capite describuntur: observandum tamen *περὶ τοῦ σκωλήκουσθαι*, quod non proprie morbus, sed effectus morbi, sive radicem, seu truncum, vel fructum spectat.

Ψώρα, καὶ αἱ προσφυόμεναι Κοχλίαι. Coccus genus L. hic indicatur. In viridariis nostris stipites Citri *Aurantii* infestat.

Πάντες εἰς Κεράστην ἀποκαθίστανται. Ultima Coleopterarum L. transformatio: vid. Linn. Syst. Nat. N. B. Mentio hujus insecti supra, ii. 9.

Φθέγγονται οἷον τρίσμον. Alibi *τρίγμον*, sed male. Vox facta ad imitationem fremitus alarum in insectis.

Ἀράχνιον. Morbus Oleæ; Araneus, Plin. xvii. 24. Inquirendum de hoc in loco natali. N. B. Animalcula quædam arbores infestantia, texunt sibi nidum, telæ araneæ, quoad materiem, similem. Hujus generis videre est in Larice, et in arboribus fructiferis quibusdam; præcipue in pomiferis ex Gallia, ut ferunt, importatis.

Ἐγγίνονται δὲ Κνίπες. De Aphide L. vid. supra, c. 7. N. B.

Accurate observatur ὅτι δοκοῦσιν ἐξ ὑγρότητος γλυκείας συνίστασθαι, Aphidis enim excrementum, mel quoddam, quod folia æstate illinans, appellatur Angl. "Honey Dew." Vid. Aphidis hist. Act. Linn. v. 6.

Κάμπαι. Erucæ, sive larvæ Coleopterarum, ver L. Vid. Κεράστης. Dirum animal, ut ait Plinius xix. 11. Colum. l. ii.

CAP. XVI.

Λοιπὸν δ' εἰπεῖν. Vid. Plin. de injuriis plantarum xvii. 24. quod ad vocem διακόπτειν recte notat Scal. non luxare, ut ait Theodorus, sed pertundere.

Τοῦ Θαργηλιῶνος. Plin. ait, "Sole Geminos transeunte." N. B. Scal. conjicit mendam inesse textui, ex comparatione cap. ix. cui mederi conatus est. Bod. p. 505.

CAP. XVII.

Ἔλαιον ἐπιχέουσι. Res mira; sc. oleum adhiberi ad plantas necandas; an ex nimia fœcunditate? Adeps et Pix, ut æque arboribus noxiæ, enumerantur Plin. xxvii. 24.

Χαλεπὸς ὁ Κύτισος. Cytisus Marantha, Bod. sc. a μαραίνω. N. B. Laudes Cytisi in generando lacte apud Plin. celebrantur xiii. 24. et Colum. ix. 4. N. B. C. Marantha Bodæi (p. 508.) syn. C. cornuti Ger. em. cujus icon mutuatur. Silent ambo de viribus nocivis. Anne fruticulum a Carolo Clusio descriptum, circa sepes vinearum in Sicilia proveniens, quod, ut ait, Cytisus Latine audit? Vid. Bod. p. 508. Parasitica forsan species, vel ut Polygonum, Fagopyrus, Fumaria, amplexu enecans plantas vicinas. N. B. Κύτισος arbor describitur i. 9. iv. 20. v. 4.

Ἅλιμον. Salicorniæ species: vid. Catal. De viribus nocivis hujusce marinæ plantæ respectu terrestrium non est quod miremur.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Ε'.

CAP. I.

De cædendo Ligno, tum rotundo, tum quadrato.

ΠΕΡΙ δὲ τῆς ὕλης ποία τέ ἐστιν ἑκάστη, ποθ' ὡραία, τέμνεσθαι, καὶ πρὸς ποία τῶν ἔργων χρησίμη, καὶ ποία δύσεργος ἢ εὔεργος, καὶ εἴτι ἄλλο τῆς τοιαύτης ἱστορίας ἔχεται, πειρατέον ὁμοίως εἰπεῖν. ὡραῖα δὴ τέμνεσθαι ξύλα, τὰ μὲν *στρογγύλα, καὶ ὅσα πρὸς φλοισμὸν, ὅταν βλαστάνῃ, τότε γὰρ εὐπεριαίρετος ὁ φλοιὸς, ὃ δὴ καλοῦσι [a]*λιπᾶν, διὰ τὴν ὑγρότητα τὴν ὑπογινομένην αὐτῷ. μετὰ δὲ ταῦτα δυσπεριχάθαρτος, καὶ τὸ ξύλον *μέλαν γίνεται καὶ δυσειδές· τὰ δὲ *τετράγωνα μετὰ [b]τὸν *λιπητὸν, ἀφαιρεῖται γὰρ ἡ περιέκκησις τὴν δυσειδίαν· ὅλως δὲ πᾶν [ξύλον] πρὸς ἰσχὺν ὡραιότατον, οὐ μόνον πεπαυμένον τῆς βλαστήσεως, ἀλλ' ἔτι μᾶλλον ἐκπεπαῖνον τὸν καρπόν. ἀλλὰ διὰ τὸν φλοισμὸν, ἀώροις οὖσιν, ὡραίοις συμβαίνει γίνεσθαι, τοῖς στρογγύλοις,

[a] λοπᾶν, Ald. λοπίαν, Bas. [b] τῶν λοπητῶν, Ald. τὸν κοπητὸν, Const.

ὥστε ἐναντίαι αἱ ὧραι κατὰ συμβεβηκός. εὐχρούστερα δὲ τὰ ἐλάτινα γίνεται κατὰ τὸν πρῶτον *λίπητον· ἐπεὶ δὲ μάλιστα, ἢ μόνον, οὐ περιαιροῦσι τὸν φλοιὸν, Ἐλάτης, καὶ Πίτυος· ταῦτα μὲν τέμνεται τοῦ ἦρος, (τότε γὰρ ἡ βλάστησις) τὰ δὲ ἄλλα, ὅτε μὲν μετὰ *πυροτομίαν, ὅτε δὲ μετὰ *τρυγητὸν, καὶ Ἀρκτοῦρον, οἷον, Ἄρια, Πτελέα, Σφένδαμνος, Μελία, Ζυγία, Ὀξύα, Φιλύρα, [c] Φηγός τε, καὶ ὅλος ὅσα ὀρύττεται· Δρυὸς δὲ, ὀψιαίτατα κατὰ χειμῶνα, μετὰ τὸ μετόπωρον. ἐὰν δὲ ὑπὸ τὸν λιπητὸν τμηθῇ, σήπεται τάχιστα, ὡς εἰπεῖν, ἐάν τε ἔμφλοιος, ἐάν τε ἄφλοιος· καὶ μάλιστα μὲν τὰ ἐν τῷ πρώτῳ λιπητῷ· δεύτερα δὲ, τὰ ἐν τῷ δευτέρῳ, τρίτα δὲ, τὰ ἐν τῷ τρίτῳ· τὰ δὲ μετὰ τὴν πέπανσιν τῶν καρπῶν, ἄβρωτα διαμένει, κἂν [d] ἀλόπισα ᾖ· πλὴν ὑπὸ τὸν φλοιὸν ὑποδυόμενοι Σκώληκες, ἐπιπολῆς ἐγγράφουσι τὸ στέλεχος, οἷς καὶ σφραγίσι χρῶνταί τινες. ὡραῖον δὲ τμηθὲν τὸ δρύϊνον ἀσαπές τε καὶ *ἀθριπηδέστοτον γίνεται, σκληρὸν δὲ καὶ πυκνὸν ὥσπερ κέρας, πᾶν γὰρ ὅμοιόν ἐστιν ἐγκαρδίῳ, πλὴν τόγε τῆς Ἀλιφλοίου, καὶ [e] γὰρ τόγε φαῦλον. συμβαίνει δὲ καὶ τοῦτο ὑπεναντίως ὅταν τε κατὰ τὴν βλάστησιν τέμνωνται, καὶ ὅταν μετὰ τοὺς καρπούς· τότε μὲν ἀναξηραίνεται τὰ στελέχη, καὶ οὐ παραβλαστάνει τὰ δένδρα, μετὰ δὲ τοὺς καρποὺς παραβλαστάνει· *δυστομώτερα δὲ διὰ τὴν σκληρότητα [f] κατὰ ταύτην τὴν ὥραν. κελεύουσι δὲ καὶ δεδυκυίας τῆς σελήνης τέμνειν, ὡς σκληροτέρων καὶ ἀσαπεστέρων γινομένων. ἐπεὶ δὲ αἱ πέψεις τῶν καρπῶν

[c] Φηγίς. πηγόσιν τι, Bas. [d] ὀλόπιστα Bas. [e] γὰρ deest Bod. [f] καὶ ταύτην Bod.

παραλλάττουσι, δηλονότι καὶ αἱ ἀκμαὶ πρὸς τὴν τομὴν παραλλάττουσιν, ἀεὶ γὰρ ὀψιαίτεραι τῶν ὀψικαρποτέρων, δι' ὧν καὶ πειρῶνταί τινες ὁρίζειν καθ' ἕκαστον, οἷον Πεύκην μὲν καὶ Ἐλάτην, ὅταν *ὑπολιπῶσιν· ἔτι δὲ Ὀξύαν, καὶ Φιλύραν, καὶ Σφένδαμνον, καὶ Ζυγίαν, τῆς ὀπώρας· Δρῦν δὲ, ὥσπερ εἴρηται, μετὰ τὸ φθινόπωρον. φασὶ δέ τινες ταύτην ὡραίαν εἶναι τοῦ ἦρος, ὅταν γε ἔχῃ τὴν καλουμένην *κάχρυν· καὶ τὴν Πίτυν, ὅταν ὁ βότρυς ἀνθῇ. ποία μὲν οὖν ὡραῖα καθ' ἕκαστον χρόνον, οὕτω διαιροῦνται· πάντων δὲ δηλονότι βελτίω τὰ τῶν ἀκμαζόντων δένδρων, ἢ τῶν νέων κομιδῇ, ἢ καὶ γεγηρακότων, τὰ μὲν γὰρ ὑδατώδη, τὰ δὲ γεώδη· πλείστας δὲ χρείας καὶ μεγίστας ἡ Ἐλάτη καὶ ἡ Πεύκη παρέχονται, καὶ αὐτὰ κάλλιστα καὶ μέγιστα τῶν ξύλων ἐστί.

CAP. II.

Lignorum Differentiæ.

ΔΙΑΦΕΡΟΥΣΙ δὲ ἀλλήλων ἐν πολλοῖς [τὰ ξύλα]· ἡ μὲν γὰρ Πεύκη, σαρκωδέστερά τε καὶ *ὀλιγόινος, ἡ δὲ Ἐλάτη, καὶ πολύϊνος καὶ ἄσαρκος, ὥστε ἐναντίως ἑκάτερον ἔχει τῶν μερῶν· τὰς μὲν γὰρ ἶνας ἰσχυράς· τὴν δὲ σάρκα μαλακὴν καὶ μανήν. διὸ τὸ μὲν τῆς Πεύκης βαρύ ἐστι, τὸ δὲ (τῆς Ἐλάτης) κουφόν· τὸ μὲν ε γὰρ ἔνδαδον, τὸ δὲ ἄδαδον, ἢ καὶ λευκότερον. ἔχει δὲ καὶ ὄζους πλείους μὲν ἡ Πεύκη, σκληροτέρους δὲ ἡ Ἐλάτη, πολλῷ μᾶλλον δὲ καὶ σκληροτάτους πάντων· ἄμφω δὲ πυκνοὺς καὶ κερατώδεις, καὶ τῷ χρώματι ξανθοὺς, καὶ *δαδώδεις, ὅταν δὲ τμηθῶσι, ῥεῖ καὶ ἐκ τῶν τῆς

ε ἔνδαδον γάρ· Bod.

Ἐλάτης καὶ ἐκ τῶν τῆς Πεύκης ἐπὶ πολὺν χρόνον ἡ *ὑγρότης, καὶ μᾶλλον ἐκ τῶν τῆς Ἐλάτης. ἔστι δὲ καὶ πολύλλοπον ἡ Ἐλάτη, καθάπερ τὸ Κρόμμυον, ἀεὶ γὰρ ἔχει [λόπον] τινὰ ὑποκάτω τοῦ φαινομένου, καὶ ἐκ τοιούτων ἡ ὅλη· διὸ καὶ οἱ τὰς κώπας ξύοντες, ἀφαιρεῖν πειρῶνται καθ' ἕνα καὶ ὁμαλῶς, ἐὰν γὰρ οὕτως ἀφαιρῶσιν, ἰσχυρὸς ὁ κοπεὼν, ἐὰν δὲ παραλλάξωσι, καὶ μὴ κατὰ πάντα ὁμοίως, [h] ἀσθενής· πληγὴ γὰρ οὕτως, ἐκείνως δὲ, ἀφαίρεσις. ἔστι δὲ καὶ μακρότατον ἡ Ἐλάτη καὶ ὀρθοφυέστατον, διὸ καὶ τὰς *κεραίας καὶ τοὺς ἱστοὺς ἐκ ταύτης ποιοῦσιν, ἔχει δὲ καὶ τὰς *φλέβας καὶ τὰς *ἶνας εὐγενεστάτας πάντων· αὐξάνεται δὲ πρῶτον εἰς μῆκος, ἄχρις οὗ ἀφίκηται τοῦ ἡλίου· καὶ ὄζος οὐδεὶς, οὔτε παραβλάστησις, οὔτε πάχος γίνεται· μετὰ δὲ ταῦτα εἰς βάθος, καὶ πάχος· οὕτως δὲ αἱ τῶν ὄζων ἐκφύσεις καὶ παραβλαστήσεις. ταῦτα μὲν ἓν ἴδια τῆς Ἐλάτης, τὰ δ' ἐστι, κοινὰ καὶ Πεύκης καὶ Ἐλάτης, καὶ τῶν Ἐλάτων καὶ ἄλλων, ἔστι γὰρ ἡ μὲν [i] *τετράξοος, ἡ δὲ *δίξοος· καλοῦσι δὲ τετραξόους μὲν, ὅσαις ἐφ' ἑκάτερα τῆς *ἐντεριώνης δύο *κτηδόνες εἰσὶν, ἐναντίαν ἔχεσαι τὴν φύσιν· ἔπειτα καθ' [k] ἑκάτεραν τὴν κτηδόνα ποιοῦνται τὴν πελέκησιν, ἐναντίας τὰς πληγὰς κατὰ κτηδόνα φέροντες, ὅταν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης ἡ πελέκησις ἀνασρέφῃ, τοῦτο γὰρ ἐξ ἀνάγκης συμβαίνει διὰ τὴν φύσιν τῶν κτηδόνων· τὰς δὲ τοιαύτας Ἐλάτας καὶ Πεύκας τετραξόους καλοῦσιν. εἰσὶ δὲ καὶ πρὸς τὰς ἐργασίας αὗται κάλλισται, πυκνότατα γὰρ ἔχουσι τὰ ξύλα, καὶ τὰς

h ἰσθενὴς, Bod. Vid. not. ad fin. libri.

i τετράζοος, Ald. Bas. τετραῤῥόος, Plin.

k ἑτέραν Bod.

*αἰγίδας αὗταϛ φύουσι. αἱ [l]δίξοοι δὲ κτηδόνα μὲν ἔχυσι μίαν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης, ταύτας δὲ ἐναντίας ἀλλήλαις, ὥϛε ϰ̀ τὴν ϖελέκησιν εἶναϛ διπλῆν, μίαν δὲ καθ' ἑκατέραν κτηδόνα ταῖς ϖληγαῖς [m]ἐναντίαις. ἀπαλότητα μὲν οὖν ταῦτά φασιν ἔχειν τὰ ξύλα, χείριστα δὲ ϖρὸς τὰς ἐργασίας, διαϛρέφεταϛ γὰρ μάλιϛα. [n]*μονοξόους δὲ καλοῦσι, ἐχούσας μίαν μόνον κτηδόνα, τὴν δὲ ϖελέκησιν αὐτῶν [φασὶ] γίνεσθαϛ τὴν αὐτὴν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης· φασὶ δὲ μανότητα μὲν ἔχειν τῇ φύσει τινὰ ξύλα, ταῦτα δὲ ϖρὸς τὰς *διαστροφὰς ἀσφαλέστατα. διαφορὰς δὲ ἔχουσι τοῖς φλοιοῖς, καθ' ἃς γνωρίζουσιν, ἰδόντες εὐθὺς, τὸ δένδρον, *ϖεφυκὸς ϖοῖόν τί ἐστι, τῶν μὲν γὰρ εὐκτηδόνων ϰ̀ ἀϛράβων, ϰ̀ ὁ φλοιὸς λεῖος ϰ̀ ὀρθὸς, τῶν δ' ἐναντίων τραχύς τε ϰ̀ διεϛραμμένος· ὁμοίως ϰ̀ ἐπὶ τῶν λοιπῶν. ἀλλ' ἔϛι τετράξοα μὲν ὀλίγα, [o]μονόξοα δὲ ϖλείω τῶν ἄλλων· ἅπασα δὲ ἡ ὕλη, μείζων, ϰ̀ ὀρθοτέρα, ϰ̀ ἀϛραβεϛέρα, ϰ̀ ϛρυφνοτέρα, ϰ̀ ὅλως καλλίων ϰ̀ ϖλείων, ἡ ἐν τοῖς ϖροσβορείοις, ὥσπερ ϰ̀ ϖρότερον ἐλέχθη· ϰ̀ αὐτοῦ τοὺς δένδρου δὴ τὰ ϖρὸς βορρᾶν, πυκνότερα ϰ̀ *νεανικώτερα· ὅσα δὲ *ὑποπαράβορρα, ἢ ἐν *περίπνῳ, ταῦτα ϛρέφει ϰ̀ *ϖαραλήγει ϖαρὰ μικρὸν ὁ Βορέας, ὥϛτε εἶναϛ ϖαρεϛραμμένην αὐτῶν τὴν μήτραν, ϰ̀ οὐ κατ' ὀρθόν. ἔϛι δ' ὅλα μὲν τὰ τοιαῦτα, ἰσχυρὰ, τμηθέντα δὲ ἀσθενῆ, διὰ τὸ ϖολλὰς ἔχειν ϖαραλλαγὰς, καλοῦσι δὲ οἱ τέκτονες *[p]ἐπίτομα ταῦτα· διὰ τὸ ϖρὸς τὴν χρείαν οὕτω τέμνειν.

l δίζοοι Bas. Ald. m ἐναντίας. Bod. n μονοζόους Ald. μονόρρόους Plin. o μονόζοα μονόροα Const. p πιρίτομα Const.

CAP. III.

Usus Ligni fabriles, et igniarii. Spiræ in Ligno. Circumsepta quædam in Trunco Arboris.

Ὅλως δὲ χείρω τὰ [ξύλα] ἐκ καὶ ἐφύγρων καὶ εὐδιεινῶν καὶ παλισκίων καὶ τῶν *συνηρεφῶν, καὶ πρὸς τὴν τεκτονικὴν χρείαν καὶ πρὸς τὴν *πυρευστικήν. αἱ μὲν οὖν τοιαῦται διαφοραὶ πρὸς τοὺς τόπους, αὐτῶν τῶν ὁμογενῶν, ὡς δὲ ἁπλῶς εἰπεῖν, διαιροῦσι γάρ τινες κατὰ τὰς χώρας, καί φασιν ἀρίστην μὲν εἶναι τῆς ὕλης πρὸς τὴν τεκτονικὴν χρείαν, τὴν εἰς τὴν Ἑλλάδα παραγινομένην, τὴν Μακεδονικήν· λεία τε γάρ ἐστι καὶ ἀστραβής, καὶ ἔχουσα *[q] θύϊον τί· δευτέραν δὲ τὴν Ποντικὴν, τρίτην δὲ τὴν ἀπὸ τοῦ Ῥυνδάκου, τετάρτην δὲ τὴν Αἰανικὴν, χειρίστην δὲ, τήν τε Παρνασιακὴν καὶ τὴν Εὐβοϊκήν· καὶ γὰρ ὀζώδεις καὶ τραχείας, καὶ ταχὺ σήπεσθαι· περὶ δὲ τῆς Ἀρκαδικῆς σκεπτέον. ἰσχυρότατα δὲ τῶν ξύλων ἐστὶ, τὰ ἄοζα καὶ λεῖα, καὶ τῇ ὄψει δὲ ταῦτα [r] κάλλιστα· καὶ μάλιστα ὀζώδη γίνεται τὰ [s] κακοτροφηθέντα, καὶ ἤτοι χειμῶνι πιεσθέντα, ἢ καὶ ἄλλῳ τινὶ τοιούτῳ· τὸ γὰρ ὅλον, τὴν πολυοζίαν εἶναι δι' ἔνδειαν εὐτροφίας· ὅταν δὲ κακοτροφήσαντα ἀναλάβῃ πάλιν, καὶ εὐσθενήσῃ, συμβαίνει καταπίνεσθαι τοὺς ὄζους ὑπὸ τῆς *περιφύσεως· εὐτροφοῦν γὰρ, καὶ αὐξανόμενον, *ἀναλαμβάνει, καὶ πολλάκις ἔξωθεν μὲν λεῖον τὸ ξύλον, διαιρούμενον δὲ ὀζῶδες ἐφάνη. διὸ καὶ σκοποῦνται τῶν σχιστῶν τὰς μήτρας, ἐὰν γὰρ αὗται ἔχωσιν ὄζους, ὀζώδη

q τύϊον, Bod. r κάλλιστα deest Bod. s κακοστρεφηθέντα, Bod.

καὶ τὰ ἐκτὸς, καιπὲρ οὐ φανερῶς. γίνονταϊ δὲ καὶ αἱ *σπεῖραϊ διὰ χειμῶνάς τε καὶ κακοτροφίαν, σπείρας δὲ καλοῦσιν ὅταν [t] ἡ συστροφή τις ἐν αὐτῇ μείζων, καὶ κύκλοις περιεχόμενη πλείοσιν· οὔθ' ὥσπερ ὁ ὄζος, ἁπλῶς, οὔθ' ὡς ἡ οὐλότης ἐν αὐτῷ τῷ ξύλῳ, δι' ὅλε γάρ πως αὕτη καὶ ὁμαλίζουσα· χαλεπώτερον δὲ τοῦτο πολὺ καὶ δυσεργότερον τῶν [u] ὄζων. ἔοικε δὲ παραπλησίως καὶ, ὡς ἐν τοῖς λίθοις, ἐγγίνεθαϊ τὰ καλούμενα *κέντρα· ὅτι δὲ περίφυσις, καταλαμβάνει τοὺς ὄζους, φανερώτατον ἐξ αὐτῆς τῆς *αἰθήσεως. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν ὁμοίων· πολλάκις γὰρ αὐτοῦ τοῦ δένδρου μέρος τι συνελήφθη ὑπὸ θατέρου *συμφυοῦς γενομένου, καὶ ἐάν τις ἐκλιθαθῇ λίθον εἰς τὸ δένδρον, ἢ καὶ ἄλλό τι τοιοῦτο, [x] κατακρύπτεταϊ, περιληφθὲν ὑπὸ τῆς περιφύσεως, ὥσπερ καὶ περὶ τὸν Κότινον συνέβη, τὸν ἐν Μεγάροις, τὸν ἐν τῇ ἀγορᾷ· οὗ καὶ ἐκκοπέντος, λόγιον ἦν ἁλῶναϊ καὶ διαρπαθῆναϊ τὴν πόλιν, ὥσπερ [y] ἐγένετο ἐπὶ Δημητρίου· ἐν τούτῳ γὰρ διαχιζομένῳ κνημῖδες εὑρέθησαν, καὶ ἄλλ' ἄττα [z] τῆς ἀττικῆς ἐργασίας, ἅ ἐστιν ἐν τῷ Κοτίνῳ, οὗ ἀνετέθη τὸ πρῶτον, ἐγκοιλαθέντος, τούτου δὲ ἔτι μικρὸν τὸ λοιπόν. πολλαχοῦ δὲ καὶ ἄλλοθι γίνεταϊ πλείονα τοιαῦτα· καὶ ταῦτα μὲν, ὥσπερ εἴρηταϊ, κοινὰ πλειόνων.

[t] εὐτραφή τις Ald. Vid. not. ad fin. libri. [u] ὄζων. Bod.
[x] καταχρύπτεται, Bod. [y] ἐγίνετο χ Δημητρίου. Ald.
[z] τοὺς Ἀττικῆς κιρμήστι· Bod. Vid. not. ad fin. libri.

CAP. IV.

Qualitates aliæ Lignorum.

ΚΑΤΑ δὲ τὰς ἰδίας ἑκάςου ξύλου φύσεις αἱ τοιαῦταί εἰσι διαφοραὶ, οἷον, πυκνότης, μανότης· βαρύτης, κουφότης· σκληρότης, μαλακότης· ὡσαύτως δὲ, καὶ εἴτις ἄλλη τοιαύτη. κοιναὶ δὲ ὁμοίως αὗταί εἰσι καὶ τῶν ἡμέρων καὶ τῶν ἀγρίων, ὥστε περὶ πάντων λεκτέον. πυκνότατα μὲν οὖν δοκεῖ καὶ βαρύτατα Πύξος εἶναι καὶ Ἔβενος, οὐδὲ γὰρ οὐδὲ ἐπὶ τοῦ ὕδατος ταῦτ' ἐπινεῖ· καὶ ἡ μὲν Πύξος [a]ὅλη, τῆς δὲ Ἐβένυ, ἡ μήτρα, ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία. τῶν δ' ἄλλων ὁ Λωτός· πυκνὸν δὲ καὶ ἡ τῆς Δρυὸς μήτρα, ἣν καλοῦσι μελάνδρυον, καὶ ἔτι μᾶλλον ἡ τοῦ Κυτίσου, παρομοία γὰρ αὕτη δοκεῖ τῇ Ἐβένῳ εἶναι. μέλαν δὲ σφόδρα, καὶ πυκνὸν τὸ τῆς Τερμίνθου· περὶ γοῦν Συρίαν μελάντερόν φασιν εἶναι τῆς Ἐβένου, ἐκ τούτου γὰρ καὶ τὰς λαβὰς τῶν ἐγχειριδίων ποιεῖσθαι· τορνεύεσθαι δὲ [b]ἐξ αὐτῶν καὶ κύλικας Θηρικλείους, ὥστε μὴ δ' ἂν εἶναι διαγνῶναι πρὸς τὰς [c]κεραμέας. λαμβάνειν δὲ τὸ ἐγκάρδιον δεῖν καὶ ἀλείφειν τὸ ξύλον, οὕτω γὰρ γίνεσθαι καὶ κάλλιον καὶ μελάντερον. εἶναι δὲ καὶ ἄλλο τι δένδρον, ὃ ἅμα τῇ μελανίᾳ καὶ ποικιλίαν τινὰ ἔχει ὑπέρυθρον, ὥστε εἶναι τὴν ὄψιν ὡς ἂν Ἐβένου ποικίλης· ποιεῖσθαι δ' ἐξ [d]αὐτοῦ καὶ *κλίνας καὶ *δίφρους, καὶ τὰ ἄλλα τὰ σπουδαζόμενα. τὸ δένδρον δέ φασι μέγα σφόδρα καὶ καλλόφυλλον εἶναι, ὅμοιον τοῖς Ἀπίοις. ταῦτα μὲν οὖν ἅμα τῇ μελανίᾳ καὶ πυκνότητα ἔχει, πυκνὸν δὲ καὶ ἡ

[a] ὅλη οὐκ ἐπινεῖ· τῆς Const. [b] αὐτῆς Const. [c] κεραμίας. Bod. [d] αὐτῶν Bod.

Σφένδαμνος καὶ ἡ Ζυγία, καὶ ὅλως πάντα τὰ *οὖλα, καὶ ἡ Ἐλαία δὲ, καὶ ὁ Κότινος· ἀλλὰ δ' εἰσὶ [e] *κραῦρα, μανὰ δέ· τῶν μὲν ἀγρίων καὶ *ἐρεψίμων τὰ ἐλάτινα μάλιστα, τῶν δ' ἄλλων τὰ ἄκτινα, καὶ τὰ σύκινα, καὶ τὰ τῆς Μηλέας, καὶ τὰ τῆς Δάφνης. σκληρότατα δὲ, τὰ δρύϊνα, καὶ τὰ ζύγινα, καὶ τὰ τῆς Ἀρίας, καὶ γὰρ [f] ἀποβρέχουσι ταῦτα πρὸς τὴν τρύπησιν, μαλάξεως χάριν. μαλακὰ δὲ καθόλου μὲν τὰ μανὰ καὶ τὰ χαῦνα, τῶν δὲ σαρκωδῶν μάλιστα Φιλύρα· δοκεῖ δὲ καὶ *θερμότατον εἶναι τοῦτο, σημεῖον δὲ, ὅτι μάλιστα *ἀμβλύνει τὰ σιδήρια, τὴν γὰρ *βαφὴν ἀνίησι διὰ τὴν θερμότητα· θερμὸν δὲ καὶ Κιτΐδος, καὶ Δάφνη, καὶ ὅλως ἐξ ὧν τὰ [g] Πυρεῖα γίνεται, Μενέστωρ δέ φησι καὶ Συκάμινος. ψυχρότατα δὲ τὰ ἔνυδρα, καὶ γὰρ ὑδατώδη, καὶ γλίχρα δὲ, ὡς τά τε ἰτέϊνα καὶ ἀμπέλινα, διὸ καὶ τὰς ἀσπίδας ἐκ τούτων ποιοῦσι, *συμμύει γὰρ πληγέντα· κουφότερον δὲ τὸ τῆς Ἰτέας, μανότερον γὰρ, διὸ καὶ τούτῳ μᾶλλον χρῶνται. τὸ δὲ τῆς Πλατάνου γλιχρότητα μὲν ἔχει, φύσει δὲ ὑγρότερον τοῦτο, καὶ τὸ τῆς Πτελέας· σημεῖον δέ ἐςιν ὅτι μετὰ τὴν τομὴν, ὅταν ὀρθὰ σταθῇ, πολὺ ὕδωρ ἀφίησι. τὸ δὲ τῆς Συκαμίνου, πυκνὸν ἅμα καὶ γλίχρον· ἔστι δὲ καὶ *ἀστραβέςατον τὸ τῆς Πτελέας. διὸ καὶ τοὺς *στροφεῖς τῶν θυρῶν ποιοῦσι πτελεΐνους, ἐὰν γὰρ οὗτοι μένωσι, καὶ αἱ θύραι μένουσιν ἀστραβεῖς, εἰ δὲ μὴ, διαστρέφονται. ποιοῦσι δὲ αὐτοὺς, *ἔμπαλιν τιθέντες τὰ ξύλα, (τό, τε ἀπὸ τῆς ῥίζης, ἄνω καὶ τὸ ἀπὸ τοῦ φύλλου τὸ κάτω,) ἐναρμοθέντα γὰρ ἀλλήλοις, ἑκάτερον κωλύει πρὸς τὴν

[e] καῦρα, Bod. αὖρα, Const. Vid. not. ad fin. libri. [f] ἀποβρίθουσι Bod. [g] πυρὰ Ald.

ὁρμὴν, ἐναντίως ἔχον· εἰ δὲ ἐκεῖνο κατὰ φύσιν, ᾗπερ ἡ ῥοπὴ, ἐνταῦθα πάντως ἂν [εἴη] ἡ φορά. τὰς δὲ θύρας οὐκ εὐθὺς συντελοῦσιν, ἀλλὰ πήξαντες ἀφεστᾶσι, κἄπειτα ὕστερον, [h] οἱ μὲν τῷ τρίτῳ, οἱ δὲ τετάρτῳ ἔτει συνετέλεσαν, ἐὰν μᾶλλον σπουδάζωσι. τοῦ μὲν γὰρ θέρους ἀναξηραινόμεναι *διίστανται, τοῦ δὲ χειμῶνος συμμύουσιν· [i] αἴτιον δὲ ταῦτο. καὶ τῆς Ἐλάτης τὰ μανὰ καὶ σαρκώδη ἕλκει τὸν ἀέρα ἔνικμον ὄντα, ὁ δὲ Φοῖνιξ, κοῦφος καὶ εὔεργος, καὶ μαλακὸς, ὥσπερ ὁ Φελλός· βελτίων δὲ τοῦ Φελλοῦ, ὅτι *γλίχρος, ἐκεῖνο δὲ *θραυστὸν, διὰ τοῦτο τὰ εἴδωλα νῦν ἐκ τοῦ τῶν Φοινίκων ποιοῦσι. τοῦτο δ' ὡς φαῦλον παρήκασι. τὰς ἶνας δὲ οὐ δι' ὅλου ἔχει, οὐ δ' ἐπὶ πολὺ, καὶ μακρὰς, οὐ δ' ὡσαύτως τῇ θέσει ἐγκειμένας πάσας, ἀλλὰ παντοδαπῶς· ἀναξηραίνεται δὲ καὶ λεαινόμενον καὶ πριόμενον τὸ ξύλον.

CAP. V.

De Ligno Thuyæ et aliis diuturnis, ut Cupressi, Loti, Buxi, Juglandis, &c. Item de Teredone navali, L. et Vermibus aliis in Ligno.

ΤΟ δὲ [k] Θύϊον, (οἱ δὲ Θύϊαν καλοῦσι,) παρ' Ἄμμῳνι τε γίνεται, καὶ ἐν τῇ Κυρηναίᾳ, τὴν μὲν μορφὴν ὅμοιον Κυπαρίττῳ, καὶ τοῖς κλάδοις, καὶ τοῖς φύλλοις, καὶ τῷ στελέχει, καὶ τῷ καρπῷ, μᾶλλον δ' ὥσπερ Κυπάρισσος ἀγρία. πολὺ μὲν, καὶ ὅπου νῦν ἡ πόλις ἐστὶ, καὶ ἔτι διαμνημονεύουσιν ὀροφάς τινας τῶν ἀρχαίων ἐκ [l] Θύϊας οὔσας, ἀσαπὲς γὰρ ὅλως τὸ ξύλον, οὐλότατον δὲ κατὰ

h οἱ δὲ τῷ τρίτῳ ἔτει Bod. i αἴτιον δ' ὅτι τῆς Ἐλάτης Bod.
k Θύον, οἱ δὲ Θύαν Ald. l Θύας Ald.

τὴν ῥίζαν ἐστὶ, καὶ ἐκ ταύτης τὰ σπουδαιότατα ποιεῖται τῶν ἔργων. τὰ δὲ ἀγάλματα γλύφουσιν ἐκ τῆς Κέδρου, Κυπαρίττου, Λωτοῦ, Πύξου, τὰ δὲ ἐλάττω καὶ ἐκ τῶν ἐλαΐνων ῥιζῶν, ἀῤῥαγεῖς γὰρ αὗται, καὶ ὁμαλῶς πως σαρκώδεις. ταῦτα μὲν οὖν τὰ ξύλα ἰδιότητά τινα τόπων καὶ φύσεως καὶ χρείας ἀποδηλοῖ· βαρέα δὲ καὶ κοῦφα, δῆλον ὡς τῇ πυκνότητι, καὶ μανότητι· καὶ ὑγρότητι, καὶ ξηρότητι· καὶ σκληρότητι, καὶ μαλακότητι· καὶ τῷ *γλοιώδει λεπτέον. ἔνια μὲν οὖν ἅμα καὶ σκληρὰ καὶ βαρέα, καθάπερ Πύξος καὶ Δρῦς. ὅσα δὲ *κραῦρα, καὶ τῇ σκληρότητι σκληρότατα, ταῦτ' οὐκ ἔχει βάρος· ἅπαντα δὲ τὰ ἄγρια τῶν ἡμέρων, καὶ τὰ ἄῤῥενα τῶν θηλειῶν πυκνότερά τε καὶ σκληρότερα, καὶ βαρύτερα, καὶ τὸ ὅλον ἰσχυρότερα, καθάπερ καὶ πρότερον εἴπομεν. ὡς δὲ ἐπὶ τὸ πᾶν, καὶ τὰ ἀκαρπότερα τῶν καρπίμων, καὶ τὰ χείρω, τῶν καλλικαρποτέρων, εἰ μή που καρπιμώτερον τὸ ἄῤῥεν, ὥσπερ ἀλλά τέ φασι, καὶ τὴν Κυπάριττον, καὶ τὴν Κρανίαν· ἀλλὰ τῶν γε Ἀμπέλων φανερῶς αἱ ὀλιγοκαρπότεραι, καὶ πυκνοφθαλμότεραι, στερεώτεραι, καὶ Μηλέων δὲ καὶ τῶν ἄλλων ἡμέρων. ἀσαπῆ δὲ φύσει, Κυπάριττος, Κέδρος, Ἔβενος, Λωτὸς, Πύξος, [m] Μίλος, Ἐλαία, Κότινος, Πεύκη ἔνδαδος, Ἀρία, Δρῦς, Καρύα Εὐβοϊκή· τούτων δὲ χρονιώτατα δοκεῖ τὰ κυπαρίττινα εἶναι. τὸ γοῦν ἐν Ἐφέσῳ ἐξ ὧν αἱ θύραι [n] τοῦ νεωστὶ Νήου τεθησαυρισμέναι, τέτταρας ἔκειντο γενεάς. μόνα δὲ ταῦτα καὶ στιλβηδόνα δέχεται, διὸ καὶ τὰ σπουδαζόμενα τῶν ἔργων, ἐκ τούτων ποιοῦσι. τῶν δὲ ἄλλων ἀσαπέστατον μετὰ τὰ κυπαρίττινα καὶ τὰ *θυϊώδη, τὴν Συκάμινον εἶναί φασι·

[m] Μίλος deest Bod. [n] τοῦ νεὼ Bod. τοῦ νεωστὶ νεὼ Ald.

καὶ ἰσχυρὸν ἅμα καὶ εὐεργὸν τὸ ξύλον, αὐτῆς καὶ παλαιούμενον, μέλαν, ὥσπερ Λωτός. ἔτι δὲ ἄλλο πρὸς ἄλλο, καὶ ἐν ἄλλῳ ἀσαπὲς, οἷον Πτελέα μὲν ἐν τῷ ἀέρι, Δρῦς δὲ κατορυτῖομένη, καὶ ἐν ὕδατι καταβρεχομένη, δοκεῖ γὰρ ὅλως ἀσαπὲς εἶναι. διὸ καὶ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς λίμνας ἐκ τούτων ναυπηγοῦσιν, ἐν δὲ τῇ θαλάττῃ σήπεται. τὰ δὲ ἄλλα διαμένει μᾶλλον, ὥσπερ καὶ εὔλογον, ταριχευόμενα τῇ ἅλμῃ. δοκεῖ δὲ [o] καὶ ἡ Ὀξύη πρὸς τὸ ὕδωρ ἀσαπὴς εἶναι, καὶ βελτίων γίνεσθαι βρεχομένη, καὶ ἡ Καρύα δὲ ἡ Εὐβοϊκὴ, ἀσαπής. φασὶ δὲ καὶ τὴν Πεύκην Ἐλάτης μᾶλλον ὑπὸ *Τερηδόνος ἐσθίεσθαι· τὴν μὲν γὰρ εἶναι [p] πικρὰν, τὴν δὲ Πεύκην ἔχειν γλυκύτητα· καὶ ὅσῳ ἐνδαδωτέρα μᾶλλον· πάντα δ' ἐσθίεσθαι, πλὴν Κοτίνου, ὑπὸ *Τερηδόνος. ἐσθίεσθαι δὲ τὰ μὲν ἐν τῇ θαλάττῃ σηπόμενα ὑπὸ Τερηδόνος, τὰ δ' ἐν τῇ γῇ ὑπὸ Σκωλήκων, καὶ Θριπῶν· οὐ γὰρ γίνεται Τερηδὼν, ἄλλοθι ἢ ἐν τῇ θαλάττῃ. ἔστι δὲ ἡ Τερηδὼν τῷ μὲν μεγέθει, μικρὸν, κεφαλὴν δ' ἔχει μεγάλην, καὶ ὀδόντας. οἱ δὲ Θρίπες ὅμοιοι τοῖς Σκώληξιν, ὑφ' ὧν [q] περαίνεται κατὰ μικρὸν τὰ ξύλα, καί ἐστι ταῦτα *εὐίατα· [r] *θριποκοπηθέντα γὰρ, ὅταν εἰς τὴν θάλατταν ἑλκυσθῇ, στέγει· τὰ δὲ ὑπὸ τῶν Τερηδόνων ἀνίατα. τῶν δὲ Σκωλήκων τῶν ἐν τοῖς ξύλοις, οἱ μέν εἰσιν ἐκ τῆς οἰκείας σήψεως, οἱ δ' ἐκ τικτόντων ἑτέρων· ἐκτίκτει γὰρ, ὥσπερ καὶ τοῖς δένδροις ὁ Κεράστης καλούμενος, ὅταν τιτράνῃ καὶ κοιλάνῃ περιστραφεὶς ὥσπερ [s] οἱ *μυόδοχοι· φεύγει δὲ τά τε ἐσμώδη καὶ πικρὰ καὶ σκληρὰ, διὰ τὸ μὴ δύναθαι τιτρά-

[o] ἡ Φηγὸς, καὶ ἡ Ὀξύη Ald. [p] ξηρὰν, Const. [q] τιτραίνεται Scal. [r] πιττοκοπηθέντα Ald. [s] μυόχοδοι· Bod.

ναι, καθάπερ τὴν Πύξον. φασὶ δὲ καὶ τὴν Ἐλάτην φλοισθεῖσαν ὑπὸ τὴν βλάστησιν ἀσαπῆ διαμένειν ἐν τῷ ὕδατι. φανερὸν δὲ γίνεσθαι ἐν Φενεῷ τῆς Ἀρκαδίας, ὅτε αὐτοῖς *ἐλιμνώθη τὸ πεδίον, *βραχέντος τοῦ *βερέθρου· τότε γὰρ τὰς *γεφύρας ποιοῦντες ἐλατίνας, καὶ, ὅταν ἐπαναβαίνῃ τὸ ὕδωρ, ἄλλην καὶ ἄλλην ἐφιστάντες, ὡς ἐρράγη καὶ ἀπῆλθε, πάντα εὑρεθῆναι τὰ ξύλα ἀσαπῆ. τοῦτο μὲν οὖν *ἐκ συμπτώματος, ἐν Τύλῳ δὲ τῇ νήσῳ, τῇ περὶ τὴν Ἀραβίαν, εἶναί τι, φασὶ, ξύλον, ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται· τοῦτο δὲ ἐν μὲν τῇ θαλάττῃ σχεδὸν ἄσηπτον εἶναι, διαμένει γὰρ ἔτη πλείω ἢ διακόσια καταβυθιζόμενον, ἐὰν δὲ ἔξω [t] ᾖ, χρόνον μὲν [διαμένει,] θᾶττον δὲ σήπεται.

CAP. VI.

De Ligno tigrino. De condiendis Lignis duris. Qualitates et Differentiæ Medullæ et Alburni.

ΘΑΥΜΑΣΤΟΝ δὲ καὶ ἕτερον ξύλον λέγουσιν καίπερ οὐδὲν πρὸς τὴν σῆψιν· εἶναί γάρ τι δένδρον, ἐξ οὗ τὰς βακτηρίας τέμνονται, καὶ γίγνεσθαι καλὰς σφόδρα, ποικιλίαν τινὰ ἐχούσας ὅμοιον τῷ τῆ Τίγριος δέρματι· βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο, ὅταν δέ τις ῥίψῃ αὐτὸ πρὸς στερεώτερον τόπον, [u] καταγνύσθαι καθάπερ τὰ κεράμεα. καὶ τὸ τῆς Μυρίκης δὲ ξύλον, οὐχ ὥσπερ ἐνταῦθα ἀσθενὲς, ἀλλὰ ἰσχυρὸν ὥσπερ *πρίνινον, ἢ καὶ ἄλλό τι τῶν ἰσχυρῶν. τοῦτο μὲν οὖν ἅμα μηνύει χώρας τε καὶ ἀέρος διαφορὰς καὶ δυνάμεις, τῶν δὲ ὁμογενῶν ξύλων, οἷον δρυΐνων, πευκίνων, ὅταν ταριχεύωνται, ταριχεύουσι

[t] ᾖ deest Bod.

[u] καταγίνεσθαι, Bod.

γὰρ οὐκ ἐν ἴσῳ βάθει πάντα δύοντες τῆς θαλάττης, ἀλλὰ τὰ μὲν πρὸς αὐτῇ τῇ γῇ, τὰ δὲ μικρὸν ἀνωτέρω, τὰ δ' ἐν πλείονι βάθει· πάντων δὲ τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύεται καθ' ὕδατος, καὶ [x] *ἐπινεῖ μᾶλλον. ἔςι δὲ καὶ τὰ μὲν εὔεργα τῶν ξύλων, τὰ δὲ, δύσεργα· εὔεργα μὲν τὰ μαλακὰ, καὶ πάντων μάλιστα Φιλύρα· δύσεργα δὲ καὶ τὰ σκληρὰ, καὶ τὰ ὀζώδη, καὶ οὔλας ἔχοντα συςροφάς. δυσεργότατα δὲ Ἀρία καὶ Δρῦς, ὡς δὲ κατὰ μέρος, ὁ τῆς Πεύκης ὄζος, καὶ τῆς Ἐλάτης. ἀεὶ δὲ τῶν ὁμογενῶν τὸ μαλακώτερον τοῦ σκληροτέρου κρεῖττον, σαρκωδέςερον γάρ· καὶ εὐθὺ σκοποῦνται τὰς *σανίδας οἱ τέκτονες οὕτως. τὰ δὲ μοχθηρὰ σιδήρια δύναται τέμνειν μᾶλλον τὰ σκληρὰ τῶν μαλακῶν, *ἀνίησι γὰρ ἐν τοῖς μαλακοῖς, ὥσπερ ἐλέχθη περὶ τῆς Φιλύρας, *παρακονᾷ δὲ μάλιστα ταῦτα, διὸ καὶ οἱ σκυτοτόμοι ποιοῦνται τοὺς *πίνακας [y] ἐξ Ἀχράδος. μήτραν δὲ πάντα μὲν ἔχει τὰ ξύλα, ᾗ φασιν οἱ τέκτονες, φανερὰν δ' εἶναι μάλιστα ἐν τῇ Ἐλάτῃ· φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῆς τῶν κύκλων· ἐν Ἐλαίᾳ δὲ, καὶ Πύξῳ καὶ τοῖς τοιούτοις οὐχ ὁμοίως· διὸ καὶ οὐ φασί τινες ἔχειν [z] τὴν μήτραν Πύξον καὶ [a] Ἐλαίαν ἥκιστα γὰρ *ἕλκεσθαι ταῦτα τῶν ξύλων. ἔστι δὲ τὸ ἕλκεσθαι, τὸ *συμπερίϊσταθαι κινουμένης τῆς μήτρας, ζῇ, γὰρ, ὡς ἔοικεν, ἐπὶ χρόνον πολύν· διὸ μὲν ἅμα πανταχόθεν, μάλιστα δ' ἐκ τῶν *γυρωμάτων ἐξαιροῦσιν, ὅπως ἀστραβῆ διαμένῃ, καὶ διὰ τοῦτο σχίζουσιν. ἄτοπον δ' ἂν δόξειεν, ὅτι ἐν μὲν τοῖς ξύλοις τοῖς στρογ-

[x] ἐπινεύει Const. [y] ἐξ deest Bod. [z] τῇ δυνάμει Bod.
[a] Ἐλάτην. μάλιστα γὰρ Bod.

γύλοις, *ἄλυπος ἡ μήτρα, καὶ ἀκίνητος, ἐν δὲ τοῖς *παρακινηθεῖσιν, ἐὰν μὴ ὅλως ἐξαιρεθῇ, κινεῖ καὶ παραστρέφει, μᾶλλον γὰρ εἰκὸς γυμνωθεῖσαν ἀποθνήσκειν· ὅμως δὲ οἵγε ἰσοὶ, καὶ αἱ κεραῖαι ἐξαιρεθείσης τῆς μήτρας ἀχρεῖοι· τοῦτο δὲ κατὰ συμβεβηκὸς ὅτι χιτῶνας ἔχει ἄλλους, ἰσχυρότατον δὲ καὶ λεπτότατον τὸν ἔσχατον· ξηρότατον γὰρ, καὶ τοὺς ἄλλους ἀνάλογον. ὅταν οὖν σχισθῇ, περιαιρεῖται τὰ ξηρότητα· εἰ δὲ ἡ μήτρα διὰ τὸ ξηρὸν, [a]διαστρέφει σκεπτέον· διαστρέφει δὲ, ἑλκομένη τὰ ξύλα, καὶ ἐν τοῖς σχιστοῖς καὶ πριστοῖς, ὅταν μὴ, ὡς δεῖ, πρίωσι· δεῖ γὰρ *ὀρθὴν τὴν πρίσιν εἶναι καὶ μὴ πλαγίαν, οἷον οὔσης τῆς μήτρας ἐφ' ἣν δεῖ τέμνειν τὸ [b]Α· μὴ παρὰ τὴν Β Γ τέμνειν, ἀλλὰ παρὰ τὴν Β Δ. φθείρεσθαι γὰρ οὕτω φασὶν, ἐκείνως δὲ ζῆν. ὅτι δὲ πᾶν ξύλον ἔχει μήτραν, ἐκ τούτων οἴονται, φανερὸν δ' ἔστι καὶ [c]τινα μὴ δοκοῦντα πάντως ἔχειν, οἷον Πύξον, Λωτὸν, Πρῖνον, σημεῖον δέ· τοὺς γὰρ *στρόφιγγας τῶν θυρῶν τῶν πολυτελῶν ποιοῦσι μὲν ἐκ τούτων, συγγράφονται δὲ οἱ ἀρχιτέκτονες [d]οὐκ ἐκ μήτρας ποιεῖν· αὐτὸ δὲ τοῦτο σημεῖον, καὶ ὅτι πᾶσα μήτρα ἕλκεται, καὶ αἱ τῶν σκληροτάτων, ἃς δή τινες καρδίας καλοῦσι. παντὸς δὲ, ὡς εἰπεῖν, ξύλου [e]σκληροτάτου, *μανοτάτη ἡ μήτρα, καὶ αὖ τῆς Ἐλάτης· μανοτάτη μὲν οὖν, ὅτι τὰς ἶνας [f]ἔχει καὶ διὰ πολλοῦ, καὶ τὸ σαρκῶδες τὸ ἀνὰ μέσον πολύ· σκληροτάτη δὲ, ὅτι καὶ αἱ ἶνες σκληρόταται, καὶ οὐ τὸ σαρκῶδες· διὸ καὶ οἱ ἀρχιτέκτονες συγγράφονται παραιρεῖν τὰ πρὸς τὴν μήτραν, ὅπως λά-

[a] διαστρίφει deest Bod. [b] Vid. not. ad finem libri.
[c] τὰ μὴ Bod. τὸ μὴ Ald. [d] οὕτως ἐκ μήτρας, αὐτὸ Bod.
[e] σκληρότατη, Ald. [f] ἐκεῖ, Bod.

θωσι τοῦ ξύλου τὸ πυκνότατον καὶ μαλακώτατον. τῶν δὲ ξύλων, τὰ μὲν σχιςὰ, τὰ δὲ πελεκητὰ, τὰ δὲ στρογγύλα· σχιστὰ μὲν, ὅσα διαιροῦντες κατὰ τὸ μέσον πρίζουσι· πελεκητὰ δὲ, ὅσων [g] ἀποπελέκουσι τὰ ἔξω· στρογγύλα δὲ, δηλονότι, τὰ ὅλως ἄψαυςα. τούτων δὲ, τὰ σχιςὰ μὲν, ὅλως *ἀῤῥαγῆ, διὰ τὸ γυμνωθεῖσαν τὴν μήτραν ξηραίνεσθαι καὶ ἀποθνήσκειν· τὰ δὲ πελεκητὰ καὶ τὰ στρογγύλα, διὰ τὸ ἐναπειλῆφθαι τὴν μήτραν, οὐδὲν γὰρ ὅτι τῶν ἀπάντων οὐ ῥήγνυται. τοῖς δὲ λωτίνοις καὶ τοῖς ἄλλοις οἷς εἰς τοὺς στρόφιγγας χρῶνται, πρὸς τὸ μὴ ῥήγνυσθαι, *βόλβιτον περιπάττουσιν, ὅπως ἀναξηραίνῃ καὶ διαπνευσθῇ κατὰ μικρὸν ἡ ἐκ τῆς μήτρας ὑγρότης. ἡ μὲν οὖν μήτρα τοιαύτην ἔχει δύναμιν, βάρος δὲ ἐνεγκεῖν ἰσχυρὰ καὶ ἡ Ἐλάτη καὶ ἡ Πεύκη, [h] *ἀνάπαλιν τιθέμεναι, οὐδὲν γὰρ *ἐνδιδόασιν, (ὥσπερ ἡ Δρῦς καὶ τὰ γεώδη,) ἀλλ' *ἀντωθοῦσι· σημεῖον δὲ ὅτι οὐδέποτε ῥήγνυνται, καθάπερ Ἐλαία καὶ Δρῦς, ἀλλὰ πρότερον σήπονται, καὶ ἄλλως *ἀπαυδῶσιν. ἰσχυρὸν δὲ καὶ ὁ Φοῖνιξ, ἀνάπαλιν γὰρ καὶ ἡ κάμψις ἢ τοῖς ἄλλοις γίνεται· τὰ μὲν γὰρ εἰς τὰ κάτω κάμπτεται, ὁ δὲ Φοῖνιξ εἰς τὰ ἄνω. φασὶ δὲ καὶ τὴν Πεύκην καὶ τὴν Ἐλάτην ἀντωθεῖν, καί τοι περὶ τῆς Εὐβοϊκῆς [i] Καρύας (γίνεται γὰρ μέγα καὶ χρῶνται πρὸς τὴν ἔρεψιν) ὅταν [k] μέλλῃ ῥήγνυσθαι, *ψοφεῖ, ὥστε προαισθάνεσθαι πρότερον· ὅσπερ καὶ ἐν Ἀντάνδρῳ συνέπεσεν ἐν τῷ βαλανείῳ, καὶ πάντες ἐξεπήδησαν. ἰσχυρὸν δὲ τὸ τῆς Συκῆς ξύλον, πλὴν εἰς ὀρθὸν ἡ Ἐλάτη μάλιστα, ὡς εἰπεῖν, ἰσχυρὸν, πρὸς

[g] ἀποιλικῶσι Bod. ἀποπλέκουσι Ald. [h] ἀπαλαὶ Bod.
[i] καρύας κυρτοῦται· Const. [k] μέλῃ Bod.

δὲ τὰς τῶν τεκτόνων χρείας, [l] *ἐχέκολλον μάλιστα ἡ Πεύκη, διὰ τὴν μανότητα καὶ τὴν *εὐθυπορίαν, οὐδὲ γὰρ ὅλως οὐδὲ ῥήγνυσθαί φασιν, ἐὰν κολληθῇ. [m] *εὐτονώτατον δὲ ἡ Φιλύκη, καὶ ἡ λευκότης αὕτης, ὥσπερ ἡ τοῦ Κηλάστρου· τῶν δὲ ἄλλων ἡ Φιλύρα· τὸ γὰρ ὅλον εὔεργον, ὥσπερ ἐλέχθη, διὰ μαλακότητα. εὔκαμπτα δὲ, ὡς μὲν ἁπλῶς εἰπεῖν, ὅσα γλίσχρα· *διαφέρειν δὲ δοκεῖ Συκάμινος καὶ Ἐρινεὸς, διὸ καὶ τὰ *ἰκρία καὶ τὰς *στεφάνας, καὶ ὅλως ὅσα περὶ τὸν κόσμον, ἐκ τούτων ποιοῦσιν.

CAP. VII.

Fabricationes et Usus fabriles Lignorum.

ΕΥΠΡΙΣΤΑ δὲ καὶ εὔσχιστα τὰ ἐνικμότερα τῶν μὴ πάμπαν ξηρῶν· τὰ μὲν γὰρ παύονται, τὰ δὲ ἴσανται· τὰ δὲ χλωρὰ λίαν συμμύει, καὶ ἐνδέχεται ἐν τοῖς ὀδοῦσι τὰ *πρίσματα, καὶ [n] ἐμπλήθει, διὸ καὶ παραλλάττουσιν ἀλλήλων τοὺς ὀδόντας, ἵνα ἐξάγηται. ἔστι δὲ καὶ *δυσρυπητότερα τὰ λίαν χλωρὰ, βραδέως γὰρ ἀναφέρεται τὰ *ἐκτρυπήματα, διὰ τὸ βαρέα εἶναι, τῶν δὲ [o] ξηρῶν, ταχέως, καὶ εὐθὺς ὁ ἀὴρ ἀναθερμαινόμενος ἀναδίδωσι· πάλιν τὰ λιὰν ξηρὰ διὰ τὴν σκληρότητα δύσπριστα (καθάπερ γὰρ ὄστρακον συμβαίνει πρίειν) διὸ καὶ τρυπῶντες ἐπιβρέχουσιν· εὐπελεκητότερα δὲ καὶ εὐτορνότερα καὶ εὐξοώτερα, τὰ χλωρὰ, *προσκάθηται γὰρ τὸ τορνευτήριον μᾶλλον, καὶ οὐκ ἀποπηδᾷ· καὶ ἡ πελέκησις διὰ τῶν μαλακωτέρων ῥάων, καὶ ἡ ξέσις

[l] ἰχέκαλλον Bod. [m] ἀτονώτατον Gaz. [n] ἐμπλάτῃ· Ald. [o] δρυῶν Bod.

ὁμοίως, καὶ ἔτι λειοτέρα. ἰσχυρότατον δὲ καὶ ἡ Κρανεία, τῶν δὲ ἄλλων οὐχ ἥκιστα ἡ Πτελέα, διὸ καὶ τοὺς στροφέας, ὥσπερ ἐλέχθη, ταῖς θύραις πτελεΐνους ποιοῦσιν. ὑγρότατον δὲ Μελία, καὶ Ὀξύη, καὶ γὰρ τὰ κλινάρια τὰ *ἐνδιδόντα, ἐκ τούτων· ὅλως δὲ πρὸς ποῖα τῆς ὕλης ἑκάστη χρησίμη, καὶ ποῖα ναυπηγήσιμος, καὶ οἰκοδομικὴ (πλείστη γὰρ αὐτῆς χρεία καὶ ἐν μεγίστοις) πειρατέον εἰπεῖν, ἀφορίζοντα καθ' ἕκαστον τὸ χρήσιμον. Ἐλάτη μὲν καὶ Πεύκη καὶ Κέδρος, ὡς ἁπλῶς εἰπεῖν, ναυπηγήσιμα· τὰς μὲν γὰρ τριήρεις καὶ τὰ μακρὰ πλοῖα, ἐλάτινα ποιοῦσι διὰ κουφότητα· τὰ δὲ στρογγύλα, πεύκινα διὰ τὸ ἀσαπές, ἔνιοι δὲ καὶ τὰς τριήρεις, διὰ τὸ μὴ εὐπορεῖν Ἐλάτης· οἱ δὲ κατὰ Συρίαν καὶ Φοινίκην, ἐκ Κέδρου (σπανίζουσι γὰρ Πεύκης.) οἱ δ' ἐν Κύπρῳ Πίτυος, ταύτην γὰρ ἡ νῆσος ἔχει, καὶ δοκεῖ κρείττων εἶναι τῆς Πεύκης. καὶ τὰ μὲν ἔνια ἐκ τούτων, τὴν δὲ *τρόπιν, τριήρεσι μὲν δρυΐνην, ἵνα ἀντέχῃ πρὸς τὰς *νεωλκίας· ταῖς δὲ ὁλκάσι, πευκίνην· ὑποτιθέασι δὲ ἔτι καὶ δρύϊνον, ἐπὰν *νεωλκῶσι. τοῖς μὲν ἐλάττοσι P *ὀξύνην, καὶ ὅλως ἐκ τούτου τὸ *χέλυσμα. οὐχ ἅπλεται δὲ οὐδὲ κατὰ τὴν κόλλησιν ὁμοίως τὸ δρύϊνον τῶν πευκίνων καὶ ἐλατίνων, τὰ μὲν γὰρ πυκνά, τὰ δὲ μανά, καὶ τὰ μὲν ὅμοια, τὰ δὲ οὔ. δεῖ δὲ ὁμοιοπαθῆ εἶναι τὰ μέλλοντα συμφύεσθαι, καὶ μὴ ἐναντία, καθάπερ εἰ λίθον καὶ ξύλον. ἡ δὲ *τορνεία τοῖς πλοίοις γίνεται Συκαμίνου, Μελίας, Πτελέας, Πλατάνου, γλιχρότητα γὰρ ἔχειν δεῖ καὶ ἰσχύν· χειρίστη δὲ ἡ τῆς Πλατάνου, ταχὺ γὰρ σήπεται. ταῖς δὲ τριήρεσιν ἔνιοι πιτύϊνας ποιοῦσι, διὰ

P ὀξύνη, Bod.

τὸ ἐλαφρόν· τὸ δὲ *στερέωμα πρόσω, τὸ δὲ [q] *χέλυσμα, καὶ τὰς *ἐπωτίδας, [r] Μελίας, καὶ Συκαμίνου, καὶ Πτελέας, ἰσχυρὰ γὰρ δεῖ ταῦτ' εἶναι. ναυπηγήσιμος μὲν οὖν ὕλη σχεδὸν αὕτη, οἰκοδομικὴ δὲ πολλῷ πλείων, Ἐλάτη τε, καὶ Πεύκη, καὶ Κέδρος, καὶ Ἄρκευθος· ἁπλῶς δὲ ὡς εἰπεῖν, πάσῃ χρησίμη πλὴν εἴτις ἀσθενὴς πάμπαν, οὐκ εἰς ταὐτὸ γὰρ πᾶσαι, καθάπερ οὐ δ' ἐπὶ τῆς ναυπηγίας· αἱ δ' ἄλλαι πρὸς τὰ ἴδια τῶν τεχνῶν, οἷον, σκεύη, καὶ *ὄργανα, καὶ εἴτε τοιοῦτον ἕτερον. πρὸς πλεῖστα δὲ σχεδὸν ἡ Ἐλάτη παρέχεται χρείαν, καὶ γὰρ πρὸς τοὺς *πίνακας τοὺς γραφομένους. τεκτονικῇ μὲν οὖν ἡ παλαιοτάτη ἡ κρατίστη, ἐὰν ᾖ ἀσαπὴς (εὐθετεῖ γὰρ ὡς εἰπεῖν πᾶσι χρῆσθαι), ναυπηγικῇ δὲ ἡ ἐνικμοτέρα, διὰ τὴν κάμψιν γὰρ ἀναγκαῖα· ἔτι πρός γε τὴν κόλλησιν ἡ ξηροτέρα συμφέρει, ἵσταται γὰρ καὶ νῦν τὰ ναυπηγούμενα, καὶ ὅταν συμπίῃ καθελκυσθέντα, συμμύει καὶ στέγει, πλὴν ἐάν γε παντάπασιν ἐξικμασθῇ, τότε δ' οὐ δέχεται κόλλησιν, ἢ οὐχ ὁμοίως. δεῖ δὲ καθ' ἕκαστον λαμβάνειν εἰς ποῖα χρήσιμός ἐστιν· Ἐλάτη μὲν οὖν καὶ Πεύκη, καθάπερ εἴρηται, καὶ πρὸς ναυπηγίαν καὶ πρὸς οἰκοδομίαν, καὶ ἔτι πρὸς ἄλλα τῶν ἔργων (εἰς πλεῖω δὲ ἡ Ἐλάτη) Πίτυϊ δὲ χρῶνται μὲν εἰς ἄμφω, καὶ οὐχ ἧττον εἰς ναυπηγίαν, οὐ μὴν ἀλλὰ ταχὺ διασήπεται· Δρύϊ δὲ πρὸς οἰκοδομίαν καὶ πρὸς ναυπηγίαν· ἔτι δὲ πρὸς τὰ κατὰ γῆς κατορυττόμενα· Φιλύρᾳ δὲ πρὸς τὰ *σανιδώματα τῶν μακρῶν πλοίων, καὶ πρὸς *κιβώτια, καὶ πρὸς τὴν τῶν *μέτρων κατα-

[q] σχίλομα, Bod. χίλομα, Ald. [r] μιλίϊνας καὶ συκαμινίας πτιλίϊνας. Const.

σκευὴν ἔχει καὶ τὸν φλοιὸν χρήσιμον, [s]πρός τε τὰς κίστας (ποιοῦσι γὰρ ἐξ αὐτοῦ) Σφενδάμνῳ τε, καὶ Ζυγίᾳ, πρός τε κλινοπηγίαν, καὶ πρὸς τὰ ξυγὰ τῶν *λοφούρων, καὶ ὅλως πρὸς τὰ πολυτελῆ τῶν ἔργων· Μίλῳ δὲ εἰς παρακολλήματα κιβωτιοῖς καὶ *ὑποβάθροις, καὶ ὅλως τοῖς τοιούτοις· Πρίνῳ δὲ πρὸς ἄξονάς τε, καὶ *μονοστρόφους ἁμάξας, καὶ πρὸς [t]*ξυγὰ λύραις καὶ *ψαλτηρίοις· Ὀξύᾳ δὲ πρὸς ἁμαξοπηγίαν, καὶ διφροπηγίαν, τὴν εὐτελῆ· Πτελέᾳ δὲ πρὸς θυροπηγίαν καὶ *γαλεάγρας· (χρῶνται δὲ καὶ εἰς τὰ ἁμαξικὰ μετρίως·) Πύξῳ δὲ, εἰς ἄξονάς τε ταῖς ἁμάξαις καὶ εἰς [u]*ἕλκηθρα τοῖς ἀρότροις· Ἀνδράχνῃ δὲ ταῖς γυναιξὶν εἰς τὰ περὶ τοὺς ἱστούς· Ἀρκεύθῳ δὲ εἰς τεκτονίας, καὶ εἰς τὰ ὑπαίθρια, καὶ εἰς τὰ κατορυττόμενα κατὰ γῆς, διὰ τὸ ἀσαπές. ὡσαύτως δὲ καὶ ἡ Εὐβοϊκὴ Καρύα [χρησίμη·] καὶ πρός γε τὴν κατόρυξιν ἔτι μᾶλλον ἁπάσης. Πύξῳ δὲ χρῶνται μὲν πρὸς ἔνια, οὐ μὴν ἀλλ' ἥ γε ἐν τῷ Ὀλύμπῳ γινομένη, διὰ τὸ βραχεῖα τε εἶναι καὶ ὀζώδης, ἀχρεῖος. Τερμίνθῳ δὲ οὐδενὶ χρῶνται, πλὴν τῷ καρπῷ, καὶ τῇ ῥητίνῃ· οὐδὲ Φιλύκῃ, πλὴν τοῖς προβάτοις, ἀεὶ γάρ ἐστι *δασεῖα· τῇ δὲ Ἀφάρκῃ, εἰς *χάρακάς τε καὶ εἰς τὸ καίειν· Κηλάστρῳ [x]δὲ μίᾳ πρὸς βακτηρίας· ἔνιοι δὲ καὶ Δάφνῃ, τὰς γὰρ γεροντικὰς καὶ κούφας ἐκ ταύτης ποιοῦσιν· Ἰτέᾳ δὲ, πρός τε τὰς ἀσπίδας καὶ τὰς κίσας. καὶ τ' ἄλλα προαναλαβεῖν δέ ἐστι, καὶ τῶν ἄλλων ἕκαστον ὁμοίως.

[s] πρὸς τὰ σχοίνια καὶ τὰς κίστας· Const. [t] ζυγὰ τὰ ἐν λύραις Ald. [u] ἕλυμα Const. [x] δὲ καὶ μίᾳ Bod.

CAP. VIII.

Organa ex Ligno: Usus navales.

ΔΙΗΡΗΤΑΙ δὲ καὶ πρὸς τὰ τεκτονικὰ τῶν *ὀργάνων ἕκαστα κατὰ τὴν χρείαν· οἷον *σφύριον μὲν καὶ *τερέτριον· ἄριστα μὲν ταῦτα γίνεται Κοτίνου, χρῶνται δὲ καὶ πυξίνοις καὶ μελεΐνοις καὶ πτελεΐνοις, τὰς δὲ μεγάλας *σφύρας πιτυΐνας ποιοῦσιν· ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ἔχει τινὰ τάξιν. καὶ ταῦτα μὲν αἱ χρεῖαι διαιροῦσιν· ἑκάστη δὲ τῆς ὕλης, ὥσπερ καὶ πρότερον ἐλέχθη, διαφέρει κατὰ τοὺς τόπους· ἔνθα μὲν γὰρ Λωτὸς, ἔνθα δὲ Κέδρος γίνεται θαυμαστὴ, καθάπερ ἡ περὶ Συρίαν· [y] ἐν Συρίᾳ γὰρ ἔν τε τοῖς ὄρεσι *διαφέροντα γίνεται τὰ δένδρα τῆς Κέδρου καὶ τῷ ὕψει καὶ τῷ πάχει· τηλικαῦτα γάρ ἐστιν, ὥστ' ἔνια μὲν μὴ δύναθθαι τρεῖς ἄνδρας περιλαμβάνειν· ἐν τοῖς δὲ παραθείσοις ἔτι καὶ μείζω καὶ καλλίω. φαίνεται δὲ, ἐάν τις ἐᾷ, καὶ μὴ τέμνῃ, τόπον οἰκεῖον ἕκαστον ἔχον, γίνεθθαι θαυμαστὸν τῷ μήκει καὶ πάχει. ἐν Κύπρῳ γοῦν οὐκ ἔτεμνον οἱ βασιλεῖς, ἅμα δὲ, καὶ διὰ τὸ δυσκόμιστον εἶναι· μῆκος μὲν [z] ἦν τῶν εἰς τὴν *ἐνδεκήρη, τὴν Δημητρίου τμηθέντων, τρεισκαίδεκα ὀργυιῶν· αὐτὰ δὲ τὰ ξύλα τῷ μήκει θαυμαστὰ, καὶ ἄοζα, καὶ λεῖα. μέγιστα δὲ καὶ παρὰ πολὺ τὰ ἐν τῇ [a] Κύρνῳ φασὶν εἶναι· τῶν γὰρ ἐν τῇ Λατίνῃ καλῶν γινομένων ὑπερβολῇ, καὶ τῶν ἐλατίνων καὶ τῶν πευκίνων, μείζω ταῦτα καὶ καλλίω τῶν Ἰταλικῶν, οὐδὲν γὰρ εἶναι πρὸς τὰ ἐν τῇ Κύρνῳ· πλεῦσαι γάρ ποτε τοὺς Ῥωμαίους βουλομένους κατα-

[y] ἐν deest Bod. [z] ἦ τῶν Bod. [a] Κορσίκῃ Scal.

σκευάσασθαι πόλιν ἐν τῇ νήσῳ, πέντε καὶ εἴκοσι ναυσί· καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος τῶν δένδρων, ὥστε [b] πλεόντων εἰς κόλπους τινὰς καὶ λιμένας διαχιζέσθαι τοὺς ἱστοὺς ἐπὶ τὸν πυκνόν· καὶ ὅλως πᾶσαν τὴν νῆσον δασεῖαν, καὶ ὥσπερ ἠγριωμένην, τῇ ὕλῃ· διὸ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν· διαβάντας δέ τινας ἀποτέμνεσθαι πάμπολυ πλῆθος ἐκ τόπου βραχέος, ὥστε τηλικαύτην ποιῆσαι *σχεδίαν, [c] ὡς' ἑλκύσαι πεντηκοντὰ ἱστίοις· οὐ μὴν ἀλλὰ διαπεσεῖν αὐτὴν, ἐν τῷ πελάγει. Κύρνος μὲν οὖν, εἴ τε διὰ τὴν *ἄνεσιν, εἴ τε καὶ τὸ ἔδαφος, καὶ τὸν ἀέρα, πολὺ διαφέρει τῶν ἄλλων· ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα, καὶ ἡ μὲν πεδινὴ Δάφνην ἔχει καὶ Μυῤῥίνην καὶ Ὀξύην θαυμαστὴν, τηλικαῦτα γὰρ τὰ μήκη τέμνουσι, ὥστ' εἶναι διὰ νεὼς τῶν Τυῤῥηνίδων ὑπὸ τὴν τρόπιν· ἡ δὲ ὀρεινὴ, Πεύκην καὶ Ἐλάτην· τὸ δὲ Κιρκαῖον καλούμενον, εἶναι μὲν ἄκραν ὑψηλὴν, δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν Δρῦν καὶ Δάφνην πολλὴν καὶ Μυῤῥίνην· λέγειν δὲ τοὺς ἐγχωρίους, ὡς ἐνταῦθα ἡ Κίρκη κατῴκει, καὶ δεικνύναι τὸν τοῦ Ἐλπήνορος τάφον, ἐξ οὗ φύονται Μυῤῥίναι, καθάπερ αἱ στεφανώτιδες, τῶν ἄλλων ὄντων μεγάλων Μυῤῥίνων. τὸν δὲ τάφον εἶναι τοῦτον [d] εἰς ἀνδρὸς θέσιν· καὶ πρότερον μὲν οὖν νῆσον εἶναι, τὸ Κιρκαῖον, νῦν δὲ ὑπὸ ποταμῶν τίνων *προσκεχῶσθαι, καὶ εἶναι ἠϊόνα· τῆς δὲ νήσου τὸ μέγεθος περὶ ὀγδοήκοντα σταδίους.

[b] πλέοντας—διασχιζῶσι τοῖς ἱστοῖς Bod. [c] ἢ ἐχρήσαντο οἱ πεντηκοντὰ ἱστίοις· Bod. ἢν ἑλκύσαι πεντηκοντὰ ἱστίοις· Scal. [d] τοῦτον κατασκεύαστον εἰς ἀνδρὸς θέσιν. Bod.

CAP. IX.

Usus carbonarii: Ars carbonandi. De Εἰληθυίᾳ *et* Πυρείᾳ.

ΚΑΙ κατὰ μὲν τὰ τῶν τόπων ἴδια πολλὴν εἶναι διαφορὰν εἴρηται πολλάκις, τὸ δὲ πρὸς τὴν *πύρωσιν πῶς ἑκάστη τῆς ὕλης ἔχει, λεκτέον ὁμοίως, καὶ πειρατέον λαβεῖν [e] τὰς διαφοράς. ἄνθρακες μὲν οὖν ἄριστοι γίνονται ἐκ τῶν πυκνοτάτων, οἷον, Ἀρίας, Δρυὸς, Κομάρου, στερεώτατοι γὰρ, ὥστε πλεῖστον χρόνον ἀντέχουσι, καὶ μάλιστα ἰσχύουσι· διὸ καὶ ἐν τοῖς *ἀργυρείοις, τούτοις χρῶνται πρὸς τὴν πρώτην τούτων ἕψησιν· χείριστοι δὲ τούτων οἱ δρύϊνοι, *γεωδέστατοι γάρ· χείρους δὲ καὶ οἱ τῶν πρεσβυτέρων τῶν νέων, καὶ μάλιστα οἱ τῶν *γερανδρύων, διὰ τ' αὐτὸ, ξηρότατοι γάρ· διὸ καὶ πηδῶσι καιόμενοι (δεῖ δὲ ἔνικμον εἶναι). βέλτιστοι δὲ οἱ τῶν ἐν ἀκμῇ, καὶ τούτων μάλιστα οἱ τῶν [f] *κολόβων, συμμέτροι γὰρ τῷ πυκνῷ, καὶ γεώδει, καὶ τῷ ὑγρῷ. βελτίους δὲ οἱ τῶν εὐηλίων, καὶ ξηρῶν, καὶ προσβορείων τόπων, ἢ οἱ ἐκ τῶν παλισκίων καὶ ὑγρῶν καὶ πρὸς νότον· καὶ οἱ [g] ἐξ ἐνικμοτέρας ὕλης καὶ πυκνῆς, (ὑγροτέρα γὰρ ἡ πυκνὴ) καὶ ὅλως ὅσα ἢ φύσει ἢ διὰ τὸν τόπον πυκνότερα, καὶ ξηρότερα ἐξ ἁπάντων βελτίονα διὰ τὴν αὐτὴν αἰτίαν. χρεία δὲ ἄλλων ἄλλη, πρὸς ἔνια γὰρ ζητοῦσι τοὺς μαλακοὺς, [h] οἷον ἐν τοῖς σιδηρείοις τοὺς τῆς Καρύας τῆς Εὐβοϊκῆς, ὅταν ἤδη κεκαυμένος ᾖ, καὶ ἐν τοῖς ἀργυρείοις τοὺς πιτυΐνους. χρῶνται δὲ καὶ αἱ τέχναι

[e] τὰς διαφορὰς desunt Bod. [f] κολάβων. Bod. [g] ἐξ deest Bod. [h] οἷς Ald. Bas.

τούτοις· ζητοῦσι δὲ καὶ οἱ χαλκεῖς τοὺς πευκίνους μᾶλλον ἢ δρυίνους, καί τοι [i]ἀσθενέστεροι, ἀλλ' εἰς τὴν *φύσησιν ἀμείνους, ὡς ἧσσον καταμαραινόμενοι, ἔστι δὲ ἡ φλὸξ ὀξυτέρα τούτων· τὸ δὲ ὅλον ὀξυτέρα φλὸξ, καὶ ἡ τούτων, καὶ ἡ τῶν ξύλων μανῶν καὶ κούφων, καὶ ἡ τῶν αὔων· ἡ δὲ ἐκ τῶν πυκνῶν καὶ χλωρῶν, *νωθροτέρα καὶ παχυτέρα· πασῶν δὲ ὀξυτάτη ἡ ἐκ τῶν ὑλημάτων, ἄνθρακες δὲ οὐ γίνονται, διὰ τὸ μὴ ἔχειν τὶ σωματῶδες. τέμνουσι δὲ καὶ ἐκζητοῦσιν εἰς τὰς ἀνθρακιὰς τὰ εὐθέα καὶ τὰ [k]νέα, δεῖ γὰρ ὡς πυκνότατα θεῖναι πρὸς τὴν [l]*κατάπρηξιν. ὅταν δὲ περιαλείψωσι τὴν κάμινον, ἐξάπτουσι, παρακεντοῦντες ὀβελίσκοις. εἰς μὲν τὴν ἀνθρακιὰν τὰ τοιαῦτα ζητοῦσι, δύσκαπνα δὲ τῷ γένει μὲν ὅλως τὰ ὑγρά· καὶ τὰ χλωρὰ διὰ τοῦτο δύσκαπνα· λέγω δὲ ὑγρὰ τὰ ἕλεια, οἷον Πλάτανον, Ἰτέαν, Λεύκην, Αἴγειρον· ἔτι καὶ ἡ Ἄμπελος, ὅτε ὑγρὰ, δύσκαπνος· ἐκ δὲ τῆς ἰδίας φύσεως, ὁ Φοῖνιξ, ὃν δὴ καὶ μάλιστά [m]τινες ὑπειλήφασι δύσκαπνον, ὅθεν καὶ Χαιρήμων ἐποίησε,

Τοῦ τε δυσκαπνωτάτου
Φοίνικος ἐκ γῆς ῥιζοφοιτήτους φλέβας.

Δριμύτατος δὲ ὁ καπνὸς Συκῆς καὶ Ἐρινεοῦ, καὶ εἴ τι ἄλλο ὀπῶδες, αἰτία δὲ ἡ ὑγρότης· [n]φλοιωθέντα δὲ καὶ ἀποβρεχθέντα ἐν ὕδατι *ἐπιῤῥύτῳ, καὶ μετὰ ταῦτα ξηρανθέντα, πάντων ἀκαπνότατα, καὶ φλόγα μαλακοτάτην ἀφίησιν, ἅτε καὶ τῆς οἰκείας ὑγρότητος ἐξῃρημένης. δριμεῖα δὲ καὶ ἡ *τέφρα, καὶ ἡ κονία ἡ ἀπ'

[i] εὐσθενέστεροι, Bod. [k] λεῖα. Ald. [l] κατάκαυσιν. ὅταν δὲ περιάψωσι τὴν κάμινον, Ald. [m] τινὸς Bod. [n] φλογισθέντα Bas.

αὐτῶν, μάλιστα δέ φασι τὴν ἀπὸ τῆς Ἀμυγδάλης, ἡ πρὸς δὲ τὰς *καμινείας καὶ τὰς ἄλλας [o]τέχνας ἐστὶ χρησίμη. [p]*ἐμπυρεύεσθαι δὲ ἀρίστη Συκῆ καὶ Ἐλαία· Συκῆ μὲν ὅτι γλίσχρον τε καὶ μανὸν, ὥστε ἕλκει τε καὶ οὐ δίεισιν· Ἐλαία δὲ, ὅτι πυκνὸν καὶ λιπαρόν· [q]*πυρεῖα μὲν γίνεται ἐκ πολλῶν, ἄριστα δὲ, ὥς φησι, Μενέστωρ, ἐκ Καρύου, (τάχιστα γὰρ καὶ πλεῖστον *ἀναπνεῖ) [r]πυρεῖον δέ φασιν, ἄριστον μὲν ἐκ τῆς Ἀτραγένης καλουμένης ὑπό τινων, τοῦτο δὲ τὸ δένδρον ὅμοιόν ἐστι τῇ Ἀμπέλῳ καὶ τῇ Οἰνάνθῃ τῇ ἀγρίᾳ, καὶ ὥσπερ ἐκείνη, καὶ τοῦτο ἀναβαίνει πρὸς τὰ δένδρα. δεῖ δὲ τὴν *ἐσχάραν ἐκ τούτων ποιεῖν, τὸ δὲ [s]*τρύπανον ἐκ Δάφνης, οὐ γὰρ ἐκ τοῦ αὐτοῦ τὸ ποιοῦν καὶ πάσχον, ἀλλ' ἑτέρως [t]δεῖ εἶναι κατὰ φύσιν· καὶ τὸ μὲν δεῖ παθητικὸν εἶναι, τὸ δὲ, ποιητικόν· οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ ξύλου γίνεται, καὶ, ὥς γέ τινες ὑπολαμβάνουσιν, οὐδὲν διαφέρει. ἀγαθὰ δὲ καὶ ἐκ Ῥάμνου· ποιεῖ δὲ τοῦτο καὶ τὴν ἐσχάραν χρηστὴν, πρὸς γὰρ τῷ ξηρὰν καὶ *ἄχυμον, δεῖ δὲ μανωτέραν εἶναι, ἵν' ἡ τρίψις ἰσχύῃ, τὸ δὲ τρύπανον ἀπαθέστερον· διὸ τὸ τῆς Δάφνης, ἀπαθέστερον ὂν, ἐργάζεται τῇ δριμύτητι· [u]γίνεται καὶ ἐκ Πρίνου, καὶ Φιλύρας, καὶ σχεδὸν ἐκ τῶν πλείστων, πλὴν Ἐλαίας, ὃ καὶ δοκεῖ ἄτοπον εἶναι, καὶ γὰρ σκληρότερον καὶ λιπαρὸν ἡ Ἐλαία· τοῦτο μὲν οὖν ἀσύμμετρόν [x]ἐστι, δηλονότι τὴν ὑγρότητα πρὸς τὴν πύρωσιν· πάντα δὲ [y]πυρεῖα, βορείοις μὲν θᾶττον καὶ μᾶλλον

[o] τέχνας ἀλλήλοις ἐστὶ Bod. [p] ἐμπορεύεται Bod. ἐμπορεύεσθαι Bod. [q] πυρὰ Bod. [r] πυρίον Bod. [s] τρίβανον Ald. [t] εὐθεῖεῖ Bod. εὐθεῖ Ald. [u] γίνεται γὰρ ἐκ Ῥαμνε, καὶ Πρίνου, Bod. [x] ἔχει· Bod. [y] τὰ πυρὰ, Bod.

ἐξάπτεται, νοτίοις δὲ ἧττον· καὶ ἐν μὲν τοῖς μετεώροις μᾶλλον, ἐν δὲ τοῖς κοίλοις ἧττον. [y] *ἀνήει δὲ τῶν ξύλων τὰ κέδρινα, καὶ, ἁπλῶς, ὧν ἐλαιώδης ἡ ὑγρότης, διὸ καὶ τὰ ἀγάλματά φασιν [z] ἱδρόειν ἐνίοτε, ποιοῦσι γὰρ ἐκ τούτων. ὃ δὲ καλοῦσιν *ἰλεῖαν, (τὸ τῆς *εἰληθυίας ἔφυδρον,) ὑπὲρ οὗ καὶ ἐκθύονται πρὸς τοὺς *Ἑκατίνους, γίνεται συνισταμένης τῆς ὑγρότητος· τῷ σχήματι μὲν στρογγύλη, μέγεθος δὲ ἡλίκον ἀπιὸν, ἢ καὶ μικρῷ μεῖζον, ἢ ἔλαττον. ἐκβλαστάνει δὲ μάλιστα τὰ ἐλάϊνα, καὶ ἀργὰ κείμενα· καὶ εἰργασμένα πολλάκις, ἐὰν ἰκμάδα λαμβάνῃ, καὶ ἔχῃ τόπον [a] νοτερὸν, ὥσπερ ἤδη τις στροφεὺς τῆς θύρας ἐβλάστησε, καὶ [b] ἡ κυλικίου πλινθίνου κώπη τεθεῖσα εἰς πηλόν.

[y] ἀνήει Ald. [z] ἱδρίειν Ald. ἰδίειν Bod. [a] νιότερον Ald.
[b] εἰς κυλίκιον πλίνθινον τιθεὶς τῇ κώπῃ πηλός. Bod. Ald.

NOTÆ

IN LIBRUM QUINTUM.

CAP. I.

Τὰ τετράγωνα opponuntur τοῖς στρογγύλοις ξύλοις. sc. truncis quibus in ædificando utebantur "non dolatis:" vid. Plin. xv. 2. xvi. 15, 18. Vitruv. ii. 9.

Διὰ τὸν φλοισμὸν, ἀώροις οὖσιν. Textus obscurus: sensus videtur, effectus decorticationis lignorum εἰς τὸ ποιεῖν αὔτα μέλανα minimi momenti esse in iis quæ ad tigna vel alios usus cæduntur; sc. τετραγώνοις· et idcirco autumno vel hyeme ὡραῖα ταύτα τέμνεσθαι: omnis enim generis lignum post descensum succi πρὸς ἴσχυν ὡραιότατον.

Πυροτομίαν· τρυγητόν. Messis in vindemia, et anni tempora proxime sequentia, altera alteram.

Διδυκυΐας τῆς σελήνης. Quando Luna decrescit; versus Novilunium.

Ὅσα ὀρύττεται. Quæ subtus terram in ædificando collocantur.

CAP. II.

Ἐναντίως ἑκάτερον ἔχει τῶν μερῶν. Brevitas nimia; sic intellige, ubi caro mollis, fibræ rigidæ, et e contra.

Τετραξόους δίξους. Ubi venæ ordine quadruplici vel duplici disponuntur, unde lignum sit quasi tunicatum, ἔχον ἄει λόπον τινὰ ὑποκάτω τοῦ φαινομένου, διο καὶ οἱ τὰς κώπας ΞΥΟΝΤΕΣ ἀφαιρεῖν πειρῶνται καθ' ἕνα. In aliis codd. legitur τετραῤῥόους, quod Plinius interpretatur quadruplici ordine *fluviatas*: cursus enim venarum fluvios vocabant Latini. xv. 39. Vitruvius etiam Abietis lignum *quadrifluvium* vocat. Alii ex verbo

ζώννυμι interpretantur quadruplici venarum præcinctione, τετραζόους.

CAP. III.

Ἔχουσα θύϊον τί. Bodæus τύϊον (omisso τὶ) quod Theodorus satis inepte *tuion*, ut ignotum, vocat. Scal. ait vocem esse de qua nemo potest conjicere. Cum tamen lignum arboris Θυΐα maxime omnium sempiternum sit, proprietas ista quod plus minusve in lignis dolatis apparet, hic videtur innui.

Σπείρας. Convolutiones venarum spirales; sic Plinius Latine "spiras" vocat, xvi. 30.

Κότινον ἐν Μεγάροις. Plinius in loco xxxvii. 2. vice κνημίδες καὶ ἄλλα ἄπτα κερμηστί. arma simpliciter memorat. Constant. legit ἀλλ' ἄπτα τῆς Ἀττικῆς ἐργασίας. quam lectionem in textum recepi: haud tamen placet; et mallem legere κερματιστίας nulla auctoritate, ex voce κερμηστί. sc. monœtæ Atticæ parvulæ. De restitutione civitatis Megarensis sub Demetrio, vid. Diod. Sic. l. 20.

CAP. IV.

Κύλικας Θηρικλείους. A Thericle figulo famoso Corinthi: vid. Athenæum l. ii.

CAP. V.

Ὁμαλῶς πως σαρκώδες. De ligno solido, compacto, sine ulla specie venarum.

Τῷ γλοιώδει, qualitas ligni tenax, viscidus? Hesych. et alii debilitas. N. B. Proprietates ceteræ enumerantur mutuo sibi invicem oppositæ; γλοιώδης simpliciter.

Καλλικαρπότερον τὸ ἄῤῥ. Vox ἄῤῥ. hic loci respicit var. ex semine in arboribus, quæ, quo validiores, eo fructuosiores, vel e contra.

Πεύκη ἔνδαδος. Pinus integra, sc. in qua resina non extrahitur terebrando.

Ὑπὸ τερηδόνος. Accurata admodum desc. Teredonis navalis, L. De hoc, utpote de vermibus aliis lignariis Theophr. vid. Plin. xvi. 41.

Βραχίντος τοῦ βερέθρου, "ab imo erumpentibus scaturigini-"bus." Scal. a βράσσειν, ebullire. Subita forsan eruptio aquæ subterraneæ, ut aliquando evenit in locis montosis.

CAP. VI.

Τὰ μοχθηρὰ σιδήρια. Secures hebetiores plus valent in scindendis lignis duris quam in mollibus. Vid. observ. de lignis θερμοῖς supra.

Σκυτοτόμοι ποιοῦνται τοὺς πίνακας ἐξ Ἀχράδος. Quo durius est lignum τοῦ πίνακος (tabulæ ligneæ ad acuendum ferrum, Ang. "a strop") eo efficacius.

Ὀρθὴν τὴν τρίσιν. Serratura rectangula, non transversim. Quod ad literas A. B. Γ. sectiones indicantes, ita forsan explicandum; literæ A. A. A. medullam, vel cor ligni indicant. B. Δ. sectionem rectang. B. Γ. sectionem obliquam.

Φανερὸν δ' ἔστι. Initium cap. vii. apud Bodæum, sed continuatio subjecti, ut notat Scal.

Μανοτάτη μὲν, sc. ἡ μήτρα τῆς Ἐλάτης. Sensus obscurus, et forsan textus corruptus. Durities cordis Abietini ligni adscribitur venis resiniferis quæ abundant. N. B. Corrigo αἱ ἶνες σκληροτάται καὶ οὐ τὸ σαρκῶδες, sensu postulante, infra enim de σαρκώδει, τὸ μαλακώτατον.

Συγγράφονται δ' οὐκ. Suadent Scriptores de Architectura. N. B. Substituo οὐκ pro οὕτως contra fidem *Codd.* ita enim postulat subsequens obs. περὶ μήτρας.

Ἀνάπαλιν. In *Codd.* ἀπαλαὶ, sensu nullo, et ideo a Theodoro in traductione omittitur. In margine legitur Pinus in transversum posita. Sensus vocis ἀνάπαλιν, est sursum, deorsum, vel ordine inverso. v. i. 20. et alibi.

CAP. VII.

Τὰν μὴ πάμπαν ξηρῶν. N. B. *Codd.* omnes legunt πάμπαν sine μή. Emendavi ex Plinio, et ut sensus requirit, "quæ mo-"dice humida, vel arida," xvi. 43. voces παύονται, ἴσχουσι subintelligunt actionem serræ, πρίσιν; sic Plin. ib. "serris ce-"dunt, vel pertinacius resistunt."

Ἀὴρ ἀναθερμαινόμενος ἀναδίδωσι. Theod. expuit!! sc. ramenta; sensus verbi ἀναδίδωμι, mihi videtur hic active poni et idem significare ac ἀνίημι supra; intelligendum hebetat dentes serræ.

Τὰ δὲ τρογγύλα. Partes navis, quæ ex solido vel quadrato ligno fiebant, non ex assibus.

Τὰ μὲν ἔνια. Partes quædam particulares.

Ταῖς ὁλκάσι. Ὁλκάς. Lex. navis oneraria: hic tamen forsan interpretandum remus, ab ἕλκω.

Ὅταν συμπίῃ καθελκυσθέντα. Sensum vocis συμπίῃ omittit Theod. absorptionem aquæ denotat, navi ex arena in mare subducta.

Τὴν τῶν μέτρων. De mensuris, e cortice Tiliæ.

Τὰς κίστας. Bodæus legit τὰ κανᾶ, quæ forsan vera lectio: hic enim sermo est de operibus vimineis, vel textilibus.

CAP. VIII.

Σφύριον, Τερέτριον. Vid. Plin. xvi. 43.

Κεδρὸς ἐκ Συρίας θαυμαστή. Pinus *Cedrus* L. Angl. "Cedar of "Libanus," hoc loco certe designatur, itemque usus ligni istius pæne sempiterni, etsi nulla detur habitus desc. N. B. Ex hujus ligno Templum Domini, et Arca Fœderis in *S.S.* Itemque Templum Dianæ Ephesinæ secundum Plinium xvi. 40.

Ἐν τῇ Κύρνῳ. Nomen antiquum Corsicæ. Vid. Scal. Obs.

Μυῤῥίναι, καθάπερ αἱ στεφανώτιδες. Duas Myrti spec. Theophr. hic indicat; ex quibus ἡ στεφάνωτις cujus usus ad serta, Myrtus, *communis* L. sed quænam sunt ista δένδρα μέγαλα? N. B. Desc. Promontorii Circæi, et tumuli Elpenoris ab ipso visi, confirmant traditiones, quæ a nonnullis reputantur fabulosæ.

CAP. IX.

Πρὸς τὴν πύρωσιν. Qualitates lignorum ad usus carbonarios accurate tractantur in hoc capitulo.

Περιαλείψωσι τὸν κάμινον. Ita Plin. xvi. 6. "acervi confertis "taleis recentibus luto caminantur," i. e. in camini modum oblinuntur. Bod. Forsan struuntur.

Πυρεῖα μὲν γίνεται ἐκ πολλῶν. Machina accendendo igni hic describitur. Ita etiam Plin. in loco "ad excudendum ignem "non semper lapidis occasio est: teritur lignum ligno, ignem-"que concipit attritu; excipiente materie arida . . . . . hedera "nihil præstantius quæ teratur; lauro quæ terat."

Τὴν δ' ἰσχάραν ἐκ τούτων. Theod. et Plin. consentiunt ἰσχάραν, i. e. tabulam, fovea in medio, quæ τρυπάνῳ subjiciatur fieri debere ex Hedera; Vite *Indica*; vel Clematide, *Vitalba*, quæ omnes plantæ scandentes et quarum moles trunci aptior ad τρύπανον. vid. ἰσχάρα· τρύπανον. Lex. Theophr. Apud Scholiaften antiquum ἰσχάρα πυρείας vocatur στορεύς: vid. Hesych.

By the same Author.

I.

Illustrationes Theophrasti in usum Botanicorum præcipue peregrinantium. Oxonii, e Typographeo Clarendoniano. 1811. Prostant venales apud J. Parker, Oxonii, et T. Payne, Londini.

II.

Nereis Britannica, continens Species omnes Fucorum in Insulis Britannicis crescentium. Londini apud J. White, Fleet Street. 1801.

THEOPHRASTI ERESII

DE

HISTORIA PLANTARUM

LIBRI DECEM.

PARS SECUNDA.

THEOPHRASTI ERESII

DE

HISTORIA PLANTARUM

LIBRI DECEM,

GRÆCE.

CUM

SYLLABO GENERUM ET SPECIERUM,

GLOSSARIO, ET NOTIS.

PARS SECUNDA.

CURANTE

JOH. STACKHOUSE, Arm. Soc. Linn. S.

OXONII,

EXCUDEBAT S. COLLINGWOOD.

Prostant venales apud J. Parker, Oxonii; T. Payne, White et Cochrane, et J. Murray, Londini; et J. Deighton, Cantabrigiæ.

MDCCCXIV.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ ε'.

CAP. I.

Divisio Plantarum in Frutices et Herbas.

ΠΕΡΙ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται πρότερον, ἑπόμενον δ' εἰπεῖν περί τε τῶν *φρυγανικῶν καὶ *πωωδῶν, καὶ εἴτινες ἐν τούτοις ἕτεραι συμπεριλαμβάνονται φύσεις, οἷον εἰ ἥγε σιτηρὰ πώδης ἐστί; πρῶτον δὲ λέγωμεν περὶ τῆς φρυγανικῆς, αὕτη γὰρ ἐγγυτέρω τῶν προειρημένων διὰ τὸ ξυλώδη εἶναι. πανταχοῦ μὲν ἴσως αἰεὶ τὸ ἄγριον τοῦ ἡμέρου πλεῖον, εἰ δὲ μὴ περί τε τὴν φρυγανικὴν οὐσίαν, (ὀλίγον γὰρ τὸ ἥμερον αὐτῆς,) ὥσπερ σχεδὸν ἐν τοῖς στεφανωτικοῖς ἐστιν, οἷον Ῥοδωνιὰ, Ἰωνιὰ, Διὸς ἄνθος, Ἀμάρακος, Ἡμεροκαλλές· ἔτι δὲ Ἔρπυλος, Σισύμβριον, Ἑλένιον, Ἀβρότανον· ἅπαντα γὰρ ταῦτα ξυλώδη καὶ μικρόφυλλα, διὸ καὶ φρυγανικά. καὶ ἐπὶ τῶν λαχανηρῶν δ' ὁμοίως, οἷον Ῥάφανος, [a] Πήγανον, καὶ ὅσα παραπλήσια τούτοις ἐστὶν, ὑπὲρ ὧν οὐχ ἧττον ἴσως ἁρμόττει κατὰ τὴν οἰκείαν

[a] Τήγανον, Bod.

προσηγορίαν εἰπεῖν, ὅταν περὶ στεφανωτίκων καὶ λαχάνων ποιώμεθα μνείαν, νῦν δὲ πρῶτον περὶ τῶν ἀγρίων λέγωμεν. ἔστιν αὐτῶν εἴδη, καὶ μέρη πλείω, καὶ τοῖς καθ' ἕκαστον γένος, καὶ τοῖς ὅλοις εἴδεσιν, ἃ δεῖ διαιρεῖν. μεγίστην δ' ἄν τις λάβοι διαφορὰν τῶν ὅλων γενῶν· ὅτι τὰ μὲν, ἀνάκανθα, τὰ δὲ ἀκανθώδη τυγχάνει· πάλιν δ' ἐν ἑκατέρῳ τούτων πολλαὶ διαφοραὶ γενῶν καὶ εἰδῶν, ὑπὲρ ὧν καθ' ἑκάτερα πειρατέον εἰπεῖν. τῶν ἀκανθικῶν δὴ, τὰ μὲν ἁπλῶς εἰσιν ἀκανθικαὶ, καθάπερ [b]Ἀσπάραγος καὶ Σκορπίος, οὐδὲ γὰρ ἔχυσι φύλλον οὐδὲν παρὰ τὴν ἄκανθαν· τὰ δὲ, φυλλάκανθα, καθάπερ Ἄκανος, Ἠρίγγιον, Κνῆκος· ταῦτα γὰρ, καὶ τὰ τοιαῦτα ἐπὶ τῶν φύλλων ἔχει τὴν ἄκανθαν, διὸ καὶ φυλλάκανθα καλεῖται· τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἕτερον ἔχει φύλλον, ὥσπερ ἡ Ὄνωνις, καὶ ὁ Τρίβολος, καὶ [c]τὸ Φέως. ὃ δή τινες καλοῦσι Στοίβην· [d]ὁ δὲ Τρίβολος [ἔχει ἀκάνθας] καὶ ἐν τῷ περικαρπίῳ· διὸ καὶ τοῦτο ἴδιον πρὸς ἅπαντα, ὡς εἰπεῖν. ἔτι πτερθάκανθά γε πολλὰ τῶν δένδρων καὶ τῶν θαμνωδῶν ἐστιν, οἷον Ἀχρὰς, Ῥοία, Παλίουρος, Βάτος, Ῥωδωνία, Κάππαρις. ἐν μὲν τοῖς ἀκανθικοῖς ταύτας ἄν τις (ὡς εἰπεῖν τύπῳ) λάβοι τὰς διαφορὰς, ἐν δὲ τοῖς ἀνακάνθοις οὐκ ἔστιν ὅλως διαλαβεῖν τοῖς γένεσιν, ἡ γὰρ τῶν φύλλων ἀνωμαλία, μεγέθει καὶ μικρότητι καὶ σχήμασιν, ἄπειρος, καὶ ἀσαφής· ἀλλὰ δεῖ πειρᾶσθαι κατ' ἄλλον τρόπον διαιρεῖν. πλείω δέ ἐστι τὰ γένη, τὰ τούτων, καὶ διαφορὰς ἔχοντα μεγάλας, οἷον Κιστὸς, Μήλωθρον, Ἐρευθεδα-

[b] Ἀσφάραγος Bas. [c] ὁ Φλέως. Bod. [d] ὁ δὲ Τρίβολος ἐν τῇ περικαρπίῳ· Bod. ὁ Τρίβολος ἕτερος Const.

νὸν, [e] Σπείραια, Κνέωρον, Ὠρίγανον, Θύμβρα. [f] Σφάκελος, Ἐλελίσφακος, Πράσιον, Κόνυζα, Μελισσόφυλλον· (ἕτερα τοιαῦτα, καὶ τὰ τούτοις ὅμοια·) ἔτι τὰ ναρθηκώδη καὶ * νευρόκαυλα, καθάπερ Μάραθρον, Ἱππομάραθρον, Ναρθηκῆα, Νάρθηξ, καὶ τὸ καλούμενον ὑπό τινων [g] Μυόφονον, καὶ ὅσα ὅμοια τούτοις, ἅπαντα γὰρ ἄν τις καὶ ταῦτα, καὶ ὅλως εἴ τι ναρθηκῶδές ἐστι, τῆς φρυγανικῆς φύσεως θείη.

CAP. II.

Cistus. Origanum. Thymus. Salvia. Marrubium. Ferula. Atropa. Cicuta, &c. &c.

ΕΙΔΗ δὲ καὶ διαφοραὶ καθ' ἕκαστον τῶν εἰρημένων εἰσὶ, τῶν μὲν φανερώτεραι, τῶν δὲ, ἀφανέστεραι, καὶ γὰρ [h] Κιστοῦ δύο γένη διαιροῦσι, τὸ μὲν ἄῤῥεν, τὸ δὲ, θῆλυ, τῷ τὸ μὲν μεῖζον καὶ σκληρότερον καὶ [i] λιπαρώτερον φύλλον ἔχειν, καὶ τὸ ἄνθος ἐπιπορφυρίζον· ἄμφω δ' ὅμοια τοῖς ἀγρίοις [k] ῥόδοις, πλὴν ἐλάττω καὶ ἄοσμα. δύο δὲ εἴδη καὶ τοῦ Κνεώρου, ὁ μὲν γὰρ λευκὸς, ὁ δὲ, μέλας· ἔχει δ' ὁ μὲν λευκὸς τὸ φύλλον * δερματῶδες, πρόμηκες, ὁμοιόσχημον τρόπον τινὰ τῇ Ἐλαίᾳ. ὁ δὲ μέλας, οἷον ἡ Μυῤῥίνη, σαρκῶδες· ἐπίγειος δὲ μᾶλλον ὁ λευκός· ἔστι δὲ ὀσμώδης· ὁ δὲ μέλας [l] ἄοσμος· τὴν δὲ ῥίζαν τὴν εἰς βάθος ἄμφω μεγάλην ἔχουσι, καὶ τοὺς * ἀκρεμόνας πολλοὺς καὶ παχεῖς, καὶ ξυλώδεις, ἀπ' αὐτῆς τῆς γῆς, ἢ μικρὸν ἄνω, σχιζομένους [m] ξυλωδέ-

[e] Σμηρία, Bod. [f] Σφακὸς, Ald. Bas. [g] Μυόφωνον, Bod. [h] Κισσοῦ Bod. [i] λιμπαρώτερον Bas. [k] ῥόδοις deest Bod. [l] εὔοσμος. Bas. [m] ξυλωδεστάτην ὕλην Scal. Vid. not. ad fin. libri.

στατοι δὲ καὶ γλίσχροι σφόδρα, διὸ καὶ χρῶνται πρὸς τὸ *καταδεῖν καὶ [n] *προλαμβάνειν, ὥσπερ τῷ Οἰσῷ. βλαστάνει δὲ καὶ ἀνθεῖ μετ' ἰσημερίαν μετοπωρινὴν, καὶ ἀνθεῖ πολὺν χρόνον. καὶ τῆς Ὀριγάνου δὲ ἡ μέλαινα ἄκαρπος, ἡ δὲ λευκὴ, κάρπιμος. καὶ Θύμον τὸ μὲν, λευκὸν, τὸ δὲ μέλαν· εὐανθὲς δὲ σφόδρα, περὶ τροπὰς (καὶ τότε γὰρ ἀνθεῖ) θερινὰς, ἀφ' οὗ καὶ ἡ Μέλιττα λαμβάνει τὸ μέλι· καὶ τοῦτό φασιν οἱ μελιττουργοὶ δῆλον εἶναι, πότερον εὖ μελιτοῦσιν ἢ οὔ, [o] οὐ καλῶς γὰρ ἀνθήσαντες οὐκ εὐ μελίτει· βλάπτεται δὲ, καὶ ἀπόλλυσι τὴν ἄνθησιν, ἐὰν ὕδωρ ἐπιγένηται. σπέρμα δὲ κάρπιμον ἡ μὲν Θύμβρα, καὶ ἔτι μᾶλλον ἡ Ὀρίγανος ἔχει· [οἱ μὲν] φανερὸν, τοῦ Θύμου δ' οὐκ ἔστι λαβεῖν, ἀλλ' ἐν τῷ ἄνθει πῶς ἀναμέμικται. σπείρουσι γὰρ τοῦτο καὶ ἀναβλαστάνει· [p] ζητοῦσι δὲ καὶ λαμβάνουσιν οἱ ἐξάγειν Ἀθήνησι βουλόμενοι τὸ γένος. ἴδιον δέ τι ἔχει καὶ πρὸς ταῦτα καὶ σχεδὸν πρὸς τὰ ἄλλα, καὶ κατὰ τοὺς τόπους, οὐ γάρ φασι δύνασθαι φύεσθαι καὶ *λαμβάνειν, ὅπου μὴ *ἀναπνοὴ διϊκνεῖται ἡ ἀπὸ τῆς θαλάσσης· διὸ οὐδὲν ἐν Ἀρκαδίᾳ γίνεται Θύμβρά τε καὶ Ὀρίγανον, καί τοι τοιαῦτα πολλὰ καὶ πολλαχοῦ· παραπλήσιον οὖν τὸ συμβαῖνον τοῦτο καὶ ἐπὶ τῆς Ἐλαίας· οὐδ' [q] ἐκείνη δοκεῖ τριακοσίων σταδίων ἀπὸ θαλάσσης ἐπάνω φύεσθαι. [r] Σφάκελος δὲ καὶ Ἐλελίσφακος διαφέρουσιν, ὡς ἂν τὸ μὲν ἥμερον, τὸ δὲ, ἄγριον· λειότερον γὰρ τὸ φύλλον τοῦ Σφακέλου, καὶ ἔλαττον, καὶ ἧττον [s] *αὐχ-

[n] προσλαμβάνειν Const. [o] ἄλλως γὰρ ἀπανθήσαντες οὐκ εὐμελίττει· Bod. καλῶς γὰρ ἀπανθήσαντος εὐμελιττεῖ· κακῶς δ' οὐκ. Const. [p] Vid. not. ad finem libri. [q] ἐκεῖνο Bod. [r] Σφακὸς Const. [s] αὐχμηρότερον· Bod.

μηρόν· τὸ δὲ τοῦ Ἐλελισφάκου [t] τραχύτερον. δύο γένη καὶ τοῦ Πρασίου· τὸ μὲν γὰρ ἔχει ωοῶδες τὸ φύλλον, καὶ μᾶλλον *ἐπικεχαραγμένον· ἔτι δὲ τὰς *ἐντομὰς ἐνδήλους σφόδρα καὶ βαθείας, ᾧ καὶ οἱ φαρμακοπῶλαι χρῶνται ωρὸς ἔνια· τὸ δὲ ἕτερον στρογγυλότερον καὶ αὐχμῶδες σφόδρα, καθάπερ τὸ τοῦ [u] Σφακέλου, καὶ τὰς ἐντομὰς *ἀμαυροτέρας ἔχον καὶ [τὸ φύλλον] ἐπικεχαραγμένον ἧττον. [x] Κονύζης δὲ τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ· διαφορὰς δὲ ἔχει, καθάπερ τὰ ἄλλα τὰ οὕτω διαιρούμενα· τὸ μὲν γὰρ θῆλυ λεπτοφυλλότερον, καὶ *ξυνεστηκὸς μᾶλλον, καὶ τὸ ὅλον ἔλαττον· τὸ δὲ ἄρρεν, μεῖζόν τε καὶ ωαχυκαυλότερον, καὶ *ωολυκλωνότερον, καὶ τὸ φύλλον μεῖζον καὶ λιπαρώτερον ἔχον· ἔτι δὲ τὸ ἄνθος λαμπρότερον· καρποφόρα δὲ ἄμφω, τὸ δ' ὅλον ὀψιβλαστεῖ, [y] ἀνθεῖ γὰρ ωερὶ ἀρκτοῦρον, καὶ μετ' ἀρκτοῦρον *λαμβάνει. *βαρεῖα δὲ ἡ ὀσμὴ τοῦ ἄρρενος, ἡ δὲ τῆς θηλείας *δριμυτέρα, διὸ καὶ ωρὸς τὰ *θηρία χρησίμη. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ὥσπερ διαφέροντα, ωάλιν δὲ ἄλλα μονοειδῆ τυγχάνοντα, καὶ τῶν ωρότερον εἰρημένων, καὶ ἕτερα ωαρὰ ταῦτα, ωλείω γάρ ἐστι. τὸ δὲ *ναρθηκῶδες (γένος γὰρ καὶ τοῦτο τῶν φρυγανικῶν) ωολλὰς ωεριείληφεν *ἰδέας, ἐν οἷς ωρῶτον ὑπὲρ τοῦ κοινοῦ ωᾶσι λεκτέον, ὑπὲρ Νάρθηκός τε καὶ Ναρθηκυίας, εἴτε τὸ αὐτὸ γένος ἐςὶν ἀμφοῖν, διαφέρον δὲ κατὰ μέγεθος· εἴτε καὶ ἕτερον, ὥσπερ τινές φασιν· ἡ δ' οὖν φανερὰ φύσις ἀμφοῖν ὁμοία, ωλὴν κατὰ τὸ μέγεθος· ὁ μὲν γὰρ Νάρθηξ γίνεται μέγας σφόδρα, ἡ δὲ Ναρ-

[t] βαρύτερον. Bod. [u] Ἐλελισφάκου, Const. [x] Κορίζης Bod. [y] καὶ ὀψιανθεῖ ωερὶ Bod.

θηκυῖα μικρά· μονόκαυλα δ' ἄμφω, καὶ *γονατώδη, ἀφ' ὧν τά τε φύλλα βλαςάνει, καὶ καυλοί τινες μικροί. βλαστάνει δὲ *παραλλὰξ τὰ φύλλα· λέγω δὲ παραλλὰξ, ὅτι οὐκ ἐκ τοῦ αὐτοῦ μέρους τῶν γονάτων, ἀλλ' ἐναλλὰξ, περιειληφότα δὲ τὸν καυλὸν ἐπὶ [z] πολὺ καθάπερ τὰ τοῦ Καλάμυ, πλὴν *ἀποκεκλιμένα ταῦτα μᾶλλον διὰ τὴν μαλακότητα καὶ τὸ μέγεθος, μέγα γὰρ τὸ φύλλον καὶ μαλακὸν, καὶ πολυσχιδὲς, ὥστε εἶναι τριχῶδες· ἔχει δὲ μέγιςα τὰ κάτω [φύλλα] τὰ πρὸς τὴν γῆν, καὶ ἀεὶ κατὰ λόγον. ἄνθος δὲ *μηλινοειδές· *ἀμαυρόκαρπον δὲ, παρόμοιον τῷ Ἀνήθῳ, πλὴν μεῖζον· ἐξ ἄκρου δὲ σχίζεται, καὶ ἔχει τινὰς οὐ μεγάλους καυλοὺς, ἐνταῦθα δὲ τό τε ἄνθος καὶ ὁ καρπός· ἔχει δὲ καὶ ἄνθος καὶ καρπὸν καὶ ἐν τοῖς *παρακαυλίζουσι διόλου, καθάπερ τὸ Ἄνηθον. *ἐπετειόκαυλον δέ· καὶ ἡ βλάστησις τοῦ ἦρος, πρῶτον μὲν τῶν φύλλων, ἔπειτα τοῦ καυλοῦ, καθάπερ τῶν ἄλλων· ῥίζαν δὲ ἔχει βαθεῖαν, ἐστὶ δὲ μονόῤῥιζον· ὁ μὲν οὖν Νάρθηξ τοιοῦτος, τῶν δ' ἄλλων τὰ μὲν, ὁμοιότερον τούτῳ τὸν καυλὸν ἔχει, καθάπερ ὁ Μανδραγόρας, καὶ τὸ Κώνειον, καὶ ὁ Ἐλλέβορος, καὶ ὁ Ἀνθέρικος· τὰ δ' οἷον *ἐκνευρόκαυλα τυγχάνει, καθάπερ Μάραθρον, [a] Μυόφονον, καὶ τὰ ὅμοια τούτοις. ἴδιος δὲ ὁ καρπὸς τοῦ Μανδραγόρου, τῷ μέλας τε, καὶ *ῥαγώδης εἶναι, καὶ *οἰνώδης τῷ χυμῷ. μέγιστα δὲ καὶ ἰδιαίταται φύσεις, ἥτε τοῦ Σιλφίου, καὶ ἡ τοῦ Παπύρου τοῦ ἐν Αἰγύπτῳ, ναρθηκώδη γὰρ καὶ ταῦτά ἐστιν.

[z] πολὺ deest Bod. [a] Μυόφωνον, Const.

CAP. III.

Σιλφίον. Μαγύδαρις. Asparagus. Genista. Spinosa. Trapa. Capparis, &c. &c.

ΥΠΕΡ οὖν τοῦ μὲν Παπύρου πρότερον εἴπομεν ἐν τοῖς ἐνύδροις, ὑπὲρ [b] θατέρου δὲ λεκτέον· τὸ δὲ Σίλφιον ἔχει ῥίζαν μὲν πολλὴν καὶ παχεῖαν, τὸν δὲ καυλὸν, ἡλίκον Νάρθηξ· σχεδὸν δὲ κ̓ τῷ πάχει παραπλήσιον· τὸ δὲ φύλλον, ὃ καλοῦσι *μάσπετον, ὅμοιον τῷ Σελίνῳ. σπέρμα δ' ἔχει πλατὺ, *φυλλῶδες, [c] οἷον τὸ λεγόμενον Φύλλον· ἐπετειόκαυλον δ' ἐστὶν, ὥσπερ ὁ Νάρθηξ. ἅμα μὲν οὖν τῷ ἦρι τὸ μάσπετον τοῦτο ἀφίησιν, ὃ καθαίρει τὰ πρόβατα καὶ παχύνει σφόδρα, καὶ τὰ κρέα θαυμαστὰ ποιεῖ τῇ ἡδονῇ· μετὰ δὲ ταῦτα καυλὸν [ἔχει], ἐοθίεθαι πάντα τρόπον ἀγαθὸν, ἑφθὸν, ἢ ὀπτόν· καθαίρειν δὲ κ̓ τοῦτόν φασι τὰ σώματα τεττεράκοντα ἡμέραις· ὀπὸν δὲ διττὸν ἔχει, τὸν μὲν ἀπὸ τοῦ καυλοῦ, τὸν δὲ ἀπὸ τῆς ῥίζης· διὸ καλοῦσι τὸν μὲν καυλίαν, τὸν δὲ ῥιζίαν· ἡ δὲ ῥίζα τὸν φλοιὸν ἔχει μέλανα, κ̓ τοῦτον περιαιροῦσιν. ἔςι δὲ ὥσπερ μέτρα [τὶς] τῶν ῥιζοτομιῶν αὐτῆς, ἐξ ὧν ὁπόσον ἂν δοκῇ συμφέρειν ταμιευόμενοι πρὸς τὰς τομὰς, καὶ τὸ ὑπάρχον τέμνουσιν· οὐκ ἔστι γὰρ οὔτε παρατέμνειν, οὔτε πλεῖον [d] τέμνειν τῶν τεταγμένων, καὶ γὰρ διαφθείρεται καὶ σήπεται τὸ *ἀργὸν, ἐὰν χρονίζῃ. *κατεργάζονται δὲ ἄγοντες εἰς τὸν Πειραιᾶ τόνδε τὸν τρόπον· ὅταν βάλλωσιν εἰς ἀγγεῖα, καὶ ἄλευρα μίξωσι, σείουσι χρόνον

[b] Σιλφίου Gaza. [c] οἷον deest Const. [d] τέμνειν deest Bod.

συχνὸν, ὅθεν καὶ τὸ χρῶμα λαμβάνει· καὶ, ἐργασθὲν ἀσηπτὸν ἤδη διαμένει. τὰ μὲν οὖν κατὰ τὴν *ἐργασίαν καὶ τομὴν οὕτως ἔχει· τόπον δὲ πολὺν *ἐπέχει τῆς Λιβύης, πλείω γάρ φασιν ἢ τετρασχίλια στάδια, τὰ πλείονα δὲ γενέσθαι περὶ τὴν Σύρτιν ἀπὸ τῶν Εὐεσπερίδων· ἴδιον δὲ τὸ φεύγειν [c] γῆν ἐργαζομένην, καὶ δὴ συνεργαζομένης καὶ ἀεὶ συνημερευμένης ἐξαναχωρεῖν [φασὶν] ὡς οὐ δεομένην δηλονότι θεραπείας, ἄλλ' ὄντος ἀγρίου. φασὶ δὲ οἱ Κυρηναῖοι φανῆναι τὸ Σίλφιον ἔτεσι, πρότερον ἢ αὐτοὶ τὴν πόλιν ᾤκησαν, ἕπτα· οἰκοῦσι δὲ μάλιστα περὶ τριακόσια, εἰς Σιμωνίδην ἄρχοντα Ἀθήνησιν· οἱ μὲν οὕτω λέγουσιν. οἱ δὲ τοῦ Σιλφίου ῥίζαν φασὶ γενέσθαι πηχυαῖαν, ἢ μικρῷ μείζονα, ταύτην δὲ ἔχειν ἐπὶ τοῦ μέσου κεφάλιον, ὃ καὶ μετεωρόν ἐστι, καὶ σχεδὸν ὑπὲρ γῆς, ἐξ ἧς τμηθείσης ῥεῖν ὅπον ὡς γάλα· μετὰ ταῦτα δὲ φύεσθαι τὸν καυλὸν, ἐκ δὲ τούτου τὴν *μαγύδαριν, καὶ τὸ καλούμενον φύλλον, ἐκ τούτου δ' εἶναι [f] σπέρμα, ὃ καὶ ὅταν νότος λαμπρὸς πνεύσῃ μετὰ κύνα, διαῤῥίπτεται, ἐξ οὗ φύεσθαι τὸ Σίλφιον· τῷ αὐτῷ δὲ ἔτει τήν τε [g] ῥιζίαν γίνεσθαι καὶ τὴν καυλίαν, οὐδὲν δὲ τούτου ἴδιον· (καὶ γὰρ τῶν ἄλλων.) εἰ μὴ τοῦτο λέγουσιν, ὅτι εὐθὺς φύεται μετὰ τὴν *ἔκριψιν. καὶ τοῦτο ἴδιον καὶ διαφέρον τοῖς πρότερον, ὅτι φασὶ δεῖν ὀρύττειν ἐπέτειον, ἐὰν δὲ ἐαθῇ, [h] φέρειν μὲν καυλὸν καὶ σπέρμα, χείρω δὲ γίνεσθαι καὶ ταῦτα, καὶ τὴν ῥίζαν, ὀρυττομένας δὲ, βελτίους γίνεσθαι, διὰ τὸ μεταβάλλεσθαι τὴν γῆν. (ἐναντίον δὲ τοῦτο τῷ φεύγειν τὴν ἐργάσιμον·)

[c] τὴν Bod. [f] Vid. not. ad fin. libri. [g] ῥίζαν γίνεσθαι καὶ τὸν καυλὸν, Bod. [h] φέρειν πᾶν τὸ σπέρμα, καὶ τὸν καυλὸν, Bod.

ἐσθίεσθαι καὶ τὰς ῥίζας *προσφάτους κατατεμνομένους εἰς [i] ψώμους. τὸ δὲ φύλλον [φασὶ] τῇ χροιᾷ χρυσοειδὲς εἶναι· ἐναντίον δὲ, καὶ τὸ καθαίρεσθαι τὰ πρόβατα τὸ φύλλον ἐσθίοντα, φασὶ γὰρ καὶ τοῦ ἦρος, καὶ τοῦ χειμῶνος εἰς ὄρος ἀφιέναι, νέμεσθαι δὲ τοῦτό τε, καὶ ἕτερον ὅμοιον Ἀβροτόνῳ· (θερμαντικὼ δ' ἄμφω δοκεῖ εἶναι.) καὶ κάθαρσιν μὲν οὐ ποιεῖν, ἀναξηραίνειν δὲ καὶ συμπέττειν· ἐὰν δέ τι νοσοῦν, ἢ κακῶς ἔχον εἰσέλθῃ πρόβατον, ὑγιάζεσθαι ταχέως, ἢ ἀποθνήσκειν· ὡς δ' ἐπιτοπολὺ, σώζεσθαι μᾶλλον. ταῦτα μὲν, ὁποτέρως ἔχει, σκεπτέον, ἡ δὲ καλουμένη Μαγύδαρις, ἕτερόν ἐστι τοῦ Σιλφίου, μανώτερόν τε καὶ ἧττον δριμὺ, καὶ τὸν ὀπὸν οὐκ ἔχει. διάδηλος δέ ἐστι καὶ τῇ ὄψει τοῖς ἐμπείροις· γίνεται δὲ περὶ Συρίαν, καὶ οὐκ ἐν Κυρήνῃ, φασὶ δὲ καὶ ἐν τῷ Παρνασίῳ ὄρει πολλήν. ἔνιοι δὲ Σίλφιον τοῦτο καλοῦσιν, εἰ δὲ φεύγει γῆν ἐργαζομένην. ὥσπερ τὸ Σίλφιον, σκεπτέον· ὡσαύτως δὲ καὶ εἴ τι ὅμοιον, ἢ παραπλήσιον ἔχει φύλλου τε πέρι καὶ καυλοῦ, καὶ εἰ ὅλως ἀφίησί τι *δάκρυον. τὴν μὲν ὃν ναρθηκώδη φύσιν ἐν τοῖς τοιούτοις θεωρητέον, τῆς δ' ἀκανθικῆς, (ἑπόμενον γὰρ τοῦτο εἰπεῖν,) ἐπειδὴ διῄρηται τὸ μὲν ἀκανθῶδες ὅλως, τὸ δὲ φυλλάκανθον, ὑπὲρ ἑκατέρου χωρὶς λεκτέον, καὶ τριτὸν δὲ περὶ τοῦ καὶ παρὰ τὴν ἄκανθαν ἔχοντος φύλλον, ὥσπερ ὅτε Φέως, καὶ ὁ Τρίβολος, καὶ ἡ Κάπαρις, ἴδιον ἔχει τὸ μὴ μόνον τὴν ἐκ τῶν καυλῶν ἄκανθαν ἔχειν, ἀλλὰ καὶ τὸ φύλλον ἐπακανθίζον. τῶν δὲ διῃρημένων εἰδῶν, πλεῖστον μέν ἐστι τὸ φυλλάκανθον, ἐλάχιστον δὲ, ὡς εἰπεῖν, τὸ ἀκανθῶδες ὅλως, βραχὺ

[i] ὄζους. Bod. ὄξους. Const.

γάρ τι πάμπαν ἐστὶν, ὥσπερ ἐλέχθη, καὶ σχεδὸν οὐ ῥάδιον λαθεῖν παρά τε τὸν [k] Ἀσπάραγον καὶ τὸν Σκορπίον. ἀμφότερα δὲ ταῦτα ἀνθεῖ μετὰ ἰσημερίαν φθινοπωρινήν· ὁ μὲν Σκορπίος ἐν τῷ σαρκώδει τῷ [l] ἐξοιδοῦντι ὑπὸ τὸ ἄκρον ἔχον τὸ ἄνθος, ἐξ ἀρχῆς μὲν λευκὸν, ὕστερον δὲ ἐπιπορφυρίζον· ὁ δὲ Ἀσφάραγος ἐκφύων παρὰ τὰς ἀκάνθας κορυνῶδές τι μικρὸν, ἐκ τούτου δέ ἐστι τὸ ἄνθος μικρόν. ὁ δὲ Σκορπίος μονόῤῥιζον καὶ βραχύῤῥιζον καὶ [m] εὐθύῤῥιζον. ὁ δὲ Ἀσφάραγος, βαθύῤῥιζόν τε εὖ μάλα, καὶ πολύῤῥιζον, πυκναῖς ταῖς ῥίζαις, ὥστε τὸ ἄνω συνεχὲς εἶναι αὐτῶν, ἀφ' οὗ καὶ αἱ βλαστήσεις [n] αὖ τῶν καυλῶν· ἀναβλαστάνει δὲ ὁ καυλὸς ἐκ τῆς *ἀσφαραγίας τοῦ ἦρος, καὶ ἐδώδιμός ἐστιν· εἶθ' οὕτως ἀποτραχύνεται, καὶ ἐξανθεῖται προϊούσης τῆς ὥρας, ἡ δὲ ἄνθησις οὐκ ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τῶν πρότερον, οὐ γὰρ ἐπετειόκαυλός ἐστιν.

CAP. IV.

Plantæ Folio spinoso, &c. Carduus. Cnicus. Scolymus, &c. &c.

ΤΑ μὲν οὖν ὅλως ἀκανθώδη, τοιαύτην τινὰ ἔχει φύσιν, τῶν δὲ φυλλακάνθων τὸ πλεῖστον γένος, ὡς εἰπεῖν, ἀκανθῶδες τυγχάνει. λέγω δὲ [o] ἀκανθῶδες, ὅτι τὸ *κύημα, ἐν ᾧ τὸ ἄνθος, ἢ ὁ καρπὸς, ἢ *ἄκανος, ἀκανθῶδες πάντων ἐστί. διαφορὰν δὲ ἔχει ἐν ἑαυτῷ κατὰ μέγεθος, καὶ [p] σχήματι, καὶ χρώματι· καὶ πλή-

[k] Vid. not. ad fin. libri. [l] ἐσποδοῦντι τὸ ὑπὸ Ald. Bas. [m] βαθύῤῥιζον. Bod. [n] αὐτῶν Bod. αὐτῷ Const. [o] ἀκανῶδις, Scal. [p] χρήματι, Bod.

θει, καὶ ὀλιγότητι τῶν ἀκανθῶν καὶ τῶν ἄλλων· ἔξω γὰρ ὀλίγων πάνυ, καθάπερ τοῦ Στρουθίου τε καὶ τοῦ Σόγκου, (καὶ εἴ τινων ἑτέρων,) τὰ λοιπὰ πάντα, ὡς εἰπεῖν, τοιαύτην ἔχει φύσιν· ἔτι καὶ ὁ Κνῆκος τήν γε φύσιν ἀκανθώδη ἔχει, τὸ δὲ σπερματικὸν οὐχ ὅμοιον· ἀλλὰ τά γε τοιαῦτα πάντα, οἷον Ἄκαρνα, Λευκάνανθα, Χάλκειος Κνῆκος, Πολυάκανθος, Ἀτρακτυλὶς, [q] Ὀνόπυξος, Ἰξίνη, Χαμαιλέων, (πλὴν οὗτος ὁ φυλλάκανθος.) Σκόλυμος, ὃς καὶ Λειμωνίον, φυλλάκανθα· καὶ τἄλλα, (πλείω γάρ ἐστι.) διαφέρουσιν ἀλλήλων πρὸς τοῖς εἰρημένοις, τῷ τὰ μὲν πολύκαυλα εἶναι, καὶ ἀποφύσεις ἔχειν ὥσπερ ὁ Κνῆκος, ἔνια δὲ ἄνωθεν ἔχειν ἐξ ἄκρου, καθάπερ τὸ Ῥύτρος· καὶ τὰ μὲν εὐθὺς τοῖς πρώτοις [r] ὕδασι βλαστάνει, τὰ δ' ὕστερον, ἔνια δὲ καὶ τοῦ θέρους, ὥσπερ ἡ Τετράλιξ ὑπό τινων καλουμένη, καὶ ἡ Ἰξίνη. καὶ ἡ ἐπὶ τῶν ἀνθῶν [διάφορα] ὁμοίως, εὐανθὴς γὰρ ὁ Σκόλυμος καὶ ἐπὶ πολὺν χρόνον· διαφοραὶ δὲ τῶν μὲν *ἀκανῶν οὐκ εἰσί. τῆς δὲ [s] Κνίκου γένη εἰσὶν, ἡ μὲν γὰρ ἀγρία, ἥδ' ἥμερος· τῆς δ' ἀγρίας, δύο εἴδη, τὸ μὲν, προσεμφερὲς σφόδρα τῷ ἡμέρῳ, πλὴν εὐθυκαυλότερον, διὸ καὶ [t] *πηνίοις ἔνιαι τῶν ἀρχαίων ἐχρῶντο γυναικῶν· καρπὸν δὲ ἔχει μέλανα, καὶ μέγαν, καὶ πικρόν. ἡ δ' ἑτέρα δασεῖα καὶ τοὺς καυλοὺς ἔχει σογκώδεις, ὥστε τρόπον τινὰ ἐπιγειόκαυλος γίνεται. διὰ γὰρ μαλακότητα τῶν φύλλων *κατακλίνεται πρὸς τὰς ἀρούρας· καρπὸν δὲ ἔχει πικρὸν [u] *πωγωνώδη· σπερματώδεις δὲ πᾶσαι, πλὴν μείζοσι καὶ πυκνοτέροις αἱ ἄγριαι.

[q] Ὀνόγυρος, Const. [r] ὕστατον Bod. [s] Κνήκου Bod.
[t] σπληνίοις Bas. [u] πωγώνος· Ald. Bas.

ἴδιον δὲ ἔχει πρὸς τὰ ἄλλα ἄγρια· τὰ μὲν γὰρ σκληρότερα, καὶ ἀκανθωδέστερα τῶν ἡμέρων, αὕτη δὲ μαλακωτέρα καὶ λειοτέρα. ἡδ' Ἄκαρνα προσεμφερὴς, ὡς ἁπλῶς εἰπεῖν, κατὰ τὴν πρόσοψιν τῇ Κνίκῳ τῇ ἡμέρᾳ, χρῶμα δ' ἐπίξανθον ἔχει, καὶ [x] χύλον *λιπαρόν. Ἀτρακτυλὶς δέ τις καλεῖται καὶ λευκοτέρα [y] ταύτης· ἴδιον δέ τι ἔχει τὸ φύλλον, ὅτι ἀφαιρούμενον, καὶ τῇ σαρκὶ προσφερόμενον, αἱματώδη ποιεῖ τὸν χυλόν. διὸ καὶ Φόνον ἔνιοι καλοῦσι τὴν ἄκανθαν ταύτην· ἔχει δὲ τὴν ὀσμὴν δεινὴν [z] καὶ φονώδη· ὀψὲ δὲ καὶ τελειοῖ τὸν καρπὸν πρὸς τὸν μετόπωρον· τὸ δ' ὅλον, ὡς ἁπλῶς εἰπεῖν, ἅπασα ἡ ἀκανθικὴ φύσις, ἐπίκαρπος. ἅπαντα δὲ ταῦτα φύεται καὶ ἀπὸ τοῦ σπέρματος καὶ ἀπὸ τῆς ῥίζης, ὥστε βραχύν τινα γενέσθαι τὸν ἀνὰ μέσον χρόνον τῆς *ἐκφύσεώς τε καὶ τῆς τοῦ σπέρματος τελειώσεως. τοῦ Σκολύμου δὲ, οὐκέτι τοῦτο μόνον ἴδιον ὅτι τὴν ῥίζαν ἐδώδιμον ἔχει καὶ ἑφθὴν καὶ ὠμὴν, ἀλλὰ καὶ ὅτι [a] ταύτην ἀρίστην ἔχει, ὅταν ἀνθεῖ· καὶ ὅτι σκληρυνομένη ἀφίησιν ὀπόν. ἴδιον δὲ καὶ τὸ τῆς ἀνθήσεως, ἐπεὶ περὶ τροπάς. σαρκώδης δὲ καὶ ἐδώδιμος ἡ τοῦ Σόγκυ [ῥίζα], ἡ δὲ *Κύησις οὐκ ἀκανώδης ἀλλὰ προμήκης αὐτοῦ, καὶ τοῦτ' ἴδιον μόνον ἔχει τῶν φυλλακάνθων· ἀντεσραμμένως δὲ ἢ ὁ Χαμαιλέων, ὁ μὲν γὰρ ἀφυλλάκανθος ὢν, ἀκανίζει· γηράσκων δὲ τὸ ἄνθος [τοῦ Σόγκου] ἐκπαποῦται, καθάπερ τὸ τῆς [b] Ἀκάρνης, καὶ τὸ τῆς Ἰξίνης· καὶ ὅσα παραπλήσια τούτοις παρακολουθεῖ μέχρι τοῦ θέρους, τὸ μὲν κυοῦν, τὸ δὲ ἀνθοῦν, τὸ δὲ [c] σπερμοτοκεῖν. καὶ μικρὰν μὲν ἰκμάδα

x χύλον deest Bod. y τούτων Bod. z χύλον φονώδη, Const. a τὴν Bod. b Μυῤῥίνης· Bod. c σπέρματος μὶν μίκραν ἰκμάδα καὶ μήτρον ἔχει, Bod.

καὶ κέντρον ἔχει τὸ φύλλον, ξηραινόμενον δὲ *διαχεῖται καὶ οὐκέτι κεντεῖ· ἡ δὲ Ἰξίνη φύεται μὲν οὐ πολλαχοῦ, *ῥιζόφυλλον δέ ἐστιν, ἀπὸ δὲ τῆς ῥίζης μέσης ὁ σπερματικὸς *ἄκανος ἐπιπέφυκεν, ὥσπερ μῆλον εὖ μάλα ἐπικεκρυμμένον ἐπὶ τῶν φύλλων· οὗτος δὲ ἐπὶ τοῦ ἄκρου φέρει τὸ δάκρυον εὔστομον, καὶ τοῦτό ἐστιν [d] ἡ ἀκανθικὴ μαστίκη. ταῦτα οὖν καὶ τὰ τοιαῦτα πανταχοῦ σχεδόν ἐστιν, ἡ δὲ Κάκτος καλουμένη, περὶ Σικελίαν μόνον, ἐν τῇ Ἑλλάδι δὲ οὐκ ἔστιν· ἴδιον δὲ παρὰ τὰ ἄλλα τὸ φυτὸν, ἀφίησι γὰρ εὐθὺς ἀπὸ τῆς ῥίζης καυλοὺς ἐπιγείους, τὸ δὲ φύλλον [e] πλατὺ καὶ ἀκανθῶδες. καλοῦσι δὲ τοὺς καυλοὺς κάκτους· ἐδώδιμοι δέ εἰσι περιλεπόμενοι· μικρὸν ἐπίπικροι· καὶ θησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ. ἕτερον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι *πτέρνικα· γίνεται δὲ καὶ οὗτος ἐδώδιμος, πλὴν ἀθησαύριστος· τὸ δὲ περικάρπιον, ἐν ᾧ τὸ σπέρμα, τὴν μὲν μορφὴν [f] ἀκανῶδες, ἀφαιρεθέντων δὲ τῶν παππωδῶν σπερματίων, ἐδώδιμον καὶ τοῦτο, καὶ ἐμφερὲς [ἔστι] τῷ τοῦ Φοίνικος ἐγκεφάλῳ· καλοῦσι δὲ αὐτὸν *σκαλίαν.

CAP. V.

Potcrium, spinosum. Capparis. Tribulus, terrestris. Ononis, &c. &c.

ΤΑ μὲν οὖν φυλλάκανθα σκεπτέον ἐν τοιαύταις διαφοραῖς· τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἔχοντα φύλλον,

[d] ἡ ἀκανθικὴ καὶ ἡ μαστίκη. Bod. [e] ἔχει κάκτους Bod.
[f] ἀκανθῶδες, Bod.

ἔστι τοιαῦτα, [g] Φέως, Ὀνωνὶς, Παντάδουσα, Τρίβολος, Ἱππόφυον, Μυάκανθος, ὃς καὶ τὸ φύλλον ἔχει σαρκῶδες σφόδρα. πολυχιδὲς δὲ καὶ πολύῤῥιζον τὸ [h] Φέως, ἐὰν μὴν κατὰ βάθος γε τὰς ῥίζας ἔχον· βλαστάνει δὲ ἅμα Πλειάδι καὶ τοῖς πρώτοις [i] ἀρότοις, καὶ ἀφίησι τότε τὸ φύλλον, οὐ γάρ ἐστιν ἐπέτειον, ἀλλὰ χρονιώτερον. τὸ δὲ τῆς Καππάριος ἴδιον, ὥσπερ ἐλέχθη, παρὰ ταῦτα, καὶ γὰρ τὸ φύλλον *ἐπακανθίζον ἔχει, καὶ τὸν καυλὸν οὐχ ὥσπερ [k] ὁ Φέως καὶ Ἱππόφεως ἀνάκανθα τοῖς φύλλοις· μονόῤῥιζον δὲ, καὶ ἐπίγειον, καὶ χαμαίκαυλον· βλαστάνει δὲ καὶ ἀνθεῖ τοῦ θέρους, καὶ διαμένει τὸ φύλλον χλωρὸν ἄχρι Πλειάδος· χαίρει δὲ ὑφάμμοις καὶ λεπτογείοις χωρίοις· λέγεται δὲ ὡς ἐν τοῖς ἐργασίμοις οὐ θέλει φύεσθαι· καίπερ περὶ τὰ ἄστη καὶ [l] ἐν εὐηλίοις τόποις φυομένη, καὶ οὐχ ὥσπερ Σίλφιον ἐν ὀρεινοῖς· τοῦτο μὲν οὐ πάντως ἀληθές. ὁ δὲ Τρίβολος ἴδιον ἔχει, διότι *περικαρπιάκανθός ἐστι· δύο δ' αὐτοῦ γένη, τὸ μὲν γὰρ ἔχει φύλλον ἐρεβινθῶδες, ἕτερος δὲ φυλλάκανθος [ἔστι]· καὶ ἐπίγειοι δὲ ἄμφω καὶ πολλαχοῦ χεδὸν *χιζόμενοι· ὀψιβλάστης δὲ μᾶλλον ὁ φυλλόκανθος καὶ προσφύεται κατὰ τὰς αὐλάς. τὸ δὲ σπέρμα τοῦ μὲν πρωΐου σησαμῶδες, τοῦ δὲ ὀψίου, στρογγύλον, ἐπίμελαν ἐν λοβῷ. καὶ τὰ μὲν ὥσπερ φύλλα καὶ ἀκάνθας ἔχοντα χεδὸν ἐν τούτοις, ἡ δ' Ὀνωνίς ἐστι *πτερθάκανθος· ἐπέτειον δὲ φύλλον ἔχει, πηγανῶδες, παραπεφυκὸς παρ' ὅλον τὸν καυλὸν, [m] ὥστε

[g] Φλέως, Bod. [h] Φλέως, Bod. [i] ἀρότροις, Bod.
[k] ὄφιως Bod. [l] πεδινοῖς Theod. [m] ὥσπερ Bod.

στεφάνου τὴν ὅλην εἶναι μορφὴν, διαλαμβανομένην ὑπ' ἀλλήλων· *κολλοβοανθὴς δὲ καὶ *ἐλλοβοανθὴς *ἀδιαφράκτως· φύεται δ' ἐν τῇ *γλίσχρᾳ καὶ *γανώδει, καὶ μάλιστα ἐν τῇ *σπορίμῳ καὶ γεωργουμένῃ, διὸ καὶ πολέμιον τοῖς γεωργοῖς, καὶ ἔτι δυσώλεθρος· ὅταν γὰρ λάβῃ χώρας βάθος, ὠθεῖ τὰ κάτω εὐθὺς, καὶ καθ' ἕκαστον ἔτος *ἀποφύσεις ἀφιεμένη εἰς τὰ πλάγια, πάλιν εἰς τὸ ἕτερον ὠθεῖται κάτω. [n] ἐξορυχθεῖσα μὲν οὖν ὅλη, (τοῦτο δὲ βραχείσης τῆς γῆς,) ἀπόλλυται ῥᾷον· ἐὰν δὲ μικρὸν ἀπολειφθῇ, ἀπὸ τούτου πάλιν βλαστάνει. ἄρχεται δὲ τῆς βλαστήσεως θέρους, τελειοῦται δὲ μετοπώρου.

CAP. VI.

Plantæ coronariæ Flore speciosо. Rosa. Lilium. Narcissus. Crocus. Œnanthe.

ΤΑ μὲν οὖν ἄγρια τῶν φρυγανικῶν, ἐκ τούτων θεωρείσθω. τὰ δὲ ἥμερα βραχεῖάν τινα ἔχει θεωρίαν, ἥπερ ἐν τοῖς στεφανωτικοῖς ἐστι. τὰ δὲ καθόλου πειρατέον περὶ *στεφανωτίκων εἰπεῖν, ὅπως ἅπαν περιληφθῇ τὸ γένος, ἡ γὰρ στεφανωτικὴ φύσις ἴδιαν τινὰ ἔχει τάξιν, ἐπιμιγνυμένην δέ· τὰ μὲν τοῖς *φρυγανικοῖς, τὰ δὲ, τοῖς πόωδεσι· δι' ἃ κἀκεῖνα συμπεριληπτέον, ἐπιμιμνησκομένους ὡς ἂν ᾖ ὁ καιρὸς, ἀρξαμένους πρῶτον ἀπὸ τῶν φρυγανικῶν. διχῇ δὲ ἡ τούτων διαίρεσις· ἡ κατὰ τὴν χρείαν, τῶν μὲν τὸ ἄνθος χρήσιμον μόνον, (καὶ τούτων τὸ μὲν εὔοσμον, ὥσπερ Ἴον, τὸ δὲ ἄοσμον, ὥσπερ Διὸς

[n] σταθεῖσα μὲν οὕτως ὅλη Bod.

ἄνθος, Φλόξ·) τῶν δὲ, καὶ οἱ κλῶνες, καὶ τὰ φύλλα· καὶ ὅλως ἡ πᾶσα *φύσις εὔοσμος, οἷον [o] Ἑρπύλου, Ἐλενίου, Σισυμβρίου, τῶν ἄλλων· ἄμφω δὲ φρυγανικά· κἀκείνων τῶν ἀνθικῶν, τὰ πολλὰ, ἡ φύσις φρυγανώδης, ἡ μὲν ἐπέτειος οὖσα μόνον, ἡ δὲ, πολυχρονιωτέρα, πλὴν τῆς Ἰωνίας τῆς μελαίνης· αὕτη γὰρ ἀκλώνητος, ἀλλὰ προσριζόφυλλος καὶ ἀείφυλλος· [p] εἰ δ' ὡς τινές φασι, καὶ δυναμένη διόλου [ἔτους] φέρειν τὸ ἄνθος, ἐὰν τρόπῳ τινὶ θεραπεύηται, τοῦτο μὲν ἴδιον ἂν ἔχοι· τῶν δὲ ἄλλων, μᾶλλον τῶν πάντων, αἱ μὲν ὅλαι μορφαὶ σχεδὸν πᾶσαι φανεραί· εἰ δέ τινας ἄλλας ἰδιότητας ἔχουσι, ταύτας λεκτέον· ὅτι τὰ μὲν, *ἁπλᾶ δοκεῖ τοῖς εἴδεσιν εἶναι, τὰ δὲ, ἔχειν διαφοράς· ἁπλᾶ μὲν, οἷον τὰ ξυλώδη, καθάπερ [q] Ἑρπυλος, Σισύμβριον, Ἐλένιον, (πλὴν εἰ [q] μὴ τὰ μὲν, ἄγρια, τὰ δ' ἥμερα·) τὰ δ' εὔοσμα, τὰ δὲ ἀοσμότερα εἶναι. τούτων δὲ καὶ αἱ θεραπεῖαι, καὶ αἱ χῶραι διάφοραι, καὶ οἱ ἀέρες. ἔνια δὲ τῶν ἀνθῶν οὐδεμίαν διαφορὰν ἔχει, οἷον τὸ Μελάνιον, οὐ γὰρ ἔχειν δοκεῖ τοῦτο διαφορὰν, ὥσπερ τὸ [r] λευκόν· ἐμφανὴς γὰρ ἡ τούτου χροιὰ διαλλάττουσα. καὶ ἔτι δὴ μᾶλλον ἡ τῶν Κρίνων, εἴπερ δὴ, καθάπερ φασὶν, ἔνια καὶ πορφυρᾶ ᾖ. τῶν δὲ Ῥόδων πολλαὶ διαφοραὶ πλήθει τε φύλλων καὶ ὀλιγότητι, καὶ τραχύτητι καὶ λειότητι, καὶ χροιᾷ καὶ εὐοσμίᾳ· τὰ μὲν γὰρ πλεῖστα πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα καὶ εἰκοσίφυλλα, τὰ δ' ἔτι πολλῷ πλεῖον ὑπεραίροντα τούτων· ἔνια γὰρ εἶναί φασιν, ἃ καὶ καλοῦσιν ἑκατοντάφυλλα· πλεῖστα δὲ τοιαῦτά ἐστι περὶ Φιλίππους,

[o] Ἑρπύλλου, Const. [p] εἰ deest Bod. [q] μὴ deest Bod. [r] λευκόϊν. Bod.

οὗτοι γὰρ λαμβάνοντες ἐκ τοῦ Παγγαίου φυτεύουσιν, (ἐκεῖ γὰρ γίνεται πολλά·) σμικρὰ δὲ σφόδρα τὰ ἐντὸς, ἡ γὰρ *ἔκφυσις αὐτῶν οὕτως, ὥστε εἶναι τὰ μὲν ἐκτὸς, τὰ δ' ἐντός· οὐκ εὔοσμα δὲ, οὐδὲ μεγάλα τοῖς μεγέθεσιν, ἐν δὲ τοῖς μεγάλοις εὐώδη μᾶλλον, [s] ὧν τραχὺ τὸ κάτω. τὸ δὲ ὅλον, ὥσπερ ἐλέχθη, καὶ ἡ εὐοσμία καὶ ἡ εὔχροια παρὰ τοὺς τόπους ἐστὶν, [t] ἐπεὶ, καὶ τὰ τοιαῦτα ἐν τῇ αὐτῇ γινόμενα οὐ ποιεῖ τινα παραλλαγὴν εὐοσμίας καὶ ἀοσμίας. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ, διὸ καὶ τὸ μύρον ἥδιστον, ἁπλῶς δὲ καὶ τῶν Ἴων καὶ [u] τῶν ἄλλων ἀνθῶν *ἄκρατα μάλιστα ἐκείνῃ αἱ ὀσμαί· διαφέροντες δὲ τῷ χρόνῳ, πλεῖστον γὰρ οὗτος δοκεῖ *παραλλάττειν. φύεται μὲν ἓν ἡ Ῥοδωνία καὶ ἐκ τοῦ σπέρματος· [ἔχει γὰρ] [x] ὑπὸ τὸ ἄνθος ἐν τῷ μήλῳ ἀκανώδει κυηκῶδές τινα χνοῦν, ὥστε ἐγγὺς εἶναι τῶν πρώτων σπερμάτων· οὐ μὴν ἀλλὰ διὰ τὸ βραδέως παραγίνεσθαι, κατακόπτοντες, ὡς ἐλέχθη, τὸν καυλὸν φυτεύουσιν. Ἐπικαιομένη δὲ καὶ ἐπιτεμνομένη, βέλτιον φέρει τὸ ἄνθος. ἐωμένη γὰρ *ἐξαύξεται καὶ *ἀπολοχμοῦται. δεῖ δὲ καὶ καταφυτεύειν πολλάκις, καὶ γὰρ οὕτω φασὶ κάλλιον γίνεσθαι τὸ ῥόδον. αἱ δ' ἄγριαι τραχύτεραι, καὶ ταῖς ῥάβδοις, καὶ τοῖς φύλλοις· ἔτι δὲ τὸ ἄνθος *ἀχρούστερον, καὶ ἀοσμότερον ἔχουσι, καὶ ἔλαττον. τὸ δὲ Ἴον τὸ μέλαν τοῦ λευκοῦ διαφέρει κατά τε ἄλλα κατ' αὐτὴν τὴν [y] *ἰωνίαν, καὶ ὅτι πλατύφυλλον, καὶ ἐγγειόφυλλον, καὶ σαρκόφυλλόν ἐστι, πολλὴν ἔχον τὴν ῥίζαν. τὰ δὲ Κρίνα

[s] Vid. not. ad finem libri. [t] ἔπειτα, Ald. Bas. [u] τῶν ἄλλων ἀνθῶν ἄκρατα. μάλιστα δ' ἐκείνου αἱ ὀσμαὶ διαφέροντες Bod. [x] ἐν τῷ μήλῳ κυηκῶδες. ἀκανθῶδες, Bod. Vid. not. ad fin. libri. [y] εἰκόνα Const. Vid. not. ad fin. libri.

τῇ μὲν χροιᾷ τὴν εἰρημένην ἔχει διαφοράν· μονόκαυλα δέ ἐστιν, ὡς ἐπίπαν, δίκαυλα δὲ σπανίως· τάχα δὲ τοῦτο χώρας καὶ ἀέρος διαφορά. καθ' ἕκαστον δὲ καυλὸν, ὁτὲ μὲν ἓν κρίνον, ὁτὲ δὲ πλείω γίνεται· βλαστάνει γὰρ τὸ ἄκρον· σπανιώτερα δὲ ταῦτα. ῥίζαν δ' ἔχει πολλὴν, σαρκώδη, καὶ στρογγύλην· ὁ δὲ καρπὸς ἀφαιρούμενος ἐκβλαστάνει, καὶ ἀποδίδωσι τὸ κρίνον, πλὴν ἔλαττον· ποιεῖ δέ τινα καὶ δακρυώδη *συῤῥοὴν, ἣν καὶ φυτεύουσιν, ὥσπερ εἴπομεν. ὁ δὲ Νάρκισσος ἢ τὸ Λείριον· (οἱ μὲν γὰρ τοῦτο, οἱ δ' ἐκεῖνο καλοῦσι.) τὸ μὲν ἐπὶ τῇ γῇ φύλλον [z]ἀσφοδελῶδες ἔχει, πλατύτερον δὲ πολὺ, καθάπερ ἡ Κρινωνία· τὸν δὲ καυλὸν ἄφυλλον μὲν, ποώδη δέ· καὶ ἐξ ἄκρου τὸ ἄνθος ἐν *ὑμένι τινὶ, καθάπερ ἐν ἀγγείῳ καρπὸν μέγαν εὖ μάλα [φέρει] καὶ μέλανα τῇ χροιᾷ, σχήματι δὲ προμήκη· οὗτος δ' ἐκπίπτων ποιεῖ βλάστησιν αὐτόματον· οὐ μὴν ἀλλὰ καὶ συλλέγοντες πηγνύουσι· καὶ τὴν ῥίζαν φυτεύουσιν, ἔχει [a]γὰρ ῥίζαν σαρκώδη, στρογγύλην, μεγάλην· ὄψιον δὲ σφόδρα, μετὰ γὰρ Ἀρκτῦρον ἡ ἄνθησις, καὶ περὶ ἰσημερίαν· ὁ δὲ [b]Κρόκος, ποώδης μὲν τῇ φύσει, καθάπερ καὶ ταῦτα, πλὴν φύλλω στενῷ, σχεδὸν γὰρ ὥσπερ *τριχοφυλλόν ἐστιν· ὀψιανθὲς δὲ σφόδρα· καὶ ὀψιβλαστὲς, ἢ πρωϊανθὲς, [c]ὁποτέρως τις λαμβάνει τὴν ὥραν, Πλειάδι γὰρ ἀνθεῖ κατ' ὀλίγας ἡμέρας, εὐθὺς δ' ἅμα τῷ φύλλῳ καὶ τὸ ἄνθος ὠθεῖ· δοκεῖ δὲ καὶ πρότερον· ῥίζα δὲ πολλὴ, καὶ σαρκώδης, καὶ τὸ ὅλον εὔζωος, φιλεῖ δὲ καὶ πατεῖσθαι. καὶ γίνεται καλλίω κατατριβομένης [d]*πάτῳ τῆς ῥίζης,

[z] ἀσφαλῶδες Bod. [a] γὰρ deest Bod. [b] καρπὸς, Bod.
[c] Vid. not. ad fin. libri. [d] κάτω Bod.

διὸ καὶ παρὰ τὰς ὁδοὺς, καὶ ἐν τοῖς *κροτητοῖς κάλλιστος· ἡ δὲ φυτεία ἀπὸ ῥίζης. ταῦτα μὲν οὖν οὕτω γεννᾶται. τὰ δ' ἄλλα ἄνθη, τὰ προειρημένα, πάντα σπείρεται, οἷον, Ἰωνία, Διὸς ἄνθος, Ἴφυον, Φλὸξ, Ἡμεροκάλλες· καὶ αὐτῶν δ' αἱ ῥίζαι ξυλώδεις. σπείρεται δὲ καὶ ἡ Οἰνάνθη, καὶ γὰρ καὶ τοῦτο ἀνθῶδες. τὰ μὲν οὖν ἀνθικὰ σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις ληπτέον.

CAP. VII.

Plantæ coronariæ Foliis et Stirpibus odoriferis. Origanum. Abrotonum. Mentha. Thymus.

ΤΑ μὲν οὖν ἕτερα πάντα ἀνθεῖ καὶ σπερμοφορεῖ· δοκεῖ δὲ οὐ πάντα, διὰ τὸ μὴ φανερὸν εἶναι τινῶν τὸν καρπὸν, ἐπεὶ καὶ τὸ ἄνθος ἐνίων *ἀμαυρόν· ἀλλὰ δὲ διὰ τὸ βραδέως καὶ χαλεπωτέρως [e] παραγίνεσθαι τῇ *φυτείᾳ, χρῶνται μᾶλλον τῷ φυτῷ, ὥσπερ ἐλέχθη καὶ κατ' ἀρχάς. καίτοι *διατείνονταί τινες ὡς οὐκ ἔχονται καρπόν· αὐτοὶ γὰρ [φασὶν] ξηράναι πολλάκις, καὶ ἀποτρίψαι, καὶ σπεῖραι, οὐδέποτε δὲ βλαστεῖν, οὔτε Ἔρπυλλον, οὔτε Ἐλένιον, οὔτε Σισύμβριον, οὔτε [f] Μίνθαν, (πεπειρᾶθαι γὰρ καὶ ταύτης.) ἀλλ' ὅμως ἐκεῖνο ἀληθέστερον, οἵ τε πεπειρᾶθαι φάσκοντες καὶ τούτων εἰσὶν, ἥτε τῶν ἀγρίων φύσις ἐπιμαρτυρεῖ· καὶ γὰρ Ἔρπυλλός ἐστιν ἄγριος, ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσι, καὶ ἐν Συκιῶνι, καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμηττοῦ. παρ' ἄλλοις δὲ ὅλως ὄρη πλήρη εἰσὶ καὶ τόποι [g] ἄγριοι, καθάπερ ἐν τῇ Θράκῃ· ὡς καὶ Σισύμβριον δὲ, καὶ τ' ἄλλα δριμυτέραν ἔχοντα

[e] παραγίνεσθαι τῷ σπερματισμῷ, Const. [f] Μίνθον, Bod.
[g] ἄγριοι deest Bod.

τὴν ὀσμήν· Ἔρπυλλος δὲ ἐνίοις καὶ παντελῶς θυμώδης. δῆλον οὖν ὅτι πάντα τὴν γένεσιν ἀπὸ σπέρματος λαμβάνει. Ἀβρότονον δὲ μᾶλλον ἀπὸ ῥίζης καὶ *παρασπάδος βλαστάνει, ἢ ἀπὸ σπέρματος, (χαλεπῶς δὲ καὶ ἀπὸ σπέρματος,) καὶ *προμιχευόμενον ἐν ὀστράκοις, ὥσπερ οἱ Ἀδώνιδος κῆποι· τῷ θέρει δὲ σπείρεται, *δύσριγον γὰρ σφόδρα, καὶ ὅλως *ἐπίκηρον· ὅπου δὲ καὶ ὁ ἥλιος σφόδρα λάμπει, ἐμβιῶσαν δὲ καὶ αὐξηθὲν, μέγα καὶ ἰσχυρὸν καὶ δενδρῶδες [γίνεται], ὥσπερ τὸ Πήγανον· πλὴν ξυλωδέστερον πολὺ τοῦτο, καὶ ξηρότερον, καὶ *αὐχμωδέστερον. ὁ δὲ Ἀμάρακος, ἀμφοτέρως φύεται, καὶ ἀπὸ παρασπάδος καὶ ἀπὸ σπέρματος· πολύσπερμον δὲ, καὶ τὸ σπέρμα εὔοσμον, ὀσμὴ δὲ μαλακωτέρα· δύναται δὲ καὶ μεταφύεσθαι. πολύσπερμον δὲ καὶ τὸ Ἀβρότονον καὶ οὐκ ἄοσμον· τοῦτο δὲ ῥίζας μὲν ἔχει ὀρθὰς, καὶ κατὰ βάθους, ἔστι γὰρ ὥσπερ μονόῤῥιζον τῇ παχείᾳ, τὰς δ' ἄλλας ἀπ' αὐτῆς. ὁ δὲ Ἀμάρακος, καὶ ὁ Ἔρπυλλος, καὶ τὸ Σισύμβριον, καὶ τὸ Ἑλένιον, [h]ἐπιπολαίους καὶ πολυσχιδεῖς καὶ *ταῤῥώδεις [ῥίζας ἔχει]. ξυλώδεις δὲ πᾶσαι, πολὺ δὲ μᾶλλον αἱ τοῦ Ἀβροτόνου, καὶ διὰ τὸ μέγεθος, καὶ τὴν ξηρότητα. τοῦ δὲ Ἑρπύλλου ἴδιος ἡ αὔξησις, ἡ τῶν βλαστῶν, δύναται γὰρ ἐφ' ὁσονοῦν προϊέναι κατὰ μῆκος, *χάρακα λαβὼν, ἢ πρὸς αἱμασιὰν φυτευθεὶς, ἢ κάτω καθίεμενος· εὐαυξέστατος δὲ εἰς φρέαρ. *εἴδη δὲ τοῦ μὲν ἡμέρου λαβεῖν οὐκ ἔστι, καθάπερ ἐλέχθη, τοῦ δὲ ἀγρίου φασὶν εἶναι· τούτων γὰρ ἐν τοῖς ὄρεσι, τὸν μὲν [i]θυμβρώδη καὶ δριμύτατον, τὸν δ' εὔοσμον εἶναι καὶ μαλακώτερον. ὥρα δὲ τῆς φυτείας

h ἐπὶ πολλοὺς Ald. Bas. i θυμβρώδη τινὰ καὶ Bod.

πλεῖστον μετόπωρον, ἐν ᾧ σπεύδουσιν ὡς πρῶτα φυτεύειν· οὐ μὴν ἀλλ' ἔνιοι καὶ τοῦ ἦρος φυτεύουσιν· ἅπαντα δὲ τὰ φιλόσκια καὶ φίλυδρα, (καὶ φιλόκοπρα μάλιστα,) αὐχμὸν δέχεται· καὶ ὅλως ὀλιγοῦδρότατος ὁ Ἔρπυλλος· κόπρῳ δὲ χαίρει, μάλιστα δὲ καὶ τῇ τῶν *λοφούρων· φασὶ δὲ καὶ μεταφυτεύειν δεῖν πολλάκις, καλλίω γάρ. τὸ δὲ Σισύμβριον, ὥσπερ ἐλέχθη, καὶ *ἐξίσταται μὴ καταφυτευόμενον.

CAP. VIII.

Tempora Florescentiæ Plantarum supradictarum: item Climatum Differentiæ, &c.

ΤΩΝ δ' ἀνθῶν, τοῦ μὲν ἦρος πρῶτον ἐκφαίνεται τὸ Λευκοΐον· ὅπου μὲν ὁ ἀὴρ μαλακώτερος εὐθὺς τοῦ χειμῶνος, ὅπου δὲ σκληρότερος, ὕστερον· ἐνιαχοῦ δὲ ἅμα τῷ Λευκοΐῳ, ἢ μικρότερόν τι ὕστερον καὶ τὸ Φλόγιμον καλούμενον τὸ ἄγριον. ταῦτα γὰρ, ὧν οἱ στεφανηπλόκοι χρῶνται, πολὺ ἐκτρέχει τῶν ἄλλων· μετὰ δὲ ταῦτα ὁ Νάρκισσος, καὶ τὸ Λείριον, [k] καὶ τὸ Βολβοῦκώδιον, (ἐμπλέκουσι γὰρ ἔνιοι καὶ τοῦτο εἰς τοὺς στεφάνους.) ἐπὶ δὲ τούτοις ἡ Οἰνάνθη, καὶ τὸ Μελάνιον· καὶ τῶν ἀχρίων ὅ, τε Ἐλειόχρυσος, καὶ τῆς Ἀνεμώνης ἡ Λειμωνία καλουμένη, καὶ τὸ Ξίφιον, καὶ ἡ Ὑάκινθος, καὶ σχεδὸν ὅσοις ἄλλοις χρῶνται τῶν ὀρείων· τὸ δὲ Ῥόδον ὑστερεῖ· καὶ τελευταῖον μὲν φαίνεται, πρῶτον δ' ἀπολείπει τῶν ἐαρινῶν, ὀλιγοχρόνιος γὰρ ἡ ἄνθησις. ὀλιγοχρόνια δὲ καὶ τῶν ἀγρίων τὰ λοιπὰ, πλὴν τῆς Ὑακίνθου, καὶ τῆς ἀγρίας, καὶ τῆς σπαρτῆς· αὕτη δὲ διαμένει, ὡς καὶ τὸ Λευ-

[k] καὶ ἐκ τῶν τριῶν Ἀνεμώνης γενεῶν τὸ ὄρειον Const.

κόϊον, καὶ ἔτι μᾶλλον τὸ Φλόγιμον· τὸ δὲ δὴ Μελάνιον ὥσπερ εἴρηται, δι' ἐνιαυτοῦ θεραπείας τύγχανει· ὡσαύτως δὲ καὶ ἡ Οἰνάνθη· καὶ γὰρ τοῦτο ἀνθικὸν μὲν, [l] πωῶδες δὲ τὴν φύσιν, ἐάν τις *ἀποκνίζῃ, καὶ ἀφαιρῇ τὸ ἄνθος, καὶ μὴ ἐᾷ σπερματοῦσθαι· καὶ ὅταν τόπον εὔηλον ἔχει, [m] πλεῖστον διαμένει· τὸ δὲ ἄνθος βοτρυῶδες καὶ λευκὸν, καθάπερ [n] τῆς Ἀμπέλου ἀγρίου. ταῦτα μὲν οὖν ὥσπερ ἐαρινὰ φαίνεται, τὰ δὲ θέρινα μᾶλλον, ἥτε Λυχνὶς, καὶ τὸ Διὸς ἄνθος, καὶ ὁ Κήρινθος, καὶ τὸ Ἴφυσον, καὶ ὁ Ἀμάρακος ὁ Φρύγιος, ἔτι δὲ ὁ Πόθος καλούμενος· οὗτος δέ ἐστι διτλὸς, ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον τῇ Ὑακίνθῳ, ὁ δὲ ἕτερος *ὠχρόλευκον, ᾧ χρῶνται περί τε τάφους· καὶ χρονιώτερος οὗτος. ἀνθεῖ δὲ καὶ ἡ Ἶρις τοῦ θέρους, καὶ τὸ Στρουθίον καλούμενον, (τῇ ὄψει καλὸν τὸ ἄνθος, εὔοσμον δὲ μετοπώρου.) τὸ δὲ Λείριον τὸ ἕτερον, καὶ ὁ Κρόκος, [o] ὅ, τε ὀρεινὸς εὔοσμος, καὶ ὁ ἥμερος· εὐθὺς γὰρ ἀνθοῦσι τοῖς πρώτοις ὕδασι· χρῶνται δὲ καὶ [p] ἐκ τῶν ἀγρίων, τῷ τῆς Ὀξυακάνθου καρπῷ, καὶ τῷ ἄνθει, τῷ τῆς Σμίλακος. καὶ ταῖς μὲν ὥραις ὅτως ἑκάστων ἡ γένεσις, ὡς δὲ, ὡς ἁπλῶς εἰπεῖν, οὐδεὶς διαλείπεται χρόνος, οὐδ' ἔστιν ἀνανθής· ἀλλὰ καὶ ὁ χειμὼν ἔχει [ἄνθη], καίπερ ἄγονος δοκῶν εἶναι διὰ τὴν κατάψυξιν, τῶν μετοπωρινῶν μεταλαμβανόντων, ἐὰν δὲ δὴ καὶ μαλακὸς ᾖ, πολλῷ μᾶλλον. ἁπλῶς γὰρ πάντα, ἢ τὰ πολλὰ, *ἐπεκτείνεται τῆς οἰκείας ὥρας, καὶ, εἰ ὁ τόπος εὔηλος ᾖ, μᾶλλον· διὸ καὶ *συνέχεια γίνεται. χρόνοι μὲν οὖν οὗτοι, καὶ ὧραι κατὰ τὰς γενέσεις, βίος δὲ Ἰωνίας μὲν

l εὐῶδες Const. m πλεῖστον διαμένει desunt Bod. n τῶν ἀγρίων. Bod. o ὁ ὀρεινὸς ἄοσμος καὶ ὁ ἥμερος εὔοσμος.. εὐθὺς Const. p ὁ τῶν ἀχρίων Bod.

τῆς λευκῆς, ἔτη μάλιστα τρία· γηράσκουσα δὲ ἐλαττοῦται, καὶ [q] ἴα λευκότερα φέρει· Ῥοδωνίας δὲ πέντε, τὰ πρὸς τὴν [r] ἀκμὴν, (μὴ ἐπικαιομένης δηλονότι, μὴ δ' ἐπιτεμνομένης·) χείρω δὲ καὶ ταύτης τὰ ῥόδα γηρασκόσης. πρὸς εὐοσμίαν δὲ καὶ ῥόδων, καὶ ἴων, καὶ τῶν ἄλλων ἀνθῶν μέγιστον ὁ τόπος συμβάλλεται, καὶ ὁ ἀὴρ πρὸς ἕκαστον * οἰκεῖος. ἐν Αἰγύπτῳ γὰρ τὰ μὲν πάντα ἄλλα εὔοσμα, καὶ [s] ἄνθη καὶ ἀρώματα, αἱ δὲ μυῤῥίναι θαυμαστὴ τῇ εὐοσμίᾳ. προτερεῖν δέ φασι τὰ τῶν ἐνταῦθα καὶ ῥόδα, καὶ ἴα, καὶ τὰ ἄλλα ἄνθη διμήνῳ, καὶ διαμένειν πλείω τῶν παρ' ἡμῖν οὐκ ἐλάττω χρόνον τούτου. δοκεῖ δὲ πρὸς εὐοσμίαν διαφέρειν, ὥσπερ ἐλέχθη καὶ ὁ ἐνιαυτὸς, τοῖος ἢ τοῖος γενόμενος· οὐ μόνον ἐπομβρίαις καὶ αὐχμοῖς, ἀλλὰ καὶ τῷ [t] κατὰ καιρόν τινα γίνεσθαι καὶ ὕδατα καὶ πνεύματα, καὶ ἁπλῶς τὰς τοῦ ἀέρος μεταβολάς. τὰ δὲ ἐν τοῖς ὄρεσιν, ὡς ἁπλῶς εἰπεῖν, καὶ ῥόδα, καὶ ἴα, καὶ τὰ ἄλλα ἄνθη, τῇ ὀσμῇ πολλῷ χείρω [φασὶ] γίνεσθαι. καὶ περὶ μὲν τῶν στεφανωματικῶν, καὶ ἁπλῶς τῶν φρυγανικῶν, ἱκανὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις ἐστὶν ἡ ἱστορία.

q ἀεὶ Bod. r ἀκτὴν Bod. s ἀνανθῆ Bod. t κατὰ deest Bod.

NOTÆ

IN LIBRUM SEXTUM.

CAP. I.

Libro hoc et sequente φρυγάνικα et ποώδη describuntur: vid. divisionem plantarum, lib. i. c. 4. et Lex. Theophr.

Ἥγε σιτηρὰ, sc. φύσις supra.

Ῥοδωνία, Ἰωνία. Textus certe corruptus, quia Ἰων. Ἡμερολ. Διὸς ἄνθ. non ξυλώδεις, καὶ μικρόφυλλοι secund. definitionem φρυγανίκων.

Ἀμάρακος. In Cat. Origanum, *Ægyptiacum* L. Opiniones variant respectu Ἀμ. Ἀμάρακος, ἤτοι Σαμψύχος. Dioscor. iii. 4. Galenus Μάρου (Thymi, *Mastichinæ* L.) affinem plantam dicit. Τινὲς δ' οὐδ' ὅλως ἔχουσι τὸ Ἀμάρακον καὶ Μάρον. οὐδὲ γὰρ οἱ Μυροπῶλαι πάντες αὐτὰ γινώσκουσι· ἐγὼ δὲ τὰς βοτάνας αὐτὰς ἐπιστάμην ἐν Ἀσίᾳ γινομένας, ἐν ἄλλοις μὲν χωρίοις ὀλίγας, ἐν Κυζίκῳ δὲ πλείστας· καὶ κατάγε τὴν Ἰταλίαν τὸ Ἀμάρακον εἶδον γεννωμένον· ἀπολείπεται δὲ τὸ φύτον τοῦτο τοῦ Μάρου πάμπολυ κατὰ τὴν εὐωδίαν. Græci recentiores Amaracum Μανιζούρανον, vel Μαζούρανον vocabant: unde vox Latina Majorana Bod. p. 628. Sampsuchus Bauhin. syn. Thymi, *Mastichinæ* Linn. Planta celebris apud poetas, Virg. Catull. Ovid.

Τοῖς καθ' ἕκαστον γένος. Singulis speciebus: opponitur ὅλοις εἴδεσι, generibus, vel familiis plantarum.

Ἡμεροκαλλές. Ab unius diei pulchritudine. Plin. xxi. 10. Ἡμεροκαλλὶς vocatur a Diosc. et accurate describitur.

Ἅπαντα γὰρ ταῦτα. N. B. Parenthesi inclusi quæ περὶ στεφανωτίκων: aliter qualitas lignosa Violæ et Hemerocallidi attribuenda.

CAP. II.

Ξυλωδέστατον δέ. Const. Forsan ξυλωδεστάτην ὕλην. Suspicor aliquod ex textu intercidisse: ait enim ὁ μελὰς κ. τ. λ. sc. virgulas Cneori, *nigræ* lignosiores esse: evidens ergo comparatio. Scal. censet vocem ξυλωδεστάτην transponi debere ad ῥίζαν.

Κνέωρον. Daphne, *Cneorum*. Cat. Plinius vero in loco ait, "Cneori duo genera: nigri et candidi." Alibi tamen confundit cum Casia, xii. 20. Forsan Cn. *Tricoccum* L.

Οὐκ ἐστὶ λαβεῖν. De semine inconspicuo, Bot. quod non prehendi vult ob parvitatem.

Λαμβάνουσιν, sc. τὸ σπέρμα. Οἱ ἐξάγειν βουλόμενοι, qui transferre cupiunt in alias regiones.

Παραλλάξ. Alternatim. N. B. Bot. opponitur παραλλήλῳ, opposito.

Πολυσχιδὲς, ὥστε εἶναι τριχῶδες. Accuratissima descriptio folii Ferulæ et Fæniculi &c.

Ὁ Μανδραγόρας. Atropa, *Mandragoras*, Cat. sed rectius Atropa, *Belladonna*, quia caulis dicitur subfistulosus; sed quærendum.

CAP. III.

Ταμιευόμενοι πρὸς τὰς τομάς. Reservantes ἐν ταμείῳ ad sectiones futuras. Gaz. Τὸ ὕπαρχον, reliquum; i. e. partem superiorem radicis.

Τετρακισχίλια. Plin. rectius, stadia quatuor.

Οἱ δὲ τοῦ Σιλφίου, κ. τ. λ. Textus corruptissimus: cui mederi conatus sum ex margine, et traductione, itemque ex descriptione Plinii. N. B. Μαγύδαρις a Plinio vocatur succus caulinus Silphii: et duplex succus καυλίας et ῥιζίας supra memoratur, et lib. ix. c. 9. Galenus e contra ait, μαγύδαρν esse succum φύλλου. N. B. Vid. plura de Silphio Strab. ii. 178. de χώρᾳ Σιλφιοφόρᾳ.

Πυκναῖς ταῖς ῥίζαις. . . . ὥστε τῷ ἄνω συνίχει. Accuratissima descriptio radicis Asp. *sativi* L. quanquam ex descriptione spinarum in caule, Asp. sylvestris innui videatur. Anne antiquam cultura exuisset spinas?

Ὁ καυλὸς Ἀσφαράγου ἰδώδιμος. Sc. caules juniori statu, turiones vocati.

Σκόρπιος. Ulex; an Genista spinosa. Cat. Scorpius secundus Clusii, apud Belgas "Gaspeldorne." Bod. p. 605. Comparent Botanici descriptionem plantæ hujus cum Genista, *Lusitanica* L. N. B. Ulex Europæus nostras optime convenit cum Σκορπίῳ, ut planta ætate provecta vere aphylla. Plinius meminit Scorpii, xxi. 15. Descriptio etiam apud Honor. Bellum citatur. Bod. p. 605.

Ὑπὸ τὸ ἄκρον. Nescio quid sibi vult ἐξουδοῦντι ὑ. τ. ἄ. Descriptio hæc convenit Carduis, vel Cnico. Forsan transpositio verborum, si non Scorpii duo.

Ῥύτρος. Carduus; an Echinops? Cat. Plinius, recte forsan, vocat Eryngium. Vid. etiam Dioscor. iii. 24. et Plut. Sympos. lib. vii. Duæ Cardui species occurrunt capitulis spinosis, folio lævi: C. *stellatus*, et C. *solstitialis* L.

CAP. IV.

Σαρκὶ προσφερόμενον. Carni allatum. Gaz. sed certissime vi compressum, adeo ut succus effluat.

Τὴν ῥίζαν ἀρίστην ἔχει. Peculiaritas radicis Σκολύμου: "florescentibus enim aliis radix deterior." Scal.

Ἀντεγραμμένως ἢ ὁ Χαμαιλέων. E diverso quam Cham. Gaz. Comparat auctor plantam hanc cum Chamæleonte: idque duabus ex partibus: τῷ ἀκανίζειν, καὶ τῷ φυλλάκανθον εἶναι.

Ἀπὸ τῆς ῥίζης μέσης. Ex medio foliorum: seu ex corona radicis, in medio foliorum.

Ὃς καὶ Λειμωνίον. Si textus sanus, sub Limonii nomine species duæ; Ἀνεμώνη, et Σκόλυμος. Nomen videtur triviale ex loco natali in pratis.

Ἰξίνη. Carduus, Cat. Ixine Fabii Colonnæ citatur a Bodæo icone addita: cujus tamen nulla mentio apud syn. Linn. sed ex gummi mastichino, forsan Atractylidis species. N. B. Alia Ἰξίνη, Prosp. Alp. ibi citatur, una cum icone, sub nomine Card. Pineæ, quam tamen nusquam repperio. Forsan Carlina, *acaulis* L.

Κάκτους. Cactus, *opuntia*, L. Cat. Ita secund. Bod. Sed Cactus genus novi orbis. Athenæus interpretatur Cinaram;

corrigendus igitur textus : καύλος δὲ (ἔχει) τοὺς καλουμένους κάκτους, sc. pericarpium squamosum Cinaræ *Scolymi* ἀκανῶδες, ἰδώδιμον, ἀφαιρεθέντων τῶν παππωδῶν.

CAP. V.

Φέως. Dipsacus, *fullonum*. Cat. Ab aliis Centaurea, *stœbe* L. sed mallem legere Poterium, *spinosum* L.

Ἀνάκανθα τοῖς φύλλοις. Elliptice nimium. Sensus est, Φ. et Ἱππ. nullas in foliis spinas gerere.

Τρίβολος. Duo Tribuli hic clare nominantur, diversi a Τριβόλῳ Trapa *natante*, lib. iv. c. 11. Prior certissime Tribulus, *terrestris* L. posterior forsan Medicago, *echinata* L. Medica, spinosa Raii, 962.

Ὥστε στεφάνου τὴν ὅλην μορφὴν, i. e. folia ex summo radicis provenientia, et humi repentia, coronæ formam exhibent.

Εἰς τὸ ἕτερον, sc. ἕτος.

Ἐξορυχθεῖσα. Ita reposui ex traductione. Vid. Lect. var.

CAP. VI.

Τὰ πολλά. Adverbium, plerumque.

Οὐκ εὔοσμα. Dicitur de flore Rosæ cujusdam : opponitur τῷ εὐώδει μᾶλλον. Forsan legend. οὐκ οὕτως εὔοσμα, non ita suaveolentia, per comparationem cum Rosa Pangæi.

Ὧν τραχὺ τὸ κάτω. Cujus pars inferior (calyx) scabra. Descriptio Rosæ centifoliæ, varietatis "pedunculo et calyce mus-"coso." Linn. Spec. Plant. Angl. "Moss Rose."

Εὐοσμία παρὰ τοὺς τόπους. Odor variat respectu climatis.

Ἔχει δ' ὑπὸ τὸ ἄνθος. Textus Bodæi corruptus ; ex conjectura, tamen resarciendus quodammodo. De seminibus in pericarpio Rosæ, pappo (κνηκώδει τινὶ) involutis, sermo est. Scaliger interpretatur τῶν πρώτων στεμμάτων, "non ratione ordinis, "sed loci, ut quæ in imo loco sita sunt." Mihi videtur dici de incipiente, et nondum adulto semine.

Κατ' αὐτὴν τὴν Ἰωνίαν. Plantæ ratione ipsius. Theod. Nullo prorsus sensu. Interpretor Violas nigras et candidas in eodem violeto (ἰωνίᾳ) mixtas inter se differre.

Πολλὴν ἔχον τὴν ῥίζαν. Codd. πολλὴν ἔχουσα ῥίζαν. Gram-

matice repugnante: sed forsan ἔχουσα ad ἰωνίαν referenda, et ideo corrigenda; ἡ καὶ πλατύφυλλος κ. τ. λ.

Δακρυώδη συῤῥοήν. Auctor supponit globulos e gummi: sed gemmæ fertiles, bulbis similes, hic indicari videntur; quas videre est in Lilio *bulbifero* L. et in Dentaria.

Ὁποτέρως τὶς λαμβάνει τὴν ὥραν. Utro modo tempus acciperes. Theod. Sensus est, Crocus adeo præcox, ut dubium an sero hyeme, vel initio primo veris.

Διὸς ἄνθος. Dianthus *Caryophylleus?* Agrostemma, Cat. Sed Bodæus censet D. *armerium* innui.

Ἴφυσον. Lavandula *spica* L. Forsan L. *stæchas*.

Φλόξ. Agrostemma, Cat. Nulla descriptio apud Theophr. Nicandrus in Georgicis ita describit:

Φλὸξ δὲ Θεοῦ αὐγῆσιν ἀνερχομένης ἀνιοῦσα.

Forsan Clematis, *flammula*, L. Flammula Bauhin. Dodon. et Raii.

Οἰνάνθη. Convallaria *majalis* L. Cat. Bodæus interpretatur Filipendulam. Differt ab οἰνάνθῃ Dioscor. iii. c. 135. Quærendum respectu odoris, an Spiræa *ulmaria* L.

CAP. VII.

Ἑλένιον. Ign. Cat. Helenium ex lachrymis Helenæ natum. Plin. xx. 10. Phavorin. alii ἕλους ἴον, paludis viola. Hujus mentio ut φρύγανον ξυλῶδες supra c. 1. Nulla Ἑλενίου icon apud Bod. An Inula *hellenium* L.? Marum, *mastychinum*. Ger. em. Clinopodium *arvense*, vel Thymus *acinos*. Dodon. Tragoriganum rectius, seu Thymus *Cephalotus* L.

Σισύμβριον. Semel occurrit. Sisymbrium, Cat. sed nulla species, quoad scio, foliis et ramulis odoriferis; ut Ἑλένιον, Μίνθα, Πήγανον, Ἀμάρακος. Bodæus ait Sisymbrium, Mentha agrestis, secundum Dodonæum, p. 691. sed duo Σισυμβρίου genera apud Theophrastum, ut videtur, quorum alterum dicitur mutari in Mentham. Bod. p. 692, 771.

CAP. VIII.

Τῶν δ' ἀνθῶν. Initium capitis novi ex mente Scaligeri.

Φλόγιμον. Κρίνον πορφυροῦν quorundam. Lilium purpureum, vel rubrum, Plinii, quem immediate post Leucoium florere

scribit. "Ex violæ fit genere, floremque in quo flammei quid "emicat habet." Athenæus, sub voce Φλόγινον xv. 27.

Μετὰ ταῦτα ὁ Νάρκισσος. Locus corruptus secundum Bodæum: ex Athenæo restituendus. Vid. etiam Plin. xi. 11.

Τῆς Ἀνεμώνης, ἡ λειμωνία. Narcissus, *Pseudonarcissus*. Cat. N. B. In aliis codd. τῶν Ἀν. τρίων γένων ἡ λειμωνία. vid. Athenæum in loco, lib. xv. N. B. Nomen Anemonis latissime patuisse apud antiquos memorat Bod. p. 502. πᾶν φυτὸν παχέως ὑπὸ τῶν ἀνέμων φερόμενον. Vid. etiam Plin. xxi. 23. Neutri generis apud Dioscor. ii. 207. Secundum ordinem florescentiæ forsan A. *nemorosa* indicatur. Vid. etiam A. *pulsatillam* L.

Τὸ Μελάνιον. Viola *odorata* L. forsan var. γ. De speciebus Violæ vid. infra lib. vii. c. 7.

Στρούθιον τό. Cardui spec. Cat. N. B. Tria genera Στρουθίου occurrunt apud Theophrastum: 1. Cydonia *sylvestris*, lib. ii. c. 3. 2. Cardui species, lib. vi. c. 4. 3. Τὸ Στρούθιον καλούμενον, una cum Iride. Elaborata admodum dissertatio occurrit apud Bod. respectu hujus plantæ, citanturque auctores veteres: inter alios Honor. Bellus et Car. Clusius de planta antiquitus vocata Κλυμένη, cujus tamen nulla apud Synon. Linn. mentio, p. 722. Icon etiam occurrit Luti Cretici ibid. sed neutra videtur τῇ ὄψει καλὸν ἄνθος. Vid. etiam Athenæum, lib. xv. c. 24. ubi mentio fit Struthiæ coronæ: et ex verbis Eubuli cujusdam ἀερόρκτος, συνίλλεσθαι, libet conjicere plantam scandentem describi: forsan Lonicera *periclymenum* L.

Τῷ τῆς Ὀξυακάνθου καρπῷ. Vid. Cat. N. B. Racemi baccarum Cr. *Pyracanthi* aurantii coloris splendidissimi.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Ζ'.

CAP. I.

Plantæ perennes et herbaceæ. Olera. Frumentacea.

ΕΧΟΜΕΝΟΝ δὲ τοῖς εἰρημένοις περὶ τῶν *ποωδῶν εἰπεῖν, τοῦτο γάρ ἐστι λοιπὸν τῶν ἐξ ἀρχῆς διαιρεθέντων γενῶν, ἐν ᾧ συμπεριλαμβάνονταί πως καὶ τὰ *λαχανηρὰ, καὶ τὸ *σιτῶδες· καὶ πρῶτον περὶ τοῦ λαχανώδους λεκτέον, ἀρξαμένοις ἀπὸ ἡμέρων, ἐπεὶ γνώριμα μᾶλλον τυγχάνει τῶν ἀγρίων. εἰσὶ δὲ τρεῖς *ἄροτοι πάντων τῶν κηπευομένων, ἐν οἷς ἕκαστα σπείρουσι, διαιροῦντες ταῖς ὥραις· εἷς μὲν οὖν ὁ *χειμερινὸς, ἄλλος δὲ ὁ θερινὸς, τρίτος δὲ ὁ μεταξὺ τούτων, μεθ' ἡλίου τροπὰς χειμερινάς. καλοῦσι δ' οὕτως οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου, ἐπεὶ ἥγε σπορὰ σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται· τοῦ χειμερινοῦ μὲν γὰρ ἀρχὴ μετὰ τροπὰς [a] θερινὰς, τοῦ δὲ μεταγειτνιῶνος μηνὸς, ἐν ᾧ σπείρουσι Ῥάφανον, Ῥαφανίδα, Γογγυλίδα, καὶ τὰ κα-

[a] Χειμερινὰς, Ald. Bas.

λούμενα *ἐπίσπορα· ταῦτα δ' ἐστὶ, Τεύτλιον, Θριδακίνη, Εὔζωμον, Λάπαθον, Νάπυ, [b] Κορίαννον, Ἄνηθον, Κάρδαμον· καλοῦσι δὲ τοῦτον πρῶτον τῶν ἀρότων· τοῦ δὲ δευτέρου πάλιν μεθ' ἡλίου τροπὰς, τοῦ γαμηλιῶνος μηνὸς, ἐν ᾧ σπείρουσι καὶ πηγνύουσι, Πράσον, Σέλινον, Γήθυον, [c] Ἀτράφαξιν· τοῦ τρίτου δὲ, ὃν καλοῦσι [d] θερινὸν, τοῦ μουνιχιῶνος, ἐν τούτῳ δὲ σπείρεται Σίκυος, Κολοκύντη, [e] Βλίτον, Ὤκιμον, Ἀνδράχνη, Θύμβρα. ποιοῦνται δὲ πλείους ἀρότους τῶν ὁμοίων καθ' ἑκάστην ὥραν, οἷον Ῥαφανίδος, Ὠκίμου, τῶν ἄλλων, ἐν πᾶσι δὲ σπείρεται τοῖς ἀρότοις τὰ *ἐπίσπορα. *διαφύεται δὲ οὐκ ἐν ἴσοις πάντα χρόνοις, ἀλλὰ τὰ μὲν, θᾶττον, τὰ δὲ βραδύτερον, ὅσα δυσφυῆ· τάχιστα μὲν οὖν Ὤκιμον, καὶ Βλίτον, καὶ Εὔζωμον, καὶ τῶν χειμερινῶν Ῥαφανίς· (τριταῖα γὰρ ὡς εἰπεῖν.) Θριδακίναι δὲ, τεταρταῖαι, ἢ πεμπταῖαι· Σίκυος δὲ καὶ Κολοκύντη, περὶ τὰς πέντε ἢ ἕξ. (οἱ δέ φασιν ἑπτά.) πρότερον δὲ καὶ θᾶττον ὁ Σίκυος. [f] Ἀνδράχνη δ' ἐν πλείοσι τούτων· Ἄνηθον δὲ τεταρταῖον· Κάρδαμον δὲ καὶ Νάπυ, πεμπταῖα· Τεύτλιον δὲ, θέρους μὲν ἑκταῖον, χειμῶνος δὲ δεκαταῖον· Ἀτράφαξυς δε, ὀγδοαία, Ῥάφανος δεκαταία. [g] Πράσον δὲ καὶ Γήθυον, οὐκ ἐν ἴσοις, ἀλλὰ τὸ μὲν ἐννεακαιδεκαταῖον, ἐνιαχοῦ δὲ εἰκοσαῖον. Γήθυον δὲ, δεκαταῖον, ἢ δωδεκαταῖον· Κορίαννον δὲ, δυσφυὲς, οὐ γὰρ ἐθέλει βλαστάνειν τὸ νέον, ἐὰν μὴ [h] βρεχθῇ. Θύμβρα δὲ καὶ Ὀρίγανος, ἐν πλείοσιν ἢ τριάκοντα· δυσφυέστατον δὲ πάντων τὸ Σέλινον, τεσσαρακοσταῖον γάρ φασιν

[b] Κορίανον, Bod. [c] Ἀνάφραξιν. Bod. [d] θέρι Bod.
[e] Βλήτον, Bod. Βλίττον, Const. [f] Vid. not. ad fin. libri.
[g] Πράσιον Bod. [h] ἱλιχθῇ. Bod.

οἱ τὰ συντομώτερα λέγοντες, οἱ δὲ πεντηκοσταῖον, καὶ τοῦτο κατὰ πάντας τοὺς ἀρότους, ἐπισπείρουσι γάρ τινες ἐπὶ πᾶσιν· ὅλως δὲ ὅσα κατὰ πλείους i*ὥρας σπείρεται, ταῦτ' οὐδὲν θᾶττον πολλὰ γίνεσθαι τοῦ θέρους· καὶ θαυμαστὸν, εἰ καὶ μηθὲν ἡ ὥρα συμβάλλεται καὶ ὁ ἀὴρ πρὸς τὸ θᾶττον· ἐὰν δὲ μοχθηρᾷ καὶ ψυχρᾷ k γῇ καὶ ἐν τόπῳ περισκεπῇ, βραδύτερον· ἐπεὶ καὶ χειμώνων ἢ εὐδίων ἐπιγινομένων τοῖς ἀρότοις, ὁτὲ μὲν βραδύτερον, ὁτὲ δὲ, θᾶττον ἡ βλάστησις. διαφέρει δὲ ταῦτα κατὰ τοὺς ἀρότης l ἑκάςων· προϊαίτατον γὰρ ἐν τοῖς εὐήλοις καὶ εὐκράτοις· ὡς γὰρ ἁπλῶς εἰπεῖν ἐν πλείοσι δεῖ τὰς αἰτίας ὑπολαβεῖν τῶν τοιούτων, ἔν τε τοῖς σπέρμασιν αὐτοῖς, καὶ ἐν τῇ χώρᾳ, καὶ τῷ ἀέρι, καὶ ταῖς ὥραις, αἷς ἕκαστα σπείρουσι· καὶ χειμώνων καὶ εὐδιῶν. ἀλλὰ τοῦτο μὲν σκεπτέον, ἐφ' ὧν τε παραλλάτ[ι]ησιν οἱ χρόνοι, καὶ ἐφ' ὧν οὔ, καὶ γὰρ τὴν Ῥαφανίδα φασί τινες τριταίαν [εἶναι] καὶ θέρης καὶ χειμῶνος. τὸ δὲ m Τεύτλιον, ὥσπερ εἴρηται, παραλλάττει κατὰ τὰς ὥρας. χρόνοι δ' οὖν οὗτοι τῆς βλαστήσεώς εἰσι, καὶ λέγονται καθ' ἕκαστον· διαφέρει δὲ πρὸς τὸ θᾶττον καὶ βραδύτερον, καὶ ἡ τῶν σπερμάτων παλαιότης, τὰ μὲν γὰρ ἀπὸ νέων παραγίνεται θᾶττον, οἷον, n Πράσον, Γήθυον, Σίκυος, Κολοκύντη· ἔνιοι δὲ καὶ προβέχουσι τὸ μὲν Σίκυον πρὸς τὸ θᾶττον, ἢ ἐν γάλακτι, ἢ ἐν ὕδατι· τὰ δ' ἀπὸ παλαιῶν, οἷον, Σέλινον, Τεύτλιον, Κάρδαμον, Θύμβρα, Κορίανον, Ὀρίγανον, εἴπερ μὴ

i χρόνους Scal. χώρας Bas. k καὶ τῷ ἀέρι περισκεπῇ, Bod. Vid. not. ad fin. libri. l ἕκαστον· Bod. m τελευταῖον, Bod. Vid. not. ad finem libri. n Πράσσον, Bod.

ἅπαντα φυτεύεται ἀπὸ τοῦ νέου καθάπερ εἴπομεν. ἴδιον δέ τι φασὶν ἐπὶ τοῦ Τευτλίου συμβαίνειν, οὐ γὰρ διαφύεσθαι πᾶν εὐθὺς, ἀλλ' ὕστερον· πολλὰ γὰρ τῷ *δεχομένῳ ἔτει, καὶ τῷ τρίτῳ, διὸ καὶ ἐκ πολλοῦ σπέρματος ὀλίγον ἐκβλαστάνειν. ἕκαστον δὲ τῶν σπερμάτων ἐὰν °ἀδρυνθέντα ἀποπέσῃ, διαμένει πρὸς τὴν ὥραν τὴν ἑαυτοῦ, καὶ οὐ πρότερον ἐκβλαστάνει· καὶ κατὰ λόγον ἐστὶ, καὶ γὰρ ἐπὶ τῶν ἀγρίων ὁρῶμεν συμβαῖνον, ἐὰν μὴ φθαρῇ. αἱ δὲ τελειώσεις τῶν καρπῶν ἁπάντων ἐγγίνονται τοῦ θέρους, πρότερον δὲ καὶ θᾶττον· ὡς δ' ἁπλῶς εἰπεῖν [πρότερον] τῶν πρότερον σπαρέντων. διαφέρει καὶ ἡ ὥρα, τὰ γὰρ ἐν ταῖς θερμημερίαις σπαρέντα, θᾶττον *ἐκκαυλοῖ, καὶ *ἐκσπερματοῦται, καθάπερ Ῥαφανὶς, Γογγυλίς. ἔνια δὲ καὶ οὐκ ἐνιαύσια φέρει τὸν καρπὸν, ἀλλὰ δίεννα, καθάπερ Σέλινον, Πράσιον, Γήθυον, ἃ καὶ διαμένει χρόνον πλείονα, καὶ οὐκ ἔστιν ἐπέτεια, τὰ γὰρ πολλὰ τούτων ἅμα τῇ τελειώσει τῶν σπερμάτων αὐαίνεται. πάντα δὲ, ὡς εἰπεῖν, ὅσα ἐκκαυλοῖ, καὶ τελειοῖ τὸν καρπὸν, ἀποτελειοῦται κατὰ τὸ σχῆμα, τῷ παραβλαστήσεις ἐκ τῶν καυλῶν ἔχειν ἀκρεμονικὰς, πλὴν ὅσα μονόκαυλα, καθάπερ Πράσον καὶ Γήθυον, καὶ Κρόμμυον, καὶ Σκόροδον.

CAP. II.

Propagationes Olerum.

ΦΙΛΥΔΡΑ δὲ καὶ φιλόκοπρα πάντα [τὰ λαχανώδη], μᾶλλον δὲ τὰ ἀσθενέστερα, καὶ πλείονος ἐπιμελείας δεόμενα, τὰ δὲ καὶ τροφῆς. φύεται δὲ πάντα ἀπὸ τοῦ

° ἀνδρύνθεντα Ald. Bas. Vid. not. ad finem libri.

σπέρματος, ἔνια δὲ καὶ ἀπὸ *παρασπάδος, καὶ κλωνὸς, καὶ ῥίζης. ἀπὸ μὲν *παρασπάδος ἡ Ῥαφανὶς, [q] δεῖ γάρ τι καὶ ῥιζῶδες προσλαβεῖν· ἀπὸ δὲ τῶν βλαστῶν, Πήγανον, Ὀρίγανος, Ὤκιμον· (ἀποφυτεύουσι γὰρ καὶ τοῦτο, ὅταν σπιθαμιαῖον ἢ μεῖζον γένηται, τεμόντες εἰς τὸ ἥμισυ.) ἀπὸ ῥίζης δὲ, Σκόροδον, καὶ Κρόμμυον, καὶ *Βόλβοι· καὶ ἁπλῶς τὰ τοιαῦτα τῶν *κεφαλοῤῥίζων. φύεται δὲ, καὶ εἴ τινων αἱ ῥίζαι διαμένουσιν ἐπὶ πλειόνα χρόνον, ἐπετειοκαύλων ὄντων. ὅτι δ' ἀπὸ τοῦ σπέρματος πάντα βλαστάνει, φανερὸν, καὶ γὰρ τὸ Πήγανον, (ὅπερ οὐ φασί τινες,) ἀλλὰ βραδέως, διὸ καὶ *ἀποφυτεύεσιν. ὅσα δ' ἀπὸ ῥίζης φύεται, τούτων ἡ μὲν ῥίζα χρόνιος, αὐτὰ δὲ *ἐπετειόκαυλα, διὸ καὶ *παραβλαστάνουσιν αἱ ῥίζαι τῶν τοιούτων, καὶ γίνονται πλείους, οὐ μόνον ἐν τοῖς ἡμέροις, καὶ κηπευομένοις, ἀλλὰ καὶ ἐν τοῖς ἀγρίοις, ὥσπερ εἴπομεν, οἷον Βολβοῖς, Σκύλλαις, καὶ τοῖς ἄλλοις. παραβλαστάνει δ' ἔνια καὶ τῶν μὴ κεφαλοῤῥίζων, χρονιωτέρων δὲ, οἷον Σέλινον, καὶ Τεύτλιον· ἀφιᾶσι γὰρ ῥίζας, ἀφ' ὧν φύονται φύλλα καὶ καυλοί. παραβλαστάνει δὲ καὶ Γήθυον καὶ [r] Πράσον, καὶ παραφύει κάτωθεν, οἷον βολβώδη τινὰ κεφαλὴν, ἐξ ἧς ἡ βλάστησις γίνεται τῶν φύλλων· αὐανθέντος δὲ τοῦ καυλοῦ, καὶ τοῦ σπέρματος ἀφαιρεθέντος· ἀλλὰ διὰ τὸ μὴ χρησίμας εἶναι τὰς τούτων κεφαλὰς οὐ συλλέγουσι μὲν εἰς ξηρασίαν, διὸ δὲ οὐ φυτεύουσι. τάχα δὲ ταῦτα καὶ ὁμογενῆ, καὶ σύνεγγύς [ἐστι] πως τῇ τοῦ Κρομμύου φύσει, διὸ δὲ οὐ θαυμαστόν· ἀλλ' ὅμως δὲ ἐπὶ πάντων καὶ ἡμέρων καὶ ἀγρίων, ὅσα

[p] Ῥάφανος, Codd. Vid. not. ad finem libri. [q] ἀεὶ Bod.
[r] Πράσιον, Bod.

χρονιώτερα μέν ἐστιν, ἐπιγειότερα δὲ, τούτων αἱ ῥίζαι ἐπιβλαστάνουσιν, ὥσπερ καὶ ἐπὶ τῶν φρυγανικῶν, καὶ τῶν θαμνωδῶν. ἀλλ' ἐπὶ τῶν Κρομμύων, καὶ Σκορόδων, καὶ Βολβῶν, (καὶ ὥσπερ *ἀριθμός τις γίνεται τούτων.) ἡ δὲ γένεσις, ὥσπερ εἴρηται, τριχῶς ἐστιν· ἀπὸ σπέρματος μὲν (πάντων)· ἀπὸ δὲ καυλοῦ καὶ ῥίζης, τῶν εἰρημένων. τῶν δὲ καυλῶν *κολοβθέντων, [s] πάντα μὲν, ὡς εἰπεῖν, βλαστάνει, πλὴν τῶν *λειοκαύλων· ἐμφανέστατα δ', ὥσπερ καὶ εἰς χρεῖαν, Ὠκιμον, Θρίδαξ, Ῥάφανος. καὶ τῆς μὲν Θρίδακος ἡδίους φασὶ τοὺς *παλιβλάστους εἶναι καυλοὺς, τὸν γὰρ πρῶτον ὀπώδη καὶ πικρὸν εἶναι, ὡς ἄπεπτον· οἱ δὲ τὸ ἐναντίον, ὀπωδεστέρους τούτους, ἀλλ' ἕως ἂν ὦσιν ἁπαλοὶ, φαίνεθαι γλυκυτέρους· ἀλλ' ἐπὶ τῆς Ῥαφάνου τοῦτο ὁμολογούμενον, ὡς εἰ πάλιν βλαστήσει, ἡδίων [ἐστὶ], ἀφαιρεθέντων τε τῶν φύλλων πρὸ τοῦ διακαυλίσαι.

CAP. III.

Qualitates Radicum.

ΔΙΑΜΕΝΟΥΣΙ δὲ αἱ ῥίζαι πλειόνων, ἀλλ' αἱ μὲν βλαστάνουσι πάλιν, αἱ δὲ οὔ. Ῥαφανὶς οὖν καὶ Γογγυλὶς διαμένουσι, γῆς ἐπιβληθείσης, ἄχρι θέρους, καὶ αὔξησιν λαμβάνουσιν, ὅπερ ποιοῦσί τινες *ἐξεπίτηδες τῶν κηπωρῶν. οὐ βλαστάνουσι δὲ, οὐ δ' ἀφιᾶσι φύλλον, [t] εἰ μή τις ἀφέλοι τὴν ἐπισεσαγμένην γῆν· ἰδεῖν δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἐστί· τά τε πλεῖστα τῶν λαχανωδῶν μονόῤῥιζα τῇ παχείᾳ κατὰ βάθους ῥίζῃ· καὶ γὰρ

[s] πάντων Bod. [t] οὐ δ' εἴ τις Bod.

ὅσα *παραφύει τὰς ἰσοπαχεῖς ταύτας, ὥσπερ Σέλινον καὶ Τεύτλιον, ἀπὸ τῆς μέσης πως ἡ παράφυσίς ἐστι, καὶ οὐκ εὐθὺς ἀπὸ τῆς ἀρχῆς [u] ἡ σχίσις· εἰς δὲ ταύτην τὴν μίαν, [x] αἱ ἀπ' αὐτῆς ἀποφυάδες μικραὶ, καὶ τῆς Ῥαφανίδος καὶ τῆς Γογγυλίδος· καὶ αὗται μὲν δή φασι φανεραὶ, διὰ τὴν χρεῖαν, ἡ δὲ τοῦ Τευτλίου [ῥίζα] μία μὲν μακρὰ καὶ παχεῖα καὶ ὀρθὴ, καθάπερ ἡ τῆς Ῥαφανίδος· ἀποφύσεις δὲ ἔχει παχείας, ὁτὲ μὲν δύο, ὁτὲ δὲ καὶ τρεῖς, ὁτὲ δὲ καὶ μίαν· ταῖς δὲ λεπταὶ ἶνες [y] γενόμεναι προσφύονται, καὶ προσαρτῶνται. σαρκώδης δὲ ἡ ῥίζα, καὶ ἡδεῖα, διὸ καὶ ὠμὴν ἐσθίουσί τινες· ὁ δὲ φλοιὸς οὐ παχὺς, οὐ δ' ἀφαίρετος, ὥσπερ ὁ τῶν Ῥαφανίδων, ἀλλὰ μᾶλλον οἷον ὁ τῶν Ἱπποσελίνων· ὡσαύτως δὲ καὶ ἡ τῆς Ἀτραφάξυος [ῥίζα], μία μὲν εἰς βάθος, ἐκ ταύτης δὲ ἄλλαι. μονορριζότατον δὲ τούτων πάντων τὸ Λάπαθον, οὐ γὰρ ἔχει παχείας, ἀλλὰ τὰς λεπτάς· βαθυρριζότατον δὲ πάντων ἐστὶ, (καὶ γὰρ μείζω τριῶν ἡμιποδίων.) τὸ δ' ἄγριον βραχυτέραν· πολύκαυλον δὲ καὶ πολύκλαδον, καὶ ἡ ὅλη μορφὴ, τελειωθεῖσα, παραπλησία τῇ τοῦ Τευτλίου. πολυχρονιώτερον δὲ καὶ ἡ τοῦ ἀγρίου [Λαπάθου ῥίζα], καὶ ὅλως δὲ πάντων τῶν λαχάνων, ὡς εἰπεῖν, καὶ γὰρ διαμένει ὁποσονοῦν χρόνον, ὥς φασιν· ἔχει δὲ σαρκώδη τὴν σάρκα καὶ ἔνικμον, διὸ καὶ ἐξαιρεθεῖσα ζῇ πολὺν χρόνον. τὸ δ' Ὠκιμον, μίαν μὲν τὴν παχεῖαν [ἔχει] τὴν κατὰ βάθος, τὰς δ' ἄλλας τὰς ἐκ πλαγίου λεπτὰς, ἐπιεικῶς εὐμήκεις. ἔνια δὲ οὐκ ἔχει τὴν μίαν, τὴν ὀρθὴν, οἷον τὸ [z] Βλίτον, ἀλλ' εὐθὺς πολλὰς ἐξ ἄκρου, καὶ εὐπα-

[u] Vid. not. ad finem libri. [x] ἡ ἀπ' αὐτῆς τε καὶ τῆς ἀποφυάδος καὶ μικρὰ, Bod. [y] γεννώμεναι Bod. [z] Βλίτιον· Bod.

χεῖς· καὶ μακρότεραι αἱ τῆς [a]Ἀτραφάξυος. τῶν δὲ ῥιζῶν ξυλωδέσταται πασῶν αἱ τοῦ Ὠκίμου, καθάπερ καὶ ὁ καυλός· ἡ γὰρ τοῦ Βλίτου, καὶ τῆς Ἀνδραφάξυος, καὶ τῶν τοιούτων, ἧττον ξυλώδης· εἰσὶ γὰρ, ὡς ἁπλῶς εἰπεῖν, παρ' ὧν μὲν σαρκώδεις, αἱ δὲ ξυλώδεις, οἷον ἡ τοῦ Σελίνου, καὶ Ἱπποσελίνου, καὶ Λαπάθου, καὶ Ῥαφανίδος, καὶ Γογγυλίδος, καὶ πάντων μάλιστα τῶν *κεφαλοβαρῶν· οὐδὲ γὰρ ἀναξηραινόμενα σκληρύνονται τελείως. ξυλώδεις δ' εἰσι, (ὥσπερ τοῦ Ὠκίμου,) καὶ αἱ τοῦ Βλίτου, καὶ Ἀτραφάξυος, καὶ Εὐζώμου, καὶ Ἀνήθου· [b]καὶ Λαπάθου, καὶ Ῥαφάνου, καὶ ἁπλῶς τῶν *νευροκαύλων· ἔτι δὲ τοῦ Κοριάννου· τὰ δὲ μονόῤῥιζα ξυλώδη τε τὴν ῥίζαν [ἔχει] καὶ οὐ μακρὰν, οὐδὲ τὰς λεπτὰς ἀποφυάδας ἔχουσαν πολλάκις· νευρόκαυλα δὲ, ἅμα καὶ πολύοζα, διὸ καὶ οὐ κατὰ λόγον οὐδενὶ τούτων τὸ ἄνω πρὸς τὸ κάτω. βραχύῤῥιζα δὲ τὰ τοιαῦτά ἐστιν, οἷον Θρίδαξ, Ἀνδράχνη, (τῇ ὀρθῇ, καὶ ταῖς εἰς τὰ πλάγια.) ἡ δὲ Θρίδαξ, ὥσπερ οὐκ ἔχει τοιαύτας ἀποφύσεις, ἀλλὰ μόνον τὰς λεπτὰς, καὶ μάλιστα δὴ μονόῤῥιζον, ὡς εἰπεῖν. ἁπλῶς δὲ πάντα τὰ *θερινὰ βραχύῤῥιζα· καὶ γὰρ ὁ Σίκυος, καὶ ἡ [c]Κολοκύνθη, καὶ ἡ Σικύα· καὶ διὰ τὴν ὥραν, καὶ, ἴσως ἔτι μᾶλλον, διὰ τὴν φύσιν, ἥπερ συνηκολούθηκε τῇ ὥρᾳ. ἡ δὲ μεταφυτευομένη Θρίδαξ βραχυτέραν ἔχει τὴν ῥίζαν τῆς σπαρείσης, παραβλαστάνει γὰρ ἐκ τῶν πλαγίων

[a] Ἀνδραφάξυος. Bod. [b] καὶ Λαπάθου, καὶ Κοριάννου, καὶ ἁπλῶς τῶν ὁμοκαύλων. (Ῥοκαύλων Gaz. Vid. not. ad fin. libri.) ἔχει γὰρ δὴ καὶ τὸ Κοριάννον, τὰ μονόῤῥιζα, ξυλώδη τε τὴν ῥίζαν καὶ οὐ μακρὰν, οὐδὲ τὰς λεπτὰς ἀποφυάδας ἔχουσαν πολλάς. πολύκαυλα δὲ ἄμφω καὶ πολύοζα· Bod. [c] Κολύντη, Bod.

μᾶλλον· βραχυτέρα δὲ καὶ ἡ ἀγρία τῆς ἡμέρου, καὶ [βλαςάνει] ἐκ τῶν ἄνω· ἔστι δὲ πολυκαυλότερα.

CAP. IV.

Florum et Seminum Differentiæ.

ΑΝΘΕΙ δὲ [d] τῶν λαχάνων ἕκαςον, τὸ μὲν ἀθρόον, τὸ δὲ *κατὰ μέρος· τὰ κάτω πρῶτον, εἶθ', ὅταν ταῦτα *ἀπανθήσῃ, τὰ ἄνω. διὸ καὶ πολυχρόνια ἐν τῷ ἀνθεῖν [ταῦτα], καθάπερ Κύαμος, καὶ τῆς πόας τὸ Ἡλιοτρόπιον καλούμενον, καὶ ἄλλα δὲ τῶν ἀγρίων. ἀνθεῖ δὲ [ὁμοίως] καὶ ὁ Σίκυος καλούμενος. καὶ γὰρ *ἐπιβλαςάνειν τούτῳ γε συμβαίνει. τὰ δὲ ἄνθη τῶν μὲν ἔκλευκα, τῶν δὲ μικρὸν ἐπιπορφυρίζοντα, [e] *εὔχρουν δ' οὐδέν. τὰ δὲ σπέρματα διαφέρει καὶ τοῖς σχήμασι· τὰ μὲν γὰρ πλεῖςα στρογγύλα, τὰ δὲ προμήκη, τὰ δ' αὖ πλατέα καὶ *φυλλώδη, καθάπερ τὸ τῆς Ἀνδραφάξυος, ὅμοιον γὰρ τῷ τοῦ Σιλφίου· τὰ δὲ στενὰ καὶ *γραμμώδη, καθάπερ τὰ τοῦ Κυμίνου. καὶ τοῖς χρώμασιν ὁμοίως, τὰ μὲν μέλανα, τὰ δὲ [f] ἐρυθρώδη, τὰ δὲ λευκότερα. πάντα δὲ *ἐλλοβοσπέρματα· ἢ *γυμνοσπέρματα, ἢ *ἐμφλοιοσπέρματα, ἢ παπποσπέρματα· Ῥαφανὶς μὲν γὰρ, καὶ Νάπυ, καὶ Γογγυλὶς, ἐλλοβοσπέρματα· Κορίαννον δὲ καὶ Μάραθρον, [g] καὶ Κύμινον, *γυμνοσπέρματα· Βλίτον δὲ, καὶ Τεύτλιον, καὶ Ἀτράφαξυς, καὶ Ὤκιμον, *ἐμφλοιοσπέρματα· Θριδακίνη δὲ, *παπποσπέρματον. πάντα δὲ [τὰ λάχανα] πολύκαρπα καὶ πολυ-

[d] τῶν ἄλλων Bod. [e] ἔρυθρα Const. [f] ξυλώδη, Bod.
[g] καὶ Κύμινον, καὶ Σίλινον, γυμνοσπέρματα, Const.

θλαστῆ· πολυκαρπότερον δὲ τὸ Κύμινον. ἴδιον δὲ καὶ ὃ λέγουσι κατὰ τούτου, φασὶ γὰρ δεῖν καταρᾶθαι τε καὶ βλασφημεῖν σπείροντας, εἰ μέλει καλὸν ἔσεσθαι καὶ πολύ. δυσξήραντα δὲ πάντα μὲν, ὡς εἰπεῖν, πλὴν τοῦ Κυμίνου, τοῦτο γὰρ, ὡς Σῖτος, ἐὰν ἅπαξ ἀδρυνθῇ, ταχὺ ξηραίνεται καὶ ἀποπίπτει. δυσξηραντότερα δὲ τὰ ἐμφλοιόσπερματα, καὶ τούτων μάλιστα Ὠκίμου· πάντα παρ' [τὰ σπέρματα] ξηρανθέντα πολυκαρπότερα γίγνονται, διὸ καὶ προαφαιροῦντες αὐτὰ, ξηραίνουσιν. ἅπαντα δὲ [i] πολύκαυλα, καὶ πολυσπέρματα [εἰσί]· πολυκαρπότατα δὲ Ὤκιμον, Πράσον, Κρόμμυον· τὰ δὲ πλαγιόκαρπα μᾶλλον, οἷον Ῥαφανὶς, Γογγυλὶς, καὶ τὰ τοιαῦτα. τὰ δ' ἀμφοτέρως, οἷον Βλίτον, Ἀνδράφαξυς. (ἀμφοτέρως γὰρ ταῦτα, [πολύκαυλα] καὶ ἐκ τοῦ πλαγίου.) [k] καὶ τόγε πλεῖστον, εὐθὺς παρ' ἕκαστον [l] προσκαθήμενόν ἐστι τὸ σπέρμα βοτρυώδες. τὰ δὲ ἐκ παλαιοτέρων σπερμάτων θᾶττον ἐκκαυλεῖ, τάχιστα δὲ τὰ ἐκ τῶν ἀκμαζόντων, ἔστι γάρ τις ἀκμὴ καὶ τούτων. ἀνάλογον δὲ καὶ τὸ κάλλος ἀκολουθεῖ τῷ τῶν σπειρομένων, ἐὰν, τὰ ἄλλα, τὴν αὐτὴν ἔχωσι θεραπείαν· δοκεῖ δὲ καὶ εἰς τὸ ἀθρόον αὐτὰ τιθέμενα καλλίω γίνεσθαι καὶ βλαστάνειν, οὕτω γὰρ τὰ τοῦ Πράσου, καὶ τὰ τοῦ Σελίνου τιθέασιν, ἀποδήσαντες εἰς ὀθόνιον, καὶ γίνονται μέγαλα. συμβάλλεται δέ τι καὶ ὁ τόπος πρὸς αὔξησιν, κελεύουσι γοῦν, ὅτάν τις μεταφυτεύῃ τὰ Σέλινα, πάτταλον *κατακρούειν, ἡλίκον ἂν βούληται ποιεῖν τὸ Σέλινον. τιθέναι δὲ καίτοι ἐν τῷ ὀθονίῳ,

i πολύκαρπα Bod. k Vid. not. ad fin. libri. l προσκαθιζόμενον Ald.

πάτταλον κατακρούσαντα, καὶ πλήσαντα κόπρου καὶ γῆς. ἔνια δὲ [τῶν κάρπων] καὶ τοῖς σχήμασιν ἐξομοιοῦται καὶ τοῖς τόποις, ἡ γὰρ σικύα ὁμοιοσχήμων γίνεται ἐν ᾧ ἂν τεθῇ τόπῳ. διαφορὰν δὲ καὶ λαμβάνει κατὰ τοὺς χυμοὺς ἔνια προθεραπευθέντα τῶν σπερμάτων, οἷον τὸ τοῦ Σικύου, ἐὰν ἐν γάλακτι βρέξαντες σπείρωσιν. ἀλλὰ τοιαῦτα ἴσως οἰκειότερα τῆς θεραπείας.

CAP. V.

Raphanus, sativus. Brassica, Rapa. Beta, vulgaris. Lactuca, sativa. Cucumis. Cucurbita. Allii Species variæ.

ΓΕΝΗ δὲ τῶν μέν ἐστι πλείω, τῶν δ' οὐκ ἔστιν, οἷον, Ὠκίμου, Λαπάθου, [m] Βλίτου, Καρδάμου, Εὐζώμου, Ἀτραφάξυος, Κοριάννου, Ἀνήθου, Πηγάνου· (τούτων γὰρ οὐ φασὶν εἶναι πλείω γένη, οὐδὲ γένους διαφορὰν, τῶν δὲ *ἀνάπαλιν πλείω γένη.) τῶν δέ ἐστι, οἷον Ῥαφανίδος, Ῥαφάνου, Τευτλίου, Σικύου, Κολοκύνθης, Κυμίνου, Σκορόδου, Θριδακίνης. διαιροῦσι δὲ τοῖς τε φύλλοις, καὶ ταῖς ῥίζαις, καὶ τοῖς χρώμασι, καὶ τοῖς χυλοῖς, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· οἷον τῆς Ῥαφανίδος γένη, Κορινθίαν, Κλεωναίαν, [n] Λειοθαλασσίαν, Βοιωτίαν· εὐαυξεστάτην δὲ φασὶν τὴν Κορινθίαν, ἣ καὶ τὴν ῥίζαν ἔχει γυμνὴν, ὠθεῖται γὰρ εἰς τὸ ἄνω, καὶ οὐχ ὡς αἱ ἄλλαι κάτω. τὴν δὲ Λειοθαλασσίαν, ἣν ἔνιοι καλοῦσι [o] Βοιωτίαν, ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας· τὴν δὲ Βοιωτίαν, γλυκυτάτην, καὶ τῷ σχήματι

[m] Βλήθου, Const. [n] λειοθασίαν, Const. [o] Θρακίαν, Const.

στρογγύλην, οὐχ ὥσπερ τὴν Κλεωναῖαν μακράν. ὅσων δ' ἂν ᾖ λεῖα τὰ φύλλα, γλυκύτεραι καὶ ἡδίους· ὅσων δ' ἂν τραχέα, δριμύτεραι· γένος δέ τι παρὰ ταῦτά ἐστιν, ὃ ἔχει τὸ φύλλον Εὐζώμῳ ὅμοιον. Ῥαφανίδος μὲν οὖν ταῦτα, Γογγυλίδος δὲ, οἱ μὲν φασὶν εἶναι, οἱ δ', οὐ φασὶν, ἀλλὰ καὶ τῷ ἄρρενι καὶ θηλείᾳ διαφέρειν· γίνεσθαι δὲ ἐκ τοῦ αὐτοῦ σπέρματος ἄμφω· πρὸς δὲ τὸ *ἀποθηλύνεσθαι πηγνῦναι δεῖ μανὰς, ἐὰν γὰρ πυκνὰς, πάσας *ἀπαρρένοῦσθαι. διὸ καὶ τὰς *σπερματισμὰς μεταφέροντες, φυτεύουσι P τὰς *ἐκφύσεις *κατασπαρείσας. ἔστι δὲ καὶ τὸ σπέρμα, τὸ τῇ ὄψει χεῖρον, καὶ βέλτιον· τῆς μὲν γὰρ χρηστῆς, λεπτὸν, τῆς δὲ μοχθηρᾶς, ἁδρόν· *χειμαζομένη δὲ χαίρει καὶ αὐτὴ καὶ ἡ Ῥαφανίς· οἴονται γὰρ ἅμα γλυκαίνεσθαί τε, καὶ τὴν αὔξησιν εἰς τὴν ῥίζαν τρέπεσθαι, καὶ οὐκ εἰς τὰ φύλλα. τοῖς δὲ νοτίοις, καὶ ταῖς εὐδίαις *ἐκκαυλεῖ ταχύ· τοῦτο μὲν οὖν λόγου δεῖται, τῆς ὁμοιώσεως ἐν ἀμφοῖν εἶναι τὰς διαφοράς. τῆς δὲ Ῥαφάνου τριχῇ διαιρεμένης, Q τῆς οὐλοφύλλου τε καὶ τῆς λειοφύλλε, καὶ τρίτης τῆς ἀγρίας, (ἣ τὸ μὲν φύλλον ἔχει λεῖον, μικρὸν δὲ, καὶ περιφερὲς, πολύκλαδος δὲ καὶ πολύφυλλος, ἔτι δὲ χυλὸν ἔχουσα δριμὺν καὶ φαρμακώδη, διὸ καὶ πρὸς τὰς κοιλίας αὐτῷ χρῶνται οἱ ἰατροί· ὁμοίως δὲ καὶ ἐν ἐκείνῳ εἶναι δοκοῦσι διαφοραὶ καὶ r ἕτεραι, ἐπεὶ ἄσπερμόν τι γένος αὐτῶν ἐστιν, ἢ κακόσπερμον·) τὸ δὲ ὅλον, ἡ οὔλη τῆς λείας εὐχυλοτέρα s καὶ μεγαλοφυλλοτέρα. εὐχυλότερον δὲ καὶ τῶν Τευτλίων τὸ λευκὸν τοῦ μέλανος· καὶ ὀλιγοσπερμότερον, ὃ καλοῦσί τινες.

P τὰς ἐκφύσεις καὶ πλατείας. Ald. Bas. Q οὐ λειοφύλλε Bod.
r καθ' ἑτέραν, Const. s ἡ δὲ λεῖα μεγαλοφυλλοτέρα. Const.

Σικελικόν· ὡσαύτως δὲ καὶ τῆς Θριδακίνης, ἡ γὰρ λευκὴ γλυκυτέρα καὶ ἁπαλωτέρα. γένη δὲ αὐτῆς ἐστὶν ἄλλα τρία· τό, τε πλατύκαυλον, καὶ στρογγυλόκαυλον, καὶ τρίτον τὸ Λακωνικόν· αὕτη δὲ τὸ μὲν φύλλον ἔχει *σκολυμῶδες· ὀρθὴ δὲ καὶ εὐαυξὴς καὶ παράβλαστος ἐκ τοῦ καυλοῦ· τῶν δὲ πλατείων οὕτω τινὲς πλατόκαυλοι γίνονται, ὥστ' ἐνίους φασὶ καὶ θύραις χρῆθαι *κηπωρικαῖς· τὸ δὲ [[t]στρογγυλόκαυλον] ὀπῶδες σφόδρα καὶ μικρόφυλλον· καὶ λευκοκαυλότερον ἔοικεν ἀγρίᾳ. (τῶν δὲ, [u]Σελίνων καὶ ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς καυλοῖς αἱ διαφοραὶ, τὸ μὲν γὰρ πυκνὸν, καὶ *ἕλον, καὶ δασὺ τὸ φύλλον ἔχει· τὸ δὲ μανώτερον καὶ πλατύτερον, καυλὸν δὲ μείζω.) τούτων δὲ πάλιν [τῶν Θριδακίνων] τὰ μὲν λευκόκαυλα. τὰ δὲ πορφυρόκαυλα, ἢ ποικιλόκαυλα, τὸ δ' ὅλον ἅπαν τὸ τοιοῦτον ἐμφερέστατον τῇ ἀγρίᾳ. Σικύου δὲ καὶ Κολοκύνθης, τῆς μὲν εἶναί φασι γένη, τῆς δ' οὐκ εἶναι, καθάπερ τῆς Ῥαφανίδος καὶ τῆς Γογγυλίδος· ἄλλα ἐν τῷ αὐτῷ γένει τὰς μὲν βελτίους, τὰς δὲ χείρους. τοῦ δὲ Σικύου τρία [γένη], Λακωνικὸν, Σκυταλίαν, Βοιώτιον· τούτων δὲ, ὁ μὲν Λακωνικὸς ὑδρευόμενος βελτίων, οἱ δὲ ἕτεροι ἀνύδρευτοι. διαφέρει δὲ γένει καὶ τὰ Κρόμμυα, καὶ τὰ Σκόροδα· πλείω δὲ τοῦ Κρομμύου γένη, οἷον τὰ κατὰ τὰς χώρας ἐπικαλούμενα Σάρδια, Κνίδια, Σαμοθρακία· καὶ πάλιν τὰ Σητάνια, καὶ Σχιστὰ, καὶ Ἀσκαλόνικα. τούτων δὲ τὰ μὲν Σητάνια μικρὰ, γλυκέα δ' εὖ μάλα· τὰ δὲ Σχιστὰ καὶ Ἀσκαλόνικα, καὶ ταῖς θεραπείαις διαφέρει, καὶ δηλονότι τῇ φύσει, τὸ

[t] στρογγυλόκαυλον deest Bod. Vid. not. ad fin. lib. [u] Vid. not. ad fin. libri.

Σχιστὸν γὰρ τῷ μὲν χειμῶνι μετὰ τῆς *κόμης ἀργὸν ἀπολείπουσι, ἅμα δὲ τῷ ἦρι τὰ φύλλα *περιάγουσι τὰ ἔξω, καὶ τὰ ἄλλα θεραπεύουσι· περιαιρεθέντων δὲ τῶν φύλλων τὰ ἕτερα βλαστάνει, καὶ ἅμα κάτω ῥίζεται, διὸ καλοῦσι Σχιστά. οἱ δὲ καὶ ὅλως φασὶ πάντων δεῖν [περιαίρειν τὰ φύλλα], ὅπως ἡ δύναμις εἰς τὰ κάτω, καὶ μὴ σπερματοφυῇ. τῶν δὲ Ἀσκαλωνίκων ἰδία τις ἡ φύσις, μόνα [u] γὰρ σχιστὰ, καὶ ὥσπερ ἄγονα ἀπὸ τῆς ῥίζης· ἔτι δὲ ἐν αὐταῖς, ἀναυξῆ καὶ *ἀνεπίδοτα, διὸ καὶ οὐ πηγνύουσιν, ἀλλὰ σπείρουσιν αὐτά· καὶ σπείρουσιν ὀψὲ πρὸς τὸ ἔαρ, εἶθ', ὅταν βλαστήσῃ, μεταφυτεύουσι. τελειοῦται δὲ τοῖς ἄλλοις ταχέως, ὥσθ' ἅμα τοῖς ἄλλοις, ἢ καὶ πρότερον ἐξαιρεῖσθαι· πολὺν δὲ χρόνον ἐκθέντα ἐν τῇ γῇ, σήπεται· φυτευθέντα δὲ καυλὸν ἀφίησι καὶ σπέρμα φύει μόνον, εἶτα κένουται καὶ αὐαίνεται. τούτων μὲν οὖν τοιαύτη τις ἡ φύσις· διαφέρει δ' ἔνια καὶ τοῖς χρώμασιν, ἐν νήσῳ γὰρ [x Σαμίῳ] εἰσὶ τὰ μὲν ἄλλα ὅμοια τοῖς λευκοῖς, y ἐρυθρὰ δὲ σφόδρα τῇ χροιᾷ, φέρειν δὲ φασὶν [τὴν νῆσον] ὅμοια τοῖς Σαρδιανοῖς. ἰδιωτάτη δὲ ἡ φύσις, ἢ τῶν Κρητικῶν, παραπλήσια δὲ τρόπον τινὰ τοῖς Ἀσκαλωνίκοις, εἰ μὴ ἄρα καὶ ἡ αὐτή· ἐν Κρήτῃ γάρ ἐστί τι γένος, ὃ σπειρόμενον μὲν ῥίζαν ποιεῖ, φυτευόμενον δὲ, καυλὸν καὶ σπέρμα, κεφαλὴν δὲ οὐκ ἔχει· γλυκὺ δὲ τῷ χυμῷ· τοῦτο γὰρ οἷον *ἀνάπαλίν τι ἔχει τοῖς ἄλλοις, ἅπαντα γὰρ πηγνύμενα καὶ βελτίω καὶ θᾶττον παραγίνεται. πάντα δὲ [τὰ Κρόμμυα] φύεται μεθ' Ἀρκτοῦρον, ἔτι θερμῆς οὔσης τῆς γῆς, ὅπως τὰ ὕδατα καταλαμβάνῃ τὰ πεφυτευμένα· καὶ ὅλα δὲ φύεταί τε, καὶ

[u] γὰρ οὐ σχιστὰ, Const. [x] Σαμίῳ deest Bod. [y] Vid. not. ad fin. libri.

διατεμνόμενα παρὰ τὴν κεφαλήν· οὐχ ὅμοιαι δὲ αἱ ἐκβλαστήσεις, ἀλλ' ἐκ μὲν τοῦ κάτω γίνεται Κρόμμυον, ἐκ δὲ τοῦ ἄνω χλόη μόνον· ὀρθὸν δὲ διατμηθὲν, ὅλως ἀβλαστές ἐστι. (τὸ δὲ Γήθυον καλούμενον, ἀκεφαλόν τι, καὶ ὥσπερ αὐχένα μακρὸν ἔχον, ὅθεν καὶ ἡ βλάστησις ἄκρα· καὶ ἐπικείρεται πολλάκις, ὥσπερ τὸ Πράσον, διὸ καὶ οὐ φυτεύουσι.) τὰ μὲν οὖν Κρόμμυα σχεδὸν ταύτας ἔχει τὰς ἰδέας, τὸ δὲ Σκόροδον, φυτεύεται μὲν μικρὸν πρὸ τροπῶν, ἢ μετὰ τροπὰς, διαιρούμενον κατὰ [z] γένη· διαφορὰ δέ ἐστιν αὐτῶν, ἥτε τῶν ὀψίμων πρὸς τὰ πρώϊα, (γένος γάρ τι τυγχάνει τοιοῦτον, ὅτι ἐν ἑξήκοντ' ἡμέραις τελειοῦται·) καὶ μεγέθει καὶ μικρότητι· καὶ τῷ μεγέθει γένος τι *διαφέρον ἐστί. μάλιστα δὲ τὸ Κύπριον καλούμενον τοιοῦτον, ὅπερ οὐχ ἕψουσιν, ἀλλὰ πρὸς τοὺς *μυττωτοὺς χρῶνται, καὶ ἐν τῇ τρίψει θαυμαστὸν ποιεῖ τὸν ὄγκον *ἐκπνευματούμενον· καὶ ἔτι [διαφέρει] τῷ μὴ ἔχειν ἔνια τὰς *γέλγεις. ἡ δὲ γλυκύτης καὶ ἡ εὐωδία καὶ ἡ ἀδρότης, σχεδὸν παρὰ τὰς [a] χώρας γίνεται, καὶ τὰς θεραπείας, ὥσπερ καὶ τῶν ἄλλων· τελειοῦται δὲ καὶ ἀπὸ σπέρματος, ἀλλὰ βραδέως· τῷ πρώτῳ γὰρ ἔτει κεφαλὴν ἡλίκην Πράσου λαμβάνει, τῷ δ' ὕστερον, [b] *γελγιοῦται, καὶ τῷ τρίτῳ τέλειον γίνεται· καὶ οὐδὲν χεῖρον, ἀλλ' ἔνιοί γε καὶ κάλλιόν φασι τοῦ *πηκτοῦ. τῆς δὲ ῥίζης ἡ γένεσις οὐχ ὁμοία, τοῦτε γὰρ Σκορόδου ὅταν ἀνοιδήσῃ ἡ γελγὶς, κυρτούται πᾶσα· καὶ ἐνταῦθα αὐξηθεῖσα, διαιρεῖται πάλιν εἰς τὰς γέλγεις, καὶ ἐξ ἑνὸς πολλὰ γίνεται τῷ τελειούσθαι τὴν κεφαλήν· τὸ δὲ

[z] γίλγις. Const. [a] χιρὰς Bod. [b] γιλδιούγται, Bod.

Κρόμμυον εὐθὺς ἐκ τῆς ῥίζης ἄλλο καὶ ἄλλο *παραφίησι, καθάπερ καὶ οἱ Βολβοὶ, καὶ ἡ Σκύλλα, καὶ πάντα τὰ τοιαῦτα· καὶ γὰρ τὰ Κρόμμυα καὶ τὰ Σκόροδα, μὴ ἀναιρουμένων ἀλλ' *ἐώντων, πολλὰ γίνεται. φέρειν δέ φασι καὶ τὸ Σκόροδον [c] κεφαλὰς μετὰ τῆς *φύσιγγος, ὡς καὶ τὰ κρόμμυα. περὶ μὲν οὖν τῶν γένων ἱκανῶς εἰρήσθω.

CAP. VI.

Cultura, &c. Olerum hortensium.

ΦΙΛΥΔΡΑ δὲ πάντα τὰ ἄλλα λάχανα, καὶ φιλόκοπρα, πλὴν Πηγάνου, τοῦτο δὲ ἥκιστα φιλόκοπρον· τὰ *χειμερινὰ δὲ οὐχ ἧτΐον τῶν θερινῶν, καὶ τὰ *ἐπίκηρα τῶν ἰσχυρῶν. κόπρον δὲ μάλιστα ἐπαινοῦσι τὴν *συρματίτιν, τὴν δὲ τῶν ὑποζυγίων [φασὶ] μοχθηρὰν, διὰ τὸ μάλιστα *ἐξικμάζεσθαι. ζητοῦσι δὲ τὴν κόπρον ἅμα τῷ σπόρῳ μάλιστα συναναμιχθεῖσαν, οἱ δὲ καὶ σπείροντες ἐπιβάλλουσι· χρῶνται δὲ καὶ τῇ ἀνθρωπίνῃ ὠμῇ πρὸς τὴν *χύλωσιν. φιλυδρότερα δὲ τὰ χειμερινὰ τῶν θερινῶν, καὶ τὰ ἀσθενῆ τῶν ἰσχυρῶν· ἔτι δὲ τὰ πλείστης δεόμενα τροφῆς, φίλυδρα, [ὡς] καὶ τὸ Κρόμμυον, καὶ τὸ Γήθυον· (καίτοι φασί τινες οὐ ζητεῖν, ἐὰν τὸ πρῶτον [d] ὑετὸς ἐγγένηται δὶς ἢ τρίς.) τῶν δὲ ὑδάτων, ἄριστα τὰ πότιμα, καὶ τὰ ψυχρά· χείριστα δὲ τὰ *ἁλυκὰ, ὡς καὶ [e] *δυσμανῆ· καὶ τὰ ἐκ τῶν *ὀχετῶν [f] ἧττον εὔχρηστα, συμπεριφέρει γὰρ σπέρματα τῆς

[c] κεφαλὰς ἐπὶ τῆς σύριγγος, Bod. Vid. not. ad fin. lib. [d] ὑετὸς deest Ald. Bas. Scal. censet scribend. ὕδωρ. [e] δυσμενῆ· Bod. [f] ἧττον χρήστα. Scal.

πόας· ἀγαθὰ δὲ τὰ *ἐκ Διός, ταῦτα γὰρ δοκεῖ καὶ φθείρειν τὰ θηρία ἐγγινόμενα, τὰ *γόνιμα κατεθίοντα. φασὶ δέ τινες οὔτε τοῖς Σικύοις [ὕδωρ] συμφέρειν, οὔτε τοῖς Κρομμύοις. ἀρδεύουσι δὲ τὰ μὲν ἄλλα πρωΐ, ἢ πρὸς ἑσπέραν, ὅπως μὴ *καθάψηται, τὸ δὲ Ὤκιμον, καὶ μεσημβρίας, καὶ γὰρ διαβλαστάνειν θᾶττόν φασι, θερμῷ τὸ πρῶτον ἀρδευόμενον. τὸ δὲ πολὺ λίαν ὕδωρ δοκεῖ συμφέρειν, (ἄλλως τε καὶ ἐὰν μὴ ἔχῃ κόπρον.) πολλάκις γὰρ πεινᾶν τὰ λάχανά φασι, καὶ ταῦτα γνωρίζειν τοὺς ἐμπείρους τῶν κηπωρῶν. μεταφυτευόμενα δὲ πάντα, καλλίω καὶ μείζω γίνεται· καὶ γὰρ τὰ τῶν Πράσων μεγέθη, καὶ τὰ τῶν Ῥαφανίδων, ἐκ μεταφυτείας. μάλιστα δὲ μεταφυτεύουσι πρὸς τοὺς ε *σπερματισμούς. καὶ τὰ μὲν ἄλλα ὑπομένει, οἷον Γήθυον, Πράσον, Ῥάφανος, Σίκυος, Σέλινον, Γογγυλὶς, Θρίδαξ, Γλήχων. (ἅπαντα δὲ εὐαυξέστερα καὶ μείζω πηγνυμένων τῶν σπερμάτων ἢ σπειρομένων.) θηρία δὲ ἐγγίνεται, ταῖς μὲν Ῥαφανίσι, *Ψύλλαι· τῇ δὲ Ῥαφάνῳ, *Κάμπαι καὶ *Σκώληκες· καὶ ἐν τῇ Θριδακίνῃ, καὶ ἐν τοῖς Πράσοις, καὶ ἐν ἄλλοις πλείοσιν αἱ *Πρασοκουρίδες. ταῦτα μὲν οὖν ἡ κρᾶσις ἀθροισθεῖσα ἀπόλλυσι, καὶ ὅταν κόπρος ἀθρόα πω καταλάβῃ [αὐτα]. φίλυπνον γὰρ τὸ θηρίον ἀναδεύεται, ἐν αἷς κοιμᾶται, ὡς καὶ ἐν τῇ κόπρῳ, διὸ δὴ ῥᾴδιον θηρεύειν οὕτως· ἄλλως δ' οὐκ ἔστι. ταῖς δὲ Ῥαφανίσι πρὸς τὰς *Ψύλλας, πρόσφορον ἐπισπείρειν Ὀρόβους, πρὸς δὲ τὸ μὴ γίνεσθαι Ψύλλας, οὐ φασὶν εἶναι φάρμακον οὐδέν. ὑπὸ δὲ τὸ *ἄστρον Ὤκιμον μὲν *λευκαίνεται· Κορίαννον δὲ *ἁλμᾶται. τὰ

ε σπιρματιούς. Ald.

μὲν οὖν συμβαίνοντα τούτων θεωρητέον. τῶν δὲ σπερμάτων τὰ μέν ἐστιν ἰσχυρότερα, τὰ δὲ ἀσθενέστερα πρὸς διαμονήν· ἰσχυρότερα μέν, οἷον Κορίαννον, Τεύτλιον, [h] Πράσον, Κάρδαμον, Νάπυ, Εὔζωμον, Θύμβρα· ἁπλῶς τὰ δριμέα πάντα· ἀσθενέστερα δὲ Γήθυον, (τοῦτο γὰρ οὐκ ἐθέλει μένειν.) Ἀτράφαξυς, Ὤκιμος, Κολοκύνθη, Σίκυον· ἁπλῶς τὰ θερινὰ τῶν χειμερινῶν μᾶλλον· διαμένει δὲ οὐδὲν πλέον τεττάρων ἐτῶν ὥστε [i] ἔτι χρήσιμον εἶναι πρὸς τοὺς σπόρους. ἀλλὰ τὰ [k] δίενα μὲν βελτίω, διὰ δὲ τρεῖς οὐδὲν χείρω, τὸ δ' [l] ὑπερβαῖνον ἤδη χεῖρον. πρὸς δὲ τὴν *μαγειρικὴν χρείαν ἐπὶ πλείω διαμένει, πλὴν ἀσθενέστερα πάντα ἀναγκαῖον εἶναι διὰ τὴν *ἀναπνοὴν καὶ τὴν *σκωλήκησιν. φθορὰ δὲ μάλιστα μὲν ὑπὸ τῶν θηρίων· γίγνεται γὰρ ἐν ἅπασι, καὶ ἐν τοῖς δριμέσιν, ἥκιστα δὲ [m] ἐν τοῖς εὐωδέσι. οὐ μὴν ἀλλὰ καὶ *ἐξικμαζόμενα [ταῦτα] πικρὰ γίνεται τῇ γεύσει. διὸ καὶ πρὸς τὴν χρείαν χείρω. καὶ περὶ μὲν τῶν σπερμάτων, καὶ ἁπλῶς τῶν κηπευομένων, ἱκανῶς εἰρήθω.

CAP. VII.

Olera agrestia.

ΠΕΡΙ δὲ τῶν ἀγρίων καὶ τῶν καλουμένων *ἀρουραίων, πειρατέον ὁμοίως εἰπεῖν. τυγχάνει δὲ τὰ μὲν ὁμώνυμα τοῖς εἰρημένοις, ἅπαντα γάρ ἐστι τὰ γένη ταῦτα, καὶ ἄγρια, καὶ χεδὸν τάγε πολλὰ παραπλησίαν ἔχοντα τὴν ὄψιν τοῖς ἡμέροις, πλὴν τοῖς γε φύλλοις ἐλάττω ταῦτα καὶ τραχύτερα, καὶ τοῖς καυλοῖς καὶ

[h] Πράσσον, Bod. [i] ἔστι Ald. Bas. [k] δι' ἕνα Bod.
[l] ὑπερβαῶν Ald. forsan error typogr. [m] ἐν τῷ σικυῶνι. Bod.

μάλιστα τοῖς χυλοῖς δριμύτερα καὶ ἰσχυρότερα, καθάπερ ἥτε Θύμβρα, καὶ ἡ Ὀρίγανος, ἥτε [n] Ῥαφανὶς καὶ τὸ Πήγανον· ἔτι καὶ τὸ Λάπαθον ἄγριον, καίπερ εὐσταμώτερον τοῦ ἡμέρου, τὸν δὲ χυλὸν ὅμως ὀξύτερον ἔχει, καὶ τούτῳ μάλιστα διαφέρει. πάντα δὲ [τὰ ἄγρια] καὶ ξηρότερα τῶν ἡμέρων, καὶ ἴσως αὐτῷ τούτῳ, πολλῷ καὶ δριμύτερα καὶ ἰσχυρότερα. ἰδίως δὲ ἡ Ῥάφανος [ἄγρια] ἔχει παρά τε ἄλλα τοὺς καυλοὺς περιφερεστέρους καὶ λειοτέρους τῆς ἡμέρου. καὶ τὴν τοῦ φύλλου *πρόθεσιν ἐκείνη μὲν ἔχει πλατεῖαν, αὐτὴ δὲ περιφερεστέραν· καὶ αὐτὸ δὲ τὸ φύλλον [o] *ἀγωνιότερον· ἔτι τά γε ἄλλα τραχύτερον, καὶ τοῖς καυλοῖς καὶ τοῖς φύλλοις. ἡ δὲ Γογγυλὶς [ἄγρια] καὶ τὴν ῥίζαν ἔχει μακρὰν καὶ ῥαφανιδώδη, καὶ τὸν καυλὸν βραχύν· Θριδακίνη δὲ τό τε φύλλον βραχύτερον τῆς ἡμέρου, καὶ τελειούμενον ἀκανθοῦται, καὶ τὸν καυλὸν ὁμοίως· τὸν ὀπὸν δ' ἔχει δριμὺν καὶ φαρμακώδη· φύεται δ' ἐν ταῖς ἀρούραις, *ὀπίζουσι δὲ αὐτὴν ὑπὸ *πυραμητὸν, καὶ φασὶ καθαίρειν ὕδροπα, καὶ ἀχλὺν ἀπ' ὀφθαλμῶν ἀπάγειν, καὶ *ἄργεμα ἀφαιρεῖν ἐν γάλακτι γυναικείῳ. τὸ δ' Ἱπποσέλινον καὶ Ἐλειοσέλινον, καὶ Ὀρεοσέλινον, καὶ πρὸς ἑαυτὰ διαφορὰν ἔχει, καὶ πρὸς τὸ ἥμερον· τὸ μὲν γὰρ Ἐλειοσέλινον, τὸ παρὰ τοὺς ὀχετοὺς καὶ ἐν τοῖς ἕλεσι φυόμενον, *μανόφυλλόν τε, καὶ οὐ δασὺ γίνεται, προσεμφερὲς δέ πως τῷ Σελίνῳ καὶ τῇ ὀσμῇ, καὶ τῷ χυλῷ, καὶ τῷ σχήματι. τὸ δ' Ἱπποσέλινον, φύλλον μὲν ἐμφερὲς τῷ Ἐλειοσελίνῳ, δασὺ δὲ, καὶ μεγαλόκαυλον, καὶ τὴν ῥίζαν ὥσπερ Ῥαφανὶς ἔχει, τὸ πάχος, καὶ μέλαιναν· μέλας δὲ καὶ ὁ καρπὸς, μέγεθος

[n] Ῥάφανος Bod.

[o] ἀγωνότερον. Bod.

δὲ μεῖζον Ὀρόβου· χρήσιμα δὲ ἄμφω φασὶ πρὸς σραγγυρίαν εἶναι ἐν οἴνῳ γλυκεῖ λευκῷ, καὶ τοῖς *λιθιῶσι· φύεται δὲ ὅμως πανταχοῦ· γίνεται δὲ καὶ τὸ δάκρυον ἐξ αὐτοῦ ὅμοιον τῇ μύῤῥᾳ, οἱ δὲ φασὶν ὅλως μύῤῥαν [εἶναι]. τὸ δὲ Ὀρεοσέλινον μείζους ἔτι διαφορὰς ἔχει, τὸ μὲν γὰρ φύλλον ἔοικε Κονείῳ, ῥίζα δὲ λεπτὴ, τὸν δὲ καρπὸν ἔχει καθάπερ Ἄνηθον, πλὴν ἐλάττω· διδόασι δὲ τοῦτον ἐν οἴνῳ αὐστηρῷ τῶν γυναικείων χάριν. ἔνια δὲ [τῶν ἀγρίων] ὅλως ἀσύμβλητα τοῖς ἡμέροις ἐστὶ, κατά γε τοὺς χυλοὺς καὶ τὰς δυνάμεις, ὥσπερ Σίκυος, ὅ, τε ἄγριος καὶ ὁ ἥμερος, ἀλλ' ἐκ τῆς προσόψεως ἔχει τὴν ὁμοιότητα, καθάπερ καὶ ἐν τοῖς στεφανώμασιν, ἡ Ἰωνία [ἄγρια], τὸ γὰρ φύλλον ἔχει παρόμοιον [τῇ ἡμέρᾳ]. τούτων μὲν οὖν τοῖς εἰρημένοις αἱ διαφοραί.

CAP. VIII.

Varia Plantarum Genera ad Usus culinarios in Agris reperta. Cichoraciæ. Tragoponon, &c. &c. Tempora Germinationis.

ΠΕΡΙ τῶν δὲ *ἀρουράων λεγομένων μετὰ ταῦτα ῥητέον, καὶ ὅλως [p]εἴ τι ποωδές ἐστιν, ὃ μὴ τυγχάνει βρωτόν· (καλοῦμεν γὰρ λάχανα τὰ πρὸς τὴν ἡμετέραν χρείαν,) ἐν δὲ τῷ καθόλου κἀκεῖνα περιέχεται, διὸ καὶ περὶ ἐκείνων λεκτέον. λάχανα μὲν δὴ τὰ τοιαῦτα καλεῖται, Κιχώρη, Ἀφάκη, [q]Χονδρύλλα, Ὑποχοιρὶς, Ἠριγέρων, καὶ ὅλως ὅσα κιχωριώδη, [r]διὰ τὴν ὁμοιότητα τῶν φύλλων· πάντα γὰρ [ταῦτα] ἐμφερῆ πως

p ἐγγειτοιωδές Bas. ἐγγυποωδές Scal. q Ἀνδρυάλα, Bod.
r κατὰ τοὺς τὴν Bod.

ἔχει τῷ Κιχωρίῳ [τὰ φύλλα]. ἀνάπαλιν δὲ ἡ Καυκαλὶς, καὶ [s]Ἀνθρίσκος καὶ Ἡδύοσμος, (οἷ δὲ μυρία ἄλλα,) ἐν οἷς καὶ ἡ Κόμη, ἣν Τραγοπώγωνα καλοῦσιν, ἣ τὴν μὲν ῥίζαν ἔχει μακρὰν καὶ γλυκεῖαν, τὰ δὲ φύλλα τῷ Κρόκῳ ὅμοια, πλὴν [t]μακροτέρα, τὸν καυλὸν δὲ βραχὺν, ἐφ' οὗ τὴν *κάλυκα μεγάλην, καὶ ἐξ ἄκρου μέγαν τὸν [u]πώγωνα πολιὸν, ἀφ' οὗ καλεῖται Τραγοπώγων. ὁμοίως δὲ καὶ ἄλλα τοιαύτας μὲν ἰδέας ἔχει, τοὺς δὲ χυλοὺς ἐδωδίμους, ἢ ὠμοὺς, ἢ ἑφθοὺς, ἔνια γὰρ δεῖται *πυρώσεως, ὥσπερ Μαλάχη, καὶ Τευτλὶς, καὶ τὸ Λάπαθον, καὶ ἡ Ἀκαλήφη, καὶ τὸ Παρθένιον· τὸ δὲ Στρύχνον καὶ ὠμὸν ἐδθίουσιν, ὃ καὶ Εὐήπατόν τινες πρότερον [x]λέγουσι· καὶ ἕτερα δὲ πλείω τούτων, ἐν οἷς καὶ παροιμιαζόμενός ἐστι διὰ πικρότητα ὁ Κόρχορος, ἔχων τὸ φύλλον ὠκιμῶδες. πάντων δὲ, τὰ μὲν ἐπέτεια, τὰ δὲ ἐπετειόκαυλα τυγχάνει· τὰ μὲν γὰρ *ἐξαναίνονται, τῶν δὲ διαμένουσιν εἰς πλείω χρόνον αἱ ῥίζαι, σχεδὸν δὲ οὐκ ἔλαττον τὰ τοιαῦτά ἐστι. φύεται δὲ τὰ μὲν, καὶ ἀπὸ τῶν ῥιζῶν, καὶ ἀπὸ τῶν σπερμάτων, τὰ δὲ ἕτερα μόνον ἀπὸ σπέρματος, εἰ μή τι καὶ αὐτόματον. ἡ δὲ βλάστησις καὶ τούτων δὲ, καὶ τῶν ἄλλων, τῶν μὲν ἅμα τοῖς πρώτοις ὑετοῖς ἐστι μετ' ἰσημερίαν, οἷον Ἀφάκη, καὶ [y]Κύνωψ, ἣν καλοῦσί τινες Βούπρηστιν· τῶν δὲ μετὰ Πλειάδα, καθάπερ καὶ Κιχωρίου, καὶ σχεδὸν τῶν ἄλλων τῶν κιχωριωδῶν. καὶ τὰ μὲν εὐθὺς ἅμα τῇ βλαστήσει τὸ ἄνθος ἀφίησι, καθάπερ ἡ Ἀφία· τὰ δὲ, ὕστερον οὐ πολλῷ, καθάπερ ἡ Ἀνεμώνη· τὰ δὲ, ἅμα

[s] Ἐνθουσικὸν, Bod. [t] μικρότερα, Const. [u] πάγητον, Ald. [x] λέγουσι deest Bod. [y] τὸ τοῦ Κύνωπος, Const. τὸ τοῦ Κύωπος, Bod.

τῷ ἤρι καὶ *ἐκκαυλεῖ καὶ ἀνθεῖ, καθάπερ τὸ Κιχώριον, καὶ τὰ κιχωριώδη· καὶ τῶν ἀκανθικῶν ὅσα λαχανώδη. διαφορὰ δὲ τῶν ἀνθῶν πολλὴ, περὶ ἧς [z]ἐν τοῖς πρότερον εἴρηται· χεδὸν γάρ ἐστι κοινὸν ἁπάντων [τὸ ἄνθος], ἔνια δὲ καὶ ὅλως ἀνανθῆ, καθάπερ καὶ τὸ Ἐπίπετρον. συμβαίνει δὲ τοῖς μὲν ἅμα τῷ καρπῷ τὸ ἄνθος ἀφιεῖσι ταχεῖαν εἶναι τὴν ἀπάνθησιν, πλὴν ἡ μὲν Ἀφάκη· ἀπογηράσαντος [a]γὰρ τοῦ πρώτου, πάλιν ἄλλο καὶ ἄλλο παραφύει, καὶ τοῦτο ποιεῖ παρ' ὅλον τὸν χειμῶνα, καὶ τὸ ἔαρ, ἄχρι, τοῦ θέρους. πολὺν δὲ χρόνον [ἀνθεῖ] καὶ ὁ Ἠριγέρων· τὰ δὲ ἄλλα οὐ ποιεῖ τοῦτο, (καθάπερ οὐδὲ ὁ Κρόκος, οὔτε ὁ εὔοσμος, οὔθ' ὁ [b]ὄρεινος.) οὗτοι δὲ ἄοσμοι.

CAP. IX.

Differentiæ quoad Caules, Folia, Flores, Radices.

ΚΟΙΝΗ δὲ διαφορὰ πάντων τῶν ποωδῶν ἐστὶ τοιάδε· τὰ μὲν γάρ ἐστιν ὀρθόκαυλα, τὰ δὲ ἐπεγειόκαυλα, καθάπερ Μαλάχη, Σκάνδιξ, Σίκυος ἄγριος· τὸ δὲ Ἡλιοτρόπιον· ἔτι δὲ μᾶλλον, ὡς εἰπεῖν, τούτων, ὥσπερ καὶ ἐν τοῖς ἀκανθώδεσιν οὖσιν, ὁ Τρίβολος, καὶ ἡ Κάπταρις, καὶ ἄλλα πλείω. (καὶ γὰρ ἐκείνων ἡ διαφορὰ πλείων [ἐστί].) ἔνια δὲ *περιαλλόκαυλα, μὴ ἔχοντα δέ που προσπέσωσιν, ἐπιγειόκαυλα, καθάπερ [c]ἡ Πιτυίνη, καὶ ἡ Ἀπαρίνη, καὶ ἁπλῶς ὧν ὁ καυλὸς λεπτὸς, καὶ μαλακὸς, καὶ μακρὸς, διὸ καὶ φύονται ταῦτα, ὡς ἐπὶ τὸ πᾶν, ἐν ἄλλοις. κοινὴ δὲ καὶ αὐτὴ ἡ διαφορὰ πάντων, οὐ μόνον τῶν ποωδῶν καὶ φρυγανικῶν, ἀλλὰ καὶ τῶν θαμνωδῶν,

[z] ἐν τοῖς desunt Bod. [a] πάλιν τοῦ πρώτου Bod. [b] ἀκανθώδης. Bod. ἀνανθώδης. Const. [c] Πιτίνη, Ald.

καὶ γὰρ ἡ Ἕλιξ, καὶ ἔτι μᾶλλον ἡ Σμίλαξ, περιαλλόκαυλα. ἔτι δὲ καὶ τῶν ποωδῶν, τὰ μὲν πολύκαυλα, τὰ δὲ μονόκαυλα· καὶ τῶν μονοκαύλων, τὰ μὲν *ἀπαράβλαστα κατὰ τὸν καυλὸν, τὰ δὲ *παραβλαστικὰ, καθάπερ καὶ ἐν τοῖς ἡμέροις ἥ τε Ῥαφανὶς, καὶ ἄλλ' ἄπτα. πολύκαυλα δὲ, ὡς ἁπλῶς εἰπεῖν, τὰ ἐπιγειόκαυλα· μονόκαυλα δὲ καὶ ὀλιγόκαυλα, τὰ ὀρθόκαυλα. τούτων δὲ *ἀπαράβλαστά εἰσι τὰ *λειόκαυλα, οἷον Κρόμμυον, Πράσσον, Σκόροδον, ὅπερ καὶ ἐν τοῖς ἡμέροις ὑπάρχει. διαφορὰ δέ τις καὶ τοιάδε τῶν ποωδῶν ἐστι· τὰ μὲν *ἐπιγειόφυλλα, τὰ δ' *ἐπικαυλόφυλλα· (συγχάνει δὲ [d] τὰ δ' ἀμφοτέρων·) ἐπιγειόφυλλα μὲν Κορονόπους, Ἀνθέμιον, Ἄγχουσα, (πόα,) Ἀνεμώνη, Φυλλανθὲς, Ἀπαργία, Ἀρνόγλωσσον, [e] Ἀφάκη. ἐπικαυλόφυλλα δὲ, [f] Πικρὶς, Ἀνθέμιον τὸ φυλλῶδες, Λωτὸς, Λευκόϊον· ἀμφοτέρως δὲ τὸ Κιχώριον, καὶ γὰρ ἐπὶ τῶν καυλῶν ἅμα ταῖς *ἐκφύσεσι ταῖς ἀκρεμονικαῖς ἐκφύει τι καὶ ἄνθος, (ὡς καὶ τῶν φυλλακάνθων ἔνια,) πλὴν ἀκανθώδεσι κομιδῇ, καθάπερ ὁ Σόγκος. ἔστι δὲ καὶ τὰ μὲν ἄκαρπα, τὰ δὲ κάρπιμα· καὶ ὅλως τῶν ποωδῶν τὰ μὲν ἄχρι τῶν φύλλων ἀφικνεῖται, τὰ δὲ καυλὸν ἔχει καὶ ἄνθος, καρπὸν δὲ οὐ, τὰ δὲ καὶ καρπὸν, ὥσπερ τελειοτάτην φύσιν, εἰ μή τι καὶ ἄνευ τοῦ ἄνθους καρποφορεῖ, ὥσπερ ἐπὶ τῶν δένδρων. διαφέρει δὲ καὶ τὰ φύλλα [τῶν ποώδων] σχεδὸν οὐκ ἐν ἐλάττοσιν, ἀλλὰ πλείοσι διαφοραῖς ἢ τὰ τῶν δένδρων. καὶ πρὸς αὐτὰ δὲ ἐκεῖνα διαφορὰς ἔχει· μεγίστην μὲν, ὡς εἰπεῖν, ὅτι τὰ μὲν ἀπὸ μίσχου προσπέφυκε, τὰ δὲ,

[d] τὰ δ' desunt Bod. [e] Ἀπάτη, Bod. [f] Κρήπις, Ald. Bas.

αὐτὰ μὲν καθ' αὐτὰ ὡς ἁπλῶς εἰπεῖν, τὰ δὲ, *καυλικῇ τινι προσφύσει· καὶ τῶν μὲν [g]τὸ ἄνθος τῇ βλαστήσει προτερεῖ, τῶν δὲ πλείστων τὰ φύλλα· καὶ σχεδὸν ἐν τῇ ἀρχῇ μέγιστα γίνονται, καὶ μάλιστα τὰ ἐδώδιμα· τὰ δὲ, ἐκ τῶν δένδρων προωθεῖ τινα καυλόν. διαφέρουσι δὲ καὶ τοῖς ἄνθεσι πολὺ, ἐν μὲν γὰρ τοῖς δένδροις τά, γε πλεῖστα λευκὰ, τὰ δὲ, μικρὸν ἐπιπορφυρίζοντα, τὰ δὲ *ποώδη, καὶ *χλοώδη· *κεχρωσμένων δὲ ἀνθῶν οὐδέν. ἐν δὲ τοῖς ποώδεσι πολλαὶ καὶ παντοδαπαὶ χροιαὶ καὶ εὔκρατοι, καὶ μεμιγμέναι· καὶ εὔοσμοι δὴ καὶ ἄοσμοι. [h]καὶ ἔνια μὲν τῶν δένδρων τὴν ἄνθησιν *ἀθρόαν ποιεῖται· τούτων δ' ἔνια *κατὰ μέρος, ὥσπερ ἐλέχθη καὶ περὶ τοῦ Ὠκίμου· διὸ καὶ πολὺν χρόνον ἀνθεῖ· καθάπερ ἄλλά τε πολλὰ, καὶ τὸ Ἡλιοτρόπιον, καὶ τὸ Κιχώριον. πολλαὶ δὲ [εἰσὶ] καὶ τῶν ῥιζῶν διαφοραὶ, καὶ τρόπῳ τινὰ τούτων φανερώτεραι· εἰσὶ γὰρ αἱ μὲν ξυλώδεις, αἱ δὲ σαρκώδεις, καὶ *ἰνώδεις, ὥσπερ καὶ, τῶν ἡμέρων, αἵ τε τοῦ Σίτου, καὶ τῆς πόας πῆς πλείστης. αὐτῶν δὲ τούτων ἕκαστα πλείστας ἔχουσι διαφορὰς, χρώμασιν, ὀσμαῖς, χυλοῖς, μεγέθεσιν· αἱ μὲν γὰρ λευκαὶ, αἱ δὲ, μέλαιναι, αἵ δ' ἐρυθραὶ, καθάπερ ἥ τε τῆς Ἀγχούσης, καὶ τοῦ Ἐρευθεδάνου. αἵ δ' ὥσπερ ξανθαὶ καὶ [i]*μηλινοειδεῖς· καὶ γλυκεῖαι δὲ, καὶ πικραὶ, καὶ δριμεῖαι, καὶ εὐώδεις, καὶ κακώδεις, καὶ ἔνιαι φαρμακώδεις, ὡς ἐν ἄλλοις εἴρηται· διαφοραὶ δὲ καὶ τῶν σαρκωδῶν, αἱ μὲν γὰρ στρογγύλαι, αἱ δὲ προμήκεις καὶ *βαλανώδεις, ὥσπερ Ἀσφοδέλου καὶ Κρόκου. καὶ αἱ μὲν *λεπυρώδεις, ὥσπερ ἡ τῆς Βολβοῦ καὶ τῆς Σκύλλης, καὶ

[g] τὸ ἄνθος desunt Bod. [h] καὶ ἐνίων τὰ μὲν δένδρα Bod.
[i] ξυλοειδεῖς· Bod.

ὅσαι βολβώδεις, ὡς καὶ Κρομμύου δὲ καὶ Γηθύου, καὶ ὅσα τούτοις ὅμοια. αἱ δὲ, *ὁμαλεῖς, καὶ *ψαθαραὶ, (καὶ μάλα καὶ διόλου, καὶ ὥσπερ ἄφλοιοι,) καθάπερ τοῦ Ἄρου. αἱ δὲ καὶ φλοιὸν ἔχουσι πρὸς τῇ σαρκὶ, καθάπερ ἡ τοῦ Κυκλαμίνου, καὶ τῆς Γογγυλίδος. [k] οὐχ ἅπασαι δὲ αἱ εὐώδεις, ἢ γλυκεῖαι, ἢ εὔστομοι, ἐδώδιμοι, οὐ δ' αἱ πικραὶ ἄδρωτοι, ἀλλ' ὅσαι ἀβλαβεῖς εἰσι τῷ σώματι μετὰ τὴν *προσφοράν· ἔνιαι γὰρ γλυκεῖαι μὲν, θανάσιμοι δὲ καὶ νοσώδεις· αἱ δὲ, πικραὶ μὲν ἢ κακώδεις, ὠφέλιμοι δέ. τὸν αὐτὸν δὲ τρόπον καὶ φύλλα καὶ καυλοί· καθάπερ τοῦ Ἀψινθίου, καὶ τοῦ Κενταυρίου. διαφοραὶ δὲ [εἰσὶ] καὶ κατὰ τὴν βλάστησιν, καὶ κατὰ τὴν ἄνθησιν, οἷον ἀρχομένου χειμῶνος, καὶ μεσοῦντος· καὶ πάλιν ἦρος, ἢ θέρους, ἢ μετοπώρου. καὶ ἐπὶ τῶν καρπῶν δὲ ὁμοίως, τῷ βρωτὰ εἶναι, καὶ καυλοὺς, καὶ φύλλα, καὶ σπέρματα, καὶ ῥίζας. καὶ ἐν αὐτοῖς τούτοις κατὰ τοὺς χυλοὺς [εἰσὶ διαφοραὶ], οἷον, ὀξύτητι, καὶ γλυκύτητι, καὶ *αὐστηρότητι, καὶ ταῖς ἄλλαις ταῖς τοιαύταις, ἁπλῶς τε, καὶ κατὰ τὸ μᾶλλον. τὰς μὲν οὖν διαφορὰς ἐν τούτοις ληπτέον· διῃρημένων δὲ κατὰ τὰς *ὥρας ἑκάστας, πρός τε τὰς βλαστήσεις, καὶ κατὰ τὰς ἀνθήσεις, καὶ τελειώσεις τῶν καρπῶν, οὐδὲν ἀναβλαστεῖ πρὸ τῆς οἰκείας ὥρας, οὔτε τῶν *ῥιζοφυῶν, οὔτε τῶν *σπερμοφυῶν, ἀλλ' ἕκαστον ἀναμένει τὴν οἰκείαν [ὥραν], [l] εἶθ' ὑπὸ τῶν ὑδάτων οὐδὲν πάσχει. ἔνια γὰρ [m] θερινὰ κομιδῇ καὶ τῇ ἀνθήσει, καὶ τῇ βλαστήσει, καθάπερ ὁ Σκόλυμος, καὶ ὁ Σίκυος ἄγριος, ὥσπερ καὶ περὶ τῶν φρυγανικῶν ἐλέχθη· περὶ Κονύζης τε καὶ

[k] αἱ δ' εὐώδεις, ἢ γλυκεῖαι· οὐκ ἅπασαι δὲ ἢ εὔστομοι ἢ ἐδώδιμοι, Const. [l] Vid. not. ad fin. libri. [m] θερμὰ Bod.

Καππάριδος, καὶ τῶν ἄλλων· οὐδὲν γὰρ, οὐδὲ ἐκείνων, ἀνθεῖ καὶ βλαστάνει πρὸ τῆς οἰκείας ὥρας· διὸ καὶ ταύτῃ δόξαιεν ἂν διαφέρειν τῶν δένδρων, τῶν μὲν γὰρ, ἅμά πως πάντων ἐγγὺς ἡ βλάστησις, (εἰ μὴ κατὰ μίαν, ὡς εἰπεῖν,) τούτων δὲ ἐν πολλαῖς, μᾶλλον δὲ ἐν ἁπάσαις, ἡ βλάστησις, καὶ ἔτι μᾶλλον ἡ ἄνθησις, ὥστε εἴ τις ἐθέλει κατανοεῖν, σχεδὸν συνεχὴς γίνεται [n] καθ' ὅλον ἐνιαυτὸν, καὶ ἡ βλάστησις, καὶ ἡ ἄνθησις, ἀεὶ γὰρ ἕτερον ἐξ ἑτέρου διαδεχόμενον πάσας *ἀναλαμβάνει τὰς ὥρας· οἷον μετὰ τὴν Ἀφάκην [o] ἔσται ἡ Ἀνεμώνη, καὶ ὁ Ἠριγέρων, καὶ τὰ ἄλλα *χειμερινά· μετὰ δὲ ταῦτα τὰ *ἠρινὰ, καὶ μετοπωρινά. πολλὰ δὲ, ὥσπερ ἐλέχθη, καὶ τῶν *κατὰ μέρος ἀνθέων ἐπιτείνεται ταῖς ὥραις· ἔνια γὰρ οὕτως ἀνθεῖ, καθάπερ ἥ τε Ἀφάκη, καὶ [p] ὁ Ὀνοκίχλης, καὶ τὸ Κιχώριον, καὶ τὸ Ἀρνόγλωσσον, καὶ ὡς ἄλλα, διὰ δὲ τὴν συνέχειαν καὶ τὴν *περικατάληψιν τὴν ὑπ' ἀλλήλων, οὐ φαίνεται ῥᾴδιον ἐν ἐνίοις, [q] διορίσαι ποῖα πρῶϊ βλαστάνει, καὶ ποῖα ὀψιβλαστεῖ· καὶ αὐτῶν τε τούτων τὰς γενέσεις καὶ τὰς ὥρας, ὅταν, τελειωθέντων τῶν καρπῶν, πάλιν ἄλλας ἀρχὰς *ἐνίστωνται τῆς γενέσεως, ὅπερ μάλιστα δοκεῖ συμβαίνειν μετ' ἰσημερίαν μετοπωρινὴν, τότε γὰρ ἤδη τὰ σπέρματα πλεῖστά τε τελείωται, καὶ τῶν δενδρικῶν καρπῶν οἱ πολλοί· καὶ ἅμα μεταβολή τις γενέσεως προσγίνεται καὶ τῆς ὥρας, ὅσα δὲ ἀτελῆ καὶ *ἄπεπα περικαταλαμβάνεται, τούτοις κατὰ λόγον, ἐκ περιόδου δὲ καὶ ἡ βλάσησις γίνεται, καὶ ἡ ἄνθησις, καὶ ἡ τελείωσις· διὸ συμβαίνει, τὰ μὲν ὑπὸ *τροπὰς ἀν-

[n] καθόλου Ald. Bas. [o] ἔσται τὸ Κρόκον καὶ ἡ Ἀνεμώνη, Const. [p] ὁ Ὀνοχειλτὸς, Bod. [q] οὐ δ' ὁρίσαι ποῖα πρῶτα βλαστάνει, καὶ ὅλως ποῖα πρῶϊ βλαστάνει, Bod.

θεῖν, τὰ δ' ὑπὸ *κύνα, τὰ δὲ μετὰ *ἀρκτοῦρον καὶ ἰσημερίαν μετοπωρινήν. ἀλλὰ ταῦτα μὲν ἔοικε κοινοτέραν ἔχειν σκέψιν εἰς ἀφορισμὸν *ἀρχῆς· ὅτι δὲ καὶ διαφοραὶ πλείους, (ἢ οὐκ ἐλάττους,) ἐν τούτοις, φανερὸν, ἐπεὶ καὶ ἀείφυλλα τῶν τοιούτων ἔστιν ἔνια, καθάπερ [r] τὸ Πόλιον καὶ τὸ Ἡλιοτρόπιον, καὶ τὸ Ἀδίαντον.

CAP. X.

Plantæ thyrsifloræ, cichoraceæ; Radices fusiformes; bulbosæ, &c.

ΑΦΟΡΙΣΜΕΝΩΝ οὖν τούτων περὶ τὰς διαφορὰς ἐν οἷς γίνονται, καὶ πῶς, λεκτέον ἤδη τὰς καθ' ἕκαστον ἱστορίας. ὅσαι καὶ κατὰ τὴν ἰδίαν ἑκάστου φύσιν [διαφοραί]· λέγω δὲ οἷον τὰ *σταχυώδη, καὶ τὰ [s] κιχωριώδη, καὶ τὰ σαρκόῤῥιζα, ἢ τὰ κεφαλόῤῥιζα· καὶ εἴτι ἕτερόν ἐστιν, (ὡς τὸ κοινὸν ἐπὶ πάντων λαβεῖν,) ὃ τῇ αἰσθήσει γνώριμον, τοῖς φύλλοις, ἢ ἄνθεσιν, ἢ ῥίζαις, ἢ καρποῖς, ἐκ γὰρ τῶν φανερῶν ὁ μερισμὸς, ὥσπερ καὶ τῶν ῥιζῶν. *σαχυώδη μὲν οὖν ἐστιν, ὅ τε, [t] Χήνωψ ὑπὸ τινῶν καλούμενος, πλείους ἔχων ἰδέας ἐν ἑαυτῷ, καὶ ὁ Ἀλωπέκουρος, καὶ ὁ Στελεφοῦρος· (ὑπ' ἐνίων δὲ Ἀρνόγλωσσον, τῶν δὲ Ὄρτυξ καλούμενος·) παρόμοιον δὲ τούτῳ τρόπον τινὰ καὶ ἡ Θρυαλλὶς (ἁπλᾶ δὲ καὶ μονοειδῆ τρόπον τινὰ ταῦτα καὶ *σάχυν οὐκ ὀξὺν, οὐδ' [u] *ἀθερώδη ἔχοντα·) ὁ δὲ Ἀλωπέκουρος, μαλακὸν, καὶ χνοωδέστερον, [x] ἔτι καὶ ὅμοιον ταῖς τῶν Ἀλωπέκων οὐραῖς. ὅθεν καὶ τὄνομα μετείληφεν. ὅμοιος δὲ τούτῳ καὶ ὁ Στελεφοῦρος, πλὴν οὐχ, ὥσπερ ἐκεῖνος ἀνθεῖ κατὰ μέρος, ἀλλὰ δι'

[r] τὸ Πόλιον καὶ desunt Bod. [s] σκανδικώδη, καὶ μυόφονα· [t] εἴτι Bod. [t] Χήνων Bod. [u] ἀνθιρώδη Bod. [x] ὅτι Bod.

ὅλου τοῦ στάχυος, ὥσπερ ὁ Πυρός· ἡ δὲ ἄνθησις ἀμφοῖν *χνοώδης, καθάπερ καὶ τοῦ Σίτου. παρόμοιον δὲ τῇ ὅλῃ μορφῇ τῷ Πυρῷ, πλὴν πλατυφυλλότερον· ὡσαύτως δὲ τούτοις καὶ ἄλλα τὰ σταχυώδη λεκτέον. τὰ δὲ κιχωριώδη, πάντα μὲν *ἐπετειόφυλλα καὶ *ῥιζόφυλλα· βλαστάνει δὲ μετὰ Πλειάδα, πλὴν τῆς Ἀφάκης. τοῖς δὲ καυλοῖς καὶ ταῖς ῥίζαις μεγάλας ἔχουσι διαφορὰς, [y] οἱ μὲν γὰρ τῶν ἄλλων *ἁπλούστεροι καὶ ἐλάττους, ὁ δὲ τοῦ Κιχωρίου μέγας, καὶ *ἀποφύσεις ἔχων πολλάς· ἔτι δὲ *γλίσχρος καὶ *δυσδιαίρετος, διὸ καὶ δεσμῷ χρῶνται· *παραβλαστικὸν δὲ καὶ τῇ ῥίζῃ, καὶ ἄλλως μακρόρριζον, διὸ καὶ δυσώλεθρον. ὅταν γὰρ *ἐκλαχανίζωται, πάλιν τὴν ὑπόλοιπον *ἀρχὴν λαμβάνει γενέσεως. συμβαίνει δὲ καὶ *παρανθεῖν αὐτοῦ μέρος ἄλλο καὶ ἄλλο, καὶ τοῦτο ἄχρι τοῦ μετοπώρου, σκληροῦ δοκοῦντος εἶναι τοῦ καυλοῦ· φέρει δὲ καὶ [z] *λόβον, ἐν ᾧ τὸ σπέρμα περὶ τὰ ἄκρα τῶν καυλῶν. ἡ δὲ [a] Ὑποχοιρὶς λειοτέρα καὶ ἡμερωτέρα τῇ προσόψει καὶ γλυκυτέρα, καὶ οὐχ ὥσπερ ἡ [b] Χονδρύλλα, ἀλλὰ τὸ ὅλον, οὐκ ἐδώδιμος. (αὕτη γὰρ ἄβρωτος·) καὶ ἐν τῇ ῥίζῃ δριμὺν ὀπὸν ἔχει καὶ πολύν. ἄβρωτος δὲ καὶ πικρὰ ἡ Ἀφάκη· πρωιανθεῖ δὲ, καὶ ταχὺ γηράσκει καὶ *ἀποπαπποῦται· εἶτ' ἄλλο φύεται πάλιν καὶ ἄλλο, καὶ τοῦτο παρ' ὅλον ποιεῖ τὸν χειμῶνα, καὶ τὸ ἔαρ ἄχρι τοῦ θέρους· τὸ δ' ἄνθος *μηλινοειδές. ὡσαύτως δὲ καὶ ἡ Πικρὶς, καὶ γὰρ αὕτη τῷ ἦρι ἀνθεῖ, καὶ παραπλησία δι' ὅλου τοῦ χειμῶνος καὶ τοῦ θέρους παρανθεῖ· τῇ γεύσει δὲ πικρὰ, διὸ καὶ τοὔνομα εἴληφε.

y αἱ ῥίζαι Ald. Bas.
a ὑποχώρησις Ald. Bas.
z λόμον, Ald. Bas. An φόβον?
b χανδρὰς, Bod.

CAP. XI.

Differentiæ respectu Radicum, Foliorum, Caulium, et Bulborum.

ΤΑΥΤΑ μὲν οὖν ἐν ταύταις ταῖς διαφοραῖς· πειρατέον δὲ, ὡς ἐλέχθη, καὶ τῶν ἄλλων λαμβάνειν ὁμοίως [τὰς διαφοράς]. πολὺ δέ τι γένος ἐςὶ καὶ τῶν *σαρκορρίζων ἢ κεφαλορρίζων, ἃ καὶ πρὸς τὰ ἄλλα, καὶ [c] καθ' αὑτὰ, τὰς διαφορὰς ἔχει, ῥίζαις τε καὶ φύλλοις, καὶ καυλοῖς, καὶ ταῖς ἄλλαις μορφαῖς. τῶν γὰρ ῥίζων, ὥσπερ εἴρηται πρότερον, αἱ μὲν *λεπυρώδεις, αἱ δὲ σαρκώδεις· καὶ αἱ μὲν ἔχουσαι φλοιὸν, αἱ δ' ἄφλοιοι· ἔτι δὲ αἱ μὲν στρογγύλαι, αἱ δὲ προμήκεις· καὶ αἱ μὲν ἐδώδιμοι, αἱ δὲ ἄβρωτοι· ἐδώδιμοι μὲν γὰρ οὐ μόνον οἱ βολβοὶ, καὶ τὰ ὅμοια τούτοις, ἀλλὰ καὶ ἡ τοῦ Ἀσφοδέλου ῥίζα, καὶ ἡ τῆς Σκύλλης· πλὴν οὐ πάσης, ἀλλὰ τῆς Ἐπιμενιδείου καλουμένης, ἣ ἀπὸ τῆς χρήσεως ἔχει τὴν προσηγορίαν, αὐτὴ δὲ στενοφυλλοτέρα τε καὶ λειοτέρα τῶν λοιπῶν ἐςιν. ἐδώδιμος δὲ καὶ ἡ τοῦ Ἄρου, καὶ αὐτὴ, καὶ τὰ φύλλα *προσαφεψηθέντα ἐν ὄξει· καὶ ἔςιν ἡδεῖά τε, καὶ πρὸς τὰ *ῥήγματα ἀγαθή. πρὸς δὲ τὴν αὔξησιν αὐτῆς, ὅταν ἀποφυλλίζουσιν, (ἔχει δὲ μέγα σφόδρα τὸ φύλλον) ἀνορύξαντες, στρέφουσιν, ὅπως ἂν μηδὲν βλαςάνῃ, ἀλλὰ πᾶσαν ἕλκῃ τὴν τροφὴν εἰς ἑαυτὴν, ὃ καὶ ἐπὶ τῶν βολβῶν τινες ποιοῦσι, συντιθέντες. ἡ δὲ τοῦ Δρακοντίου (καλοῦσι γάρ [d] τι, δρακόντιον Ἄρον, διὰ τὸ τὸν καυλὸν ἔχειν τινὰ ποικιλίαν) ἄβρωτος καὶ *φαρμακώδης. ἀλλὰ ἡ τοῦ Φασγάνου καλουμένου (ῥίζα) γλυκεῖά τε ἑψη-

[c] ἃ καὶ πρὸς ἑαυτὰ Const. [d] δρακοντίου Const.

θεῖσα, καὶ τριφθεῖσα μιγνυμένη τῷ ἀλεύρῳ ποιεῖ τὸν ἄρτον γλυκὺν καὶ ἀσινῆ· στρογγύλη δέ ἐστι καὶ ἄφλοιος, καὶ ἀποφύσεις ἔχουσα μικρὰς, ὥσπερ τὸ Γήθυον. [c] πολλὰς δὲ εὑρίσκουσι παρ' αὐτῇ τὰς σκολοπένδρας, χαίρει γὰρ αὐτῇ, καὶ ἐκεῖ [f] συλλέγεται τὸ ζῶον. ἡ δὲ τοῦ Θησείου [ῥίζα], τῇ μὲν γεύσει πικρὰ, τριβομένη δὲ κοιλίαν ὑποκαθαίρει. φαρμακώδεις δὲ τινές εἰσι καὶ ἕτεραι [ῥίζαι]· πολλῶν δὲ, οὔτε φαρμακώδεις, οὔτε ἐδώδιμοι. καὶ αὗται μὲν ἐν ταῖς ῥίζαις αἱ διαφοραὶ, κατὰ δὲ τὰ φύλλα, τοῖς τε μεγέθεσι καὶ τοῖς χήμασιν [διαφέρουσι], ὁ μὲν γὰρ Ἀσφόδελος μακρὸν καὶ στενότερον, καὶ ὑπόγλιχρον ἔχει τὸ φύλλον· ἡ δὲ Σκύλλα, πλατὺ καὶ * εὐδιαίρετον· τὸ δὲ Φάσγανον, ὑπό τινων δὲ καλούμενον Ξίφος, * ξιφοειδὲς, ὅθεν ἔσχε καὶ τοὔνομα· ἡ δὲ Ἶρις, * καλαμωδέστερον· τὸ δὲ τοῦ Ἄρου, πρὸς τῇ πλατύτητι, καὶ ἔγκοιλον καὶ [g] σαρκῶδές ἐστιν· ὁ δὲ Νάρκισσος, στενὸν καὶ πολὺ καὶ λιπαρόν· Βολβὸς δὲ, καὶ τὰ βολβώδη, παντελῶς στενά· καὶ τοῦ Κρόκου [h] δ' ἔτι στενώτερον. καυλὸν δὲ, τὰ μὲν οὐκ ἔχει τὸ ὅλον, ὥσπερ τὸ Ἄρον τὸ ἐδώδιμον· τὰ δὲ * τὸν τοῦ ἄνθους μόνον, ὥσπερ ὁ Νάρκισσος, (καὶ ὁ Κρόκος [i] ἐνίως ἔχει, καθάπερ καὶ ἡ Σκύλλα καὶ ὁ Βολβὸς, καὶ τὰ Βολβώδη, καὶ ἡ Ἶρις, καὶ τὸ Ξίφιον.) μεγίστον δὲ πάντων, ὁ Ἀσφόδελος, (ὁ γὰρ ἀνθέρικος μέγιστος,) ὁ δὲ τῆς Ἴριδος [καυλὸς], ἐλάττων μὲν, σκληρότερος δὲ, τὸ δὲ ὅλον * ἀνθεριχώδης. ἔστι δὲ καὶ πολύκαρπος ὁ Ἀσφόδελος, καὶ ὁ καρπὸς αὐτοῦ ξυλώδης, τῇ μὲν μορφῇ, τρίγωνος, τῷ δὲ [k] χρώματι, μέλας. γίνεται δὲ ἐν τῷ

[c] πολλὰς δ' εὑρίσκουσι παρὰ ταῖς σκολοπίαις, Bod. [f] συλλίγει Ald. Bas. [g] σικυῶδες Codd. [h] δί τι Bod. [i] ἔνια δ' ἔχει, Bod. [k] σχήματι, Bod.

στρογγύλῳ τῷ ὑποκάτῳ τοῦ ἄνθους, ἐκπίπτων δὲ τοῦ θέρους, ὅταν τοῦτο διαχάνῃ· τὴν δ' [l] ἄνθησιν ποιεῖται κατὰ μέρος, ὥσπερ καὶ ἐπὶ τῆς Σκύλλης· ἄρχεται δὲ πρῶτον ἀπὸ τῶν κάτωθεν, ἐν δὲ τῷ *ἀνθερίκῳ συνίσταται σκώληξ, ὃς εἰς ἄλλο μεταβάλλει ζῶον πτηνὸν [m] *ἀθεροειδές· εἶθ' ὅταν ὁ ἀνθέρικος αὐανθῇ, διεθίων ἐκπέταται. δοκεῖ δὲ ἴδιον ἔχειν πρὸς τὰ ἄλλα τὰ *λειόκαυλα, [ὁ Ἀσφόδελος] διότι γενὸς ὢν *ἀποφύσεις ἄνωθεν ἔχει· πολλὰ δὲ εἰς τροφὴν παρέχεται χρήσιμα· καὶ γὰρ ὁ ἀνθέρικος ἐδώδιμος *γαθευόμενος, καὶ τὸ σπέρμα *φρυγόμενον· πάντων δὲ μάλιστα ἡ ῥίζα κοπτομένη μετὰ σύκου καὶ πλείστην ὄνησιν ἔχει καθ' Ἡσίοδον. ἅπαντα μὲν οὖν φιλόζωα τὰ κεφαλόρριζα, μάλιστα δ' ἡ Σκύλλα. καὶ γὰρ κρεμαμένη ζῇ, καὶ πλεῖστον γε χρόνον διαμένει· δύναται δὲ καὶ τὰ θησαυριζόμενα σώζειν, ὥσπερ τὸ ῥόον, [n] ἐμπηγνυμένη τοῦ μίσχου, καὶ τῶν φυτευομένων δ' ἔνια βλαστάνει θᾶττον ἐν αὐτῇ. λέγεται δὲ καὶ πρὸ τῶν θυρῶν τῆς εἰσόδου φυτευθεῖσαν, ἀλεξητήριον εἶναι τῆς ἐπιφερομένης *δηλήσεως. πάντα δὲ ταῦτα *ἀθρόα φύεται, καθάπερ καὶ τὰ Κρόμμυα καὶ τὰ Σκόροδα, παραβλαστάνουσι γὰρ ἀπὸ τῆς ῥίζης· ἔνια δὲ ἀπὸ τοῦ σπέρματος φανερῶς, οἷον ὅ, τε Ἀνθέρικος, καὶ τὸ Λείριον, καὶ τὸ Φάσγανον, καὶ ὁ Βολβός· ἀλλ' ἴδιον τοῦτο τοῦ Βολβοῦ λέγεται, τὸ μὴ ἀπὸ πάντων βλαστάνειν ἅμα τῶν σπερμάτων, ἀλλὰ τὸ μὲν, αὐτοετὲς, τὸ δὲ, εἰς *νέωτα, καθάπερ τὸν [o] Αἰγίλοπά φασι, καὶ τὸν Λωτόν· τοῦτο μὲν οὖν, εἴπερ ἀληθὲς, κοινὸν ἑτέρων, κοινὸν δὲ

[l] αὔανσιν Bas. [m] ἀνθηροειδές· Bod. [n] ἐκπηγνυμένη Bod.
[o] γίλωπα Ald. γίγλωπα Bod.

ἴσως καὶ τὸ μέλλον λέγεσθαι, πλὴν οὐ πολλῶν· [p] θαυμαστὸν δὲ ἐπὶ πάντων, ὅπερ ἐπί τε τῆς Σκύλλης καὶ τοῦ Κρόκου συμβαίνει, τῶν μὲν γὰρ ἄλλων, καὶ τῶν ἐξ ἀρχῆς φυτευομένων καὶ τῶν βλαστανόντων, καθ' ὥραν τὸ φύλλον ἀνατέλλει πρῶτον, εἶθ' ὕστερον ὁ καυλός, [q] ἐπὶ δὲ τούτων ὁ καυλὸς πρότερον· καὶ τοῦ Κρόκου * εὐθυπρόωρον τὸ ἄνθος, τῆς δὲ Σκύλλης δὲ ὁ καυλὸς τοῦ ἄνθους ὕστερον, ἐπὶ τούτῳ δὲ τὸ ἄνθος ἀνίσχον προσκαθήμενον. ποιεῖται δὲ [ἡ Σκύλλα] τὰς ἀνθήσεις τρεῖς, ὧν ἡ μὲν πρώτη δοκεῖ σημαίνειν τὸν πρῶτον ἄροτον, ἡ δὲ δεύτερα, τὸν μέσον, ἡ δὲ τρίτη, τὸν ἔσχατον· ὅσαι γὰρ ἂν αὗται γένωνται, καὶ οἱ ἄροτοι σχεδὸν οὕτως ἐκβαίνουσιν. ὅταν δὲ οὕτως * ἀπογηράσῃ, τότε ἡ τῶν φύλλων βλάστησις πολλαῖς ἡμέραις ὕστερον. ὡσαύτως δὲ καὶ ἐπὶ [r] τοῦ Κρόκου, πλὴν οὔτε καυλὸν ἕτερον ἔχει παρὰ * τὸν τοῦ ἄνθους, ὥσπερ εἴπομεν, οὔτε καρπὸν φανερὸν, ἀλλὰ καὶ αὐτὸ τὸ ἄνθος ἅμα τῷ καυλῷ καταφθίνει, καὶ ὅταν [s] αὐανθῇ, τότε τὰ φύλλα ἀνατέλλει. πρὸς μὲν οὖν τὰ ἄλλα τὰ συνανθοῦντα, ταῦτα ἴδια, πρὸς δὲ τὰ [t] προανθοῦντα τῶν φύλλων καὶ τῶν καυλῶν, ὅπερ δοκεῖ ποιεῖν τὸ Τίφυον, καὶ ἕτερα τῶν ἀνθικῶν, ἔτι τε τῶν δένδρων ἡ Ἀμυγδάλη, μάλιστα ἢ μόνον, ὅτι ταῦτα μὲν οὐχ ἅμα τῷ ἄνθει προφαίνει τὸ φύλλον ἀλλ' εὐθὺς κατόπιν [δῆλον], ὥστε καὶ διαζητεῖσθαι περί τινων, ἐπὶ δὲ τούτων, οἷον εἰ ἀφ' ἑτέρας ἀρχῆς φαίνηται, καὶ διὰ τὸ πλῆθος τῶν ἡμέρων, καὶ διὰ τὸ μὴ πρότερον βλαστάνειν, πρὶν τῆς μὲν τὸ ἄνθος, τοῦ δὲ καὶ ὁ καυλὸς ὅλος

[q] Vid. not. ad fin. libri. [r] τοῦ Ναρκίσσου. Bod. [s] αὐανθῇ, Bod. ἀνανθεῖ, Const. [t] συνάμφω Bod.

ἀπογηράσῃ. ἡ δὲ βλάσησις, πρότερα μὲν τῆς Σκύλλης, ὑστέρα δὲ Κρόκου, πολὺ δὲ καὶ τὸ φύλλον οὗτος ἀφίησι, καί ἐστιν ἡ ῥίζα αὕτη οὐ μικρὰ, καὶ οὐ μεγάλη, προσεμφερὴς κατὰ τὸ σχῆμα τῷ βολβῷ· (πλὴν εἰ [u] λεπυρώδης;) ταῦτα μὲν οὖν ἔχει σκέψιν. τῶν δὲ Βολβῶν ὅτι πλείω γένη, φανερὸν, καὶ γὰρ τῷ μεγέθει, καὶ τῇ χρόᾳ, καὶ τοῖς σχήμασι διαφέρουσι, καὶ τοῖς χυλοῖς· ἐνιαχοῦ γὰρ οὕτω γλυκεῖς, ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι, καθάπερ ἐν Χερρονήσῳ τῇ Ταυρικῇ. μεγίστη δὲ καὶ ἰδιωτάτη διαφορὰ τῶν Ἐριοφόρων, ἔστι γάρ τι γένος τοιοῦτον, ὃ φύεται αἰγιαλοῖς· ἔχει δὲ τὸ *ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέσον εἶναι τοῦ τε ἐδωδίμου, τοῦ ἐντὸς, καὶ τοῦ ἔξω· ὑφαίνεται δὲ ἐξ αὐτοῦ καὶ *πόδεια καὶ ἄλλα ἱμάτια· διὸ καὶ ἐριῶδες τοῦτο, καὶ οὐχ ὥσπερ τὸ ἐν Ἰνδοῖς *τριχῶδες. πλείω δὲ καὶ τὰ βολβώδη, καὶ οὐκ ἐλάττω ταῦτα δὲ [x] καλεῖται, τὸ Λευκόϊον καὶ ἡ Βολβίνη, [y] καὶ ὁ *Πιτύων, καὶ Κύϊξ. καὶ τρόπον τινὰ τὸ Σισυρίγχιον. (βολβώδη δὲ ταῦτα, ὅτι στρογγύλα ταῖς ῥίζαις, ἔτι τοῖς τε χρώμασι λευκὰ, καὶ οὐ λεπυρώδη·) ἴδιον δὲ τὸ τοῦ [z] Σισυριγχίου, τὸ τῆς ῥίζης αὐξάνεσθαι τὸ κάτω πρῶτον, [a] κατὰ χειμῶνα, τοῦ δ' ἦρος [b] ὑποφαίνοντος τοῦ Ἴου, τοῦτο μὲν ταπεινοῦσθαι, τὸ δ' ἄνω τὸ ἐδώδιμον αὐξάνεσθαι· καὶ τὰ μὲν, τοιαύτας ἔχει τὰς διαφοράς.

[u] πυρώδις, πόϊξ. Bod. [z] Σισυρύγχιον, Const. [a] καλοῦσι χειμῶνα, Ald. Bas. [b] Vid. not. ad fin. libri.

[x] καθάπερ Bod. [y] ὀπιτίων, καὶ

CAP. XII.

Proprietates quædam Plantarum: Adianti, Aparines, Chelidonii, Heliotropii, Sempervivi, &c. &c.

ΙΔΙΑ δὲ καὶ ταῦτα ἐν τοῖς πόωδεσιν· [c] ὡς τὸ ἐπὶ τοῦ Ἀδιάντου συμβαῖνον, οὐδὲ γὰρ ὑγραίνεται τὸ φύλλον βρεχόμενον· ὃ μὲν ἐπίδηλόν ἐστι διὰ τὸ τὴν *νοτίαν ἐπιμένειν, ὅθεν καὶ ἡ προσηγορία. γένη δ' αὐτοῦ δύο, τὸ μὲν, λευκὸν, τὸ δὲ, μέλαν· χρήσιμα δὲ ἀμφότερα πρὸς ἔκφυσιν κεφαλῆς τριχῶν ἐν ἐλαίῳ τριβόμενα· φύεται δὲ μάλιστα πρὸς τὰ ὑδρηλά· ὡς δὲ οἴονταί τινες, καὶ πρὸς στραγγουρίαν τὸ Τριχομανὲς [d] *ποιεῖ· ἔχει δὲ τὸν καυλὸν ὅμοιον τῷ Ἀδιάντῳ, τῷ μέλανι, φύλλα δὲ μικρὰ σφόδρα καὶ πυκνὰ, καὶ πεφυκότα καταντικρὺ ἀλλήλων· ῥίζα δὲ οὐχ ὑπέστη, χωρία δὲ φιλεῖ σκιερά. τῶν δὲ κατὰ μέρος ἀνθούντων ἴδιον τὸ περὶ τὸ Ἄνθεμον, ὅτι τῶν μὲν ἄλλων πάντων ἴδιον τὰ κάτω πρῶτον [e] ἀνθεῖν, τούτου δὲ, τὰ ἄνω· τυγχάνει δ' αὐτοῦ τὸ μὲν κύκλῳ, τὸ λευκὸν ἄνθος, τὸ δὲ ἐν τῷ μέσῳ, χρύσουν· καὶ καρπὸς ὃς ἐκπίπτει καθάπερ τοῖς ἀκανθώδεσι, καταλείπει τὴν *πρόσφυσιν κενήν· εἴδη δ' αὐτοῦ πλείω. ἴδιον δὲ καὶ τὸ περὶ τὴν Ἀπαρίνην, ἣ καὶ τῶν ἱματίων ἀντέχεται διὰ τὴν τραχύτητα, καὶ ἔστι δυσαφαίρετον. [f] ἐν τούτῳ γὰρ ἐγγίνεται τῷ τραχεῖ τὸ ἄνθος, οὐ προϊὸν, οὐδὲ ἐκφαῖνον, ἀλλ' ἐν ἑαυτῷ πετῖόμενον καὶ *σπερμογονοῦν. ὥστε παρόμοιον εἶναι τὸ συμβαῖνον, ὥσπερ ἐπὶ τῶν *Γαλέων, καὶ [g] *Κυνῶν. ἐκεῖνά τε γὰρ ἐν

[c] ὡς deest Bod. [d] ποιεῖν ἔχειν. Ald. Bas. [e] ἀπανθεῖν, Bod. [f] Vid. not. ad fin. libri. [g] Κρηνῶν. Bod. ῥίνων. Idem notis. ἔχων. Theod.

ἑαυτοῖς ὠοτοκήσαντα ζωογονεῖ. καὶ αὐτὴ τὸ ἄνθος ἐν ἑαυτῇ κατέχουσα καὶ πέττουσα καρποτοκεῖ. [p] Ὅσα δὲ ἀνθῇ, ἢ βλαστάνει ἀκολουθοῦντα τοῖς [q] ἄστροις, οἷον τὸ Ἡλιοτρόπιον καλούμενον, καὶ ὁ Σκόλυμος, (ἅμα γὰρ ταῖς τροπαῖς καὶ οὗτος,) ἔτι δὲ τὸ Χελιδόνιον, καὶ γὰρ τοῦτο ἅμα τῇ [r] Χελιδόνι ἀνθεῖ· ταῦτα δὲ δόξειεν ἂν τῇ μὲν φυσικὴν ἔχειν τὴν αἰτίαν, τῇ δὲ *συμπτωματικήν· πολλὰ δὲ τοιαῦτά ἐστι καὶ ἐν ἑτέροις ἴδια· διὸ καὶ ἡ τοῦ Ἀειζώου φύσις, τὸ διαμένειν ὑγρὸν ἀεὶ καὶ χλωρὸν, φύλλον σαρκῶδες ἔχον, καὶ λεῖον, καὶ *πρόμηκες. φύεται δὲ ἔν τε [s] τοῖς *ἀλοπέδοις καὶ τοῖς ἐπὶ τῶν τοίχων *ἀνδήροις, καὶ οὐχ ἥκιστα ἐπὶ τῶν κεράμων, ὅταν ἐπιγένηται γῆς τῆς ἀμμώδους συῤῥοή. πολλὰ δ' ἄν τις ἴσως λάβοι, καὶ ἕτερα περιττά. χρὴ δὲ, ὥσπερ πολλάκις εἴρηται, τὰς ἰδιότητας θεωρεῖν, καὶ τὰς διαφορὰς πρὸς τὰ ἄλλα· τὰ μὲν γὰρ ἐν πλείοσιν ἰδέαις ἐστὶ, καὶ σχεδὸν οἷον ὁμωνύμοις, ὥσπερ ὁ Λωτός. (τούτου γὰρ εἴδη πολλὰ, διαφέροντα καὶ φύλλοις, καὶ καυλοῖς, καὶ ἄνθεσι, καὶ καρποῖς, ἐν οἷς καὶ [t] ὁ Μελιλώτος καλούμενος·) καὶ δυνάμει διττῇ κατὰ τὴν *προσφοράν. [u] ἔτι τε τῷ μὴ τοὺς αὐτοὺς τόπους ζητεῖν, ὁμοίως δὲ καὶ ἕτερα πλείω· τὰ δὲ ἐν ἐλάττοσιν, ὥσπερ ὁ Στρύχνος ὁμωνυμίᾳ τινὶ παντελῶς εἰλημμένος· ὁ μὲν γὰρ ἐδώδιμος, καὶ ὥσπερ ἥμερον καρπὸν ἔχων, *ῥαγώδη· ἕτεροι καὶ δύο εἰσὶν, ὧν ὁ μὲν ὕπνον, ὁ δὲ μα-

[p] ὅσα δὲ τὰς ἀνθήσεις βλαστάνουσιν Const. [q] ἀγρίοις, forsan ἄστροις. Codd. [r] χιλιδονίᾳ Ald. Bas. [s] τοῖς τάφροις, καὶ πέτροις Const. [t] ὁ μελίας σῖτος Bod. [u] ὅτι τι Bod.

νίαν ἐμποιεῖν δύναται· πλείων δ' ἔτι δοθεὶς, καὶ κτείνει. ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων ἐστὶ λαβεῖν, ἃ πολλὴν ἔχει διάστασιν. περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν ἱκανῶς εἴρηται, περὶ δὲ Σίτου καὶ τῶν σιτωδῶν, μετὰ ταῦτα λεκτέον. τοῦτο γὰρ ἔτι κατάλοιπον ἦν.

NOTÆ

IN LIBRUM SEPTIMUM.

CAP. I.

Τρεῖς ἄροτοι. Accentus discriminat sensum. Vid. Bod. In antepenultima, sementes: in penultima, arationes.

Πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν. Ratione ortus ususque. Theod. Sed ἡ σπορὰ καὶ γένεσις dicitur ἐν ἐναντίοις πρὸς τὴν χρείαν. Certe sementes et messes contrariæ; sic ergo corrigendum: οὐ πρὸς τὴν σπορὰν καὶ γένεσιν, ἄλλα πρὸς τὴν χρείαν: ideoque ἀρότους denominari non ex satione, sed ex messe. Vid. Col. xi. 3. Pallad. ii. Cassian. Bas. xii.

Μεταγειτνιῶνος. Mensis Atticus incipit xxii die Julii. Bod.

Γαμηλιῶνος. Mensis octavus Atticus.

Μουνιχιῶνος. Mensis Martius. Bod.

Ἀνδράχνη. Duplex occurrit Ἀνδράχνη: 1. Arbuti species. 2. Portulacæ species. Ita Plinius xiii. 23. "Andrachnem "omnes fere Græci Portulacæ nomine interpretantur." E contra Helladius (Photii Biblioth.) ait Atticos non Ἀνδράχνην sed Ἀνδράχλην herbam Portulam vocare. Melius forsan omisso ν, ab ἄδρος, Ἀδράχνη, ex pinguedine folii.

Δυσφυέστατον τὸ Σέλινον. Vetus adagium de Apio, *Petroselino* L.

Ἐν τόπῳ πιρισκιτῇ. Non de aere, ut Theodorus interpretatur.

Τὸ δὲ Τεύτλιον. Codd. omnes τελευταῖον: errore manifesto, supra enim dicitur, Τεύτλιον θέρους ἑκταῖον, χειμῶνος δὲ δεκαταῖον.

Ἀδρυνθέντα. Perfecte matura. N. B. Exemplum sumitur ex plantis sylvestribus, cujus fructus non nisi maturo decidit.

Οὐκ ἐνιαύσια: i. e. non anno quo seruntur, sed sequenti.

CAP. II.

Ἡ Ῥαφανίς. Ita emendavi secundum Bod. qui Raphanum, *rusticanum* Bauhini hic indicari vult. Cochleariam, *armoraceam* L. hoc loco describi nullus dubito. Notandum tamen Ῥαφανίδα duplicem apud Theophrastum inveniri: 1. Cochl. *armoraceam*. 2. Raph. *sativum*.

Ἐπὶ τῆς Ῥαφάνου. Brassica, *oleracea* instar Lactucæ antiquitus ἐκ παρασπάδων, "from sprouts."

CAP. III.

Εἰς δὲ ταύτην τὴν παχείαν. Textum omnium judicio corruptissimum emendare conatus sum, adeo ut descriptio congruat cum sensu. In bulbis enim Brassicæ *Napæ*, necnon in radicibus fusiformibus Raphani *sativi*, radiculæ exiles producuntur κατὰ χρείαν, sc. ad alendas radices vel bulbos: aliter enim si majores forent, detraherent de mole illorum.

Τῶν πολυκαύλων. Emendavi textum quoad ὁμόκαυλον. Textus Bod. supra ῥόκαυλον, omisso forsan νευ. N. B. Τὰ μονόῤῥιζα τῇ παχείᾳ, plantæ radice fusiformi. Bot. Opponitur τοῖς βραχύῤῥιζοις.

Τὸ Κορίαννον. Inter λάχανα recensetur, quia usus ejus ad saporem in jusculis et condimentis.

Εὔζωμον. Saturcia, *hortensis*. Cat. sed rectius Brassica, *erucastrum* L. semina enim in usu ἀντὶ Σινηπίως. Diosc. ii. 170.

CAP. IV.

Ἀνθεῖ δὲ τὰ μέν. Initium capitis novi, ut monet Scaligerus. N. B. Verba τῶν μὲν ἄλλων (Codd.) omittuntur.

Ἅπαντα. . . . πολύκαυλα. Ita corrigo vice πολύκαρπα, ut vitetur tautologia.

Ποιεῖν τὸ Σέλινον. An error textus vel ellipsis? καταβαίνειν?

Τοῖς σχήμασιν ἐξομοιοῦται. Sensus est, radices vel fructus crescendo accipere formam cavitatis ubi crescunt.

CAP. V.

Ῥίζαν γυμνήν. Sc. extantem e terra.

Τῆς ὁμοιώσεως. Obscura lectio, si sana. Sensus est, plus vel minus similitudinis inesse.

Ὁμοίως ἐν ἐκείνοις. Secundum Scaligerum, varietates cultæ opponuntur τῇ ἀγρίᾳ φύσει: sed lectio confusa, et, ut videtur, parum sana.

Τὸ δὲ στρογγυλόκαυλον. Vox hæc omittitur in textu: sed ex tribus Lactucæ speciebus supra memoratis duæ solummodo hic describuntur, sc. Laconica, et Platyphylla; ergo characteres ὀπῶδες κ. τ. λ. Θ. στρογγυλόκαυλῳ referendi.

Τῶν δὲ Σελίνων. Transpositio et confusio textus. Certe voces λευκόκαυλα, πορφυρόκαυλα, ποικιλόκαυλα non Apio, *petroselino* tribuendæ, sed Lactucæ. N. B. Uncis inclusi quæ de Σελίνῳ.

Καθάπερ τῆς Ῥαφανίδος. Raphanus, *sativus* L. hic indicatur, cujus varietates enumerantur. N. B. 2. Ῥαφανὶς, Cochlearia, *armoracea* L. supra memoratur, cujus non dantur varietates.

Τὰς μὲν βελτίους. De Colocyntha. Mira ellipsis.

Τελειοῦται ταῖς γέλγισι. Codd. τοῖς ἄλλοις. Nota loquutionem, ait Scaligerus. Supra memoratur species ἄγονος. Forsan τοῖς ἄλλοις ex linea superiori? certe hic redundant.

Ὅλα δὲ φύεται. Totum caput Allii, non γέλγιδες separatim.

Μετὰ τῆς Φύσιγγος. Ex Constant. correxi: apud quem vox Φύσιγξ, membrana caput Allii et Cepæ obvolvens; assentante Gaza. Secundum Bodæum ἐπὶ τῆς σφύριγγος: σύριγγος Ald. quæ voces scapum fistulosum in Alliis denotare possint.

CAP. VI.

Τὰ θηρία ἐγγινόμενα. Bestiolas innascentes. Plin. N. B. Qualitates aquæ salsæ et stagnantis notantur voce δυσμάνεις, sc. quæ ægre evaporantur.

Τὸ πρῶτον ἀρδευόμενον. Tempore sationis: per initia. Plin.

Γνωρίζειν. An pro γινώσκειν? Aliter intellige probare: hinc enim ἐμπειρία horticultoris eminet, cognoscendo quando plantæ aqua indigeant, vel non.

Γλήχων. Ita repono ex conjectura Scaligeri, sed rectius γλίσχρα ἅπαντα. Vid. Lex. Theophr.

Ὑγρανσις. Codd. omnes, Const. excepto, habent κρᾶσις, ἀθροισθεῖσα, humor collectus. Theod. Sed κρᾶσις ὕδατος, si detur, turbidam et mixtam aquæ infusionem denotat: et forsan vera lectio.

Καὶ ἐν οἷς (sc. ἄλλοις πολλοῖσι supra). Plinii verba sunt: "Porro (sc. Πράσῳ Theophr.) animalia innascentia facillime "stercore injecto capiuntur, condentia sese in id."

Λευκαίνεται. Pallescit. Theod. Rectius tamen λευκῇ, morbo afficiuntur. Vid. Lex.

Ἁλμάομαι. Salsugine afficior. Theod. Notandum tamen ἁλμὴν morbum plant. quarundam secund. Theophr. Morbi hi forsan ex morsu Aphidum. Vid. lib. i. not.

Ἐν τοῖς ἰνώδεσι. Acerbis. Theod. ex alia voce in textu. Bod. inepte legit ἐν τῷ Σικυῶνι, quem merito reprehendit Scaligerus. Naturæ consentaneum videtur, semina aromatica minime vermibus tangi: sed quærendum, an evaporatione et senio πικρὰ evadant?

CAP. VII.

Περὶ δὲ τῶν ἀγρίων. Initium capitis novi juxta Scal.

Ὁμώνυμα τοῖς εἰρημένοις. Sensus est, ejusdem sunt generis, etsi habitu varii.

Λάπαθον ἄγριον. . . ἥμερον. Λάπ. ἄγριον. Species omnes Linn. sub nominibus *Patientiæ*, *crispi*, *pulchri*, *maritimi*, *divaricati*, *acuti*, *obtusifolii*, *aquatici*, continere videtur, quorum nullus ad cibos usus, nec in hortis locus. Λάπ. ἥμερον e contra Acetosas veterum et Oxalidas, ex succo acri ita vocatas designabat auctor, quæ cultura pinguiores, et magis grati saporis. Vid. Plin. xix. 12. It. Ὀξυλάπαθον Diosc. ii. 140.

Ἰδίως ἡ Ῥάφανος. Brassicam oleraceam sylv. et cult. hic describit auctor. Varietates innumeræ Brassicæ L. unde præcipua materies culinaria antiquitus æque ac apud nos. Notandum tamen Brassicam, *campestrem* L. spec. seorsum. Bras. oleracea sylvestri statu in clivis maritimis ubique reperitur.

Γογγυλὶς ἄγρια. Omissa in Cat. N. B. Descriptio respondet Rhaphano, *Rhaphanistro*, L.

Ἱππροσέλινον. . . . Ἐλειοσέλινον. . . . Ὀρεοσέλινον. Plantæ hæ, secundum Theophrastum, varietates Σελίνου, Apii *Petroselini*, in hortis usitatissimi: longe tamen diversa Botanicorum recentiorum mens. Vid. Cat. item quæ Dioscor. de Σμυρνίῳ, &c. &c. lib. iii. c. 179.

Καθάπερ ἡ Ἰωνία. De sylvestri varietate hic sermo est. Quæ inodora vocatur? Hinc liquet Violam, *caninam* L. Ἰωνίαν ἀγρίαν a Theophrasto vocari.

CAP. VIII.

Ἐν τῷ καθόλου. In summa universorum, Theod. i. e. λάχανα generali sensu plantas edules et inedules amplectere videtur. Distinctio sumitur inter λάχανα et πρώδη.

Ταῦτα καλεῖται. Non tamen ἔστι. Scal. i. e. speciem trahentia.

Χονδρύλλα. Chondrylla. Cat. N. B. Species plures κιχωριώδεις ad cibos antiquitus usitatæ hic recensentur. Vid. Plin. xxi. 15, 17.

Ἀνδρυαλία. Andryala, *integrifolia*. Cat. minus recte tamen. Notandus error Plinii, qui Chondryllam ait inedulem esse, ubi pro Τραχοιρίδη usurpatur.

Ἀνθρίσκος. Ita ex margine reposui pro Ἐνθουσίκῳ, qui in Catalogo, Thymus, *mastichina* L. Ita conjici ex pungente, et sensus opprimente, odore. Plinius tamen Anthriscum vertit, utpote Scandicis speciem. N. B. Scandix, *Anthriscus*, et Caucalis, *Anthriscus* apud Linneum occurrunt: apud Ger. em. Scandices 2. Caucalides, 6. p. 1021—1040. Planta hæc forsan Scandix, *odorata* L.

Ἡδύοσμος. Ἐνθουσίκου syn. Cat. Certe tamen liquet ex Plinio xix. 8. Menthæ species innui: "Menthæ nomen ἡδύοσμος an-"tiquitus ex suavitate odoris."

Κάλυκα μεγάλην. Κάλυξ hoc loco perianthium Tragopogonis. Τοιαῦτας ἰδίας ἔχει. Ejusdem formæ. Theod. Æque papposo semine.

Στρύχνος εὐήπατος. Solanum, *melangina* L. Forsan efficax in morbis jecinoris. Ang. "Egg Plant."

Κόρχορος. HIERACIUM? Cat. Φύλλῳ ὠκιμώδει: quærendum de Ὀκίμῳ.

Πάντων δέ. Per ellipsin nimiam; obscurus textus: sensus

est, omnes plantas supra recensitas distribui debere in ἐπετείας (annuas); et ἐπετειοκαύλους (perennes), sc. quarum caules pereunt, radix durat.

Κύνωπος. Plantago, *Cynops* L. Cat. Plin. in loco ait Acinos, quem tamen viri docti pro Achynops interpretantur; sed ex flore ringente canis os apertum referente, Antirrhini speciem sisto. Bodæus censet Κυνοκεφάλιον plantam hanc vocari, an Antirrhinum *majus?* P. 820, 822.

Βούπρηστις. Bupleurum. Cat. Βούπρ. Cantharidis species, et λαχάνου εἶδος ἀγρίου. Dioscor. in libro Περὶ Ὑγιείων Βούπρηστιν describit, qui tamen periit. Plinius ait: "caule cubitali, foliis "multis, longis; capite Anethi simili." Vid. Nicandr. de Theriacis. B. Ptarmicæ speciem vocat Dodon. rectius vero B. *falcatum* L. cujus syn. B. latifolium Monspeliense, cujus icon (Ger. em. p. 608.) florem umbelliferam Anethi similem exhibet.

Ἀφία. Caltha, *palustris*. Cat. Ita Bod. Sed genus dicitur κιχωριώδες. An pro Ἀφάκα? Ita apud Plin. xxi. 15. Vid. etiam infra πλὴν ἡ μὲν Ἀφάκη.

Ἐπίπετρον. Alchemilla, *arvensis*. Cat. Ita vocavi, quia flos ex parvitate inconspicuus, ideoque ἀνάνθης? Dicitur maxime omnium vivax. Forsan ergo ex succulentia et ex loco natali in rupibus Parnassi, Sempervivi species diversa ab Ἀειζώῳ, vel Sedi, L. N. B. Alii legunt Ἐπιμήδιον: vid. Diod. lib. iv. c. 19. et certe parvitas florum, necnon occultatio sub foliis æque descriptioni pl. ἀνάνθους favet.

Ἔστι κοινὸν ἁπάντων. Sc. flores proferre.

Πλὴν ἡ μὲν Ἀφάκη. Plantæ hujus mentio cap. 8, 11. ut species κιχωριώδης, et amara, semine papposo. Bodæus censet Leontodon *taraxicum* L. indicari: sed minus recte. N. B. Hyoseris, *hedypnois* L. caule folioso. Planta Hieracii affinis hic intelligenda. Tragopogonis etiam species Dalecampii a Linn. vocatur, Hedypnois Bauhini. Vid. de hac planta Plin. xx. 8.

CAP. IX.

Ὀρθόκαυλα καί. Codd. omnes νευρόκαυλα: sed certe legendum ὀρθόκαυλα καὶ ἐπιγειόκαυλα.

Πιτύϊνη. Ajuga, *Chamæpitys*. Cat. Error typogr. pro Teu-

crium, *Chamæpitys*. N. B. Species humifusa; non, ut apud Bod. erecta: p. 826.

Ἀπαρίνη. GALIUM. Cat. Suspicor tamen duo genera: diversa hic et c. 14. describi.

Ἀπαράβλαστα τὰ λειόκαυλα. Hac voce scapi Bot. describuntur, quæ nunquam ramosi.

Ἀνθέμιον. Anthemis. Cat. Alii putant Nigellam describi hic.

Πόα. Vox generalis, plantas herbaceas amplectens: hic tamen gramina solum.

Φυλλανθές. Omissum in Cat. Secund. Bodæum, Scabiosa, *arvensis* L. ex calyce folioso. "Foliosum gerit floris floscu-"lum." Bod. p. 840.

Ἀπαργία. Omissa in Cat. Hieracium, *minus*. Dodon. Hieracium, *cymosum* L. Præmorsa radice. Bod. p. 841.

Λωτός. Tres Loti in Catal. occurrunt. Planta hæc, Lotus, *melilotus* L.

Λευκόϊον ἐπικαυλόφυλλον. Certe non de Leucoio L. si textus sanus. An ἐπιγειόφυλλον?

Ἀκανθώδεσι κομιδῇ, sc. ἐκφύσεσι supra.

Ἄχρι φύλλων ἀφικνεῖται. Usque ad foliationem solummodo.

Ὥσπερ ἐπὶ τῶν δένδρων, sc. respectu diœciarum. Bot.

Τῶν μὲν [τὸ ἄνθος]. Ita suppleo voces, monente Bodæo: e. g. respectu Tussilaginis, Equiseti, &c.

Καὶ σχεδὸν ἐν τῇ ἀρχῇ. Sed quærendum an de foliis plantarum edulium μέγιστα ἐν ἀρχῇ dici potest. Forsan error textus.

Προωθεῖ τινα καυλόν. De arboribus cujus rami sensim producuntur.

Ὡς ἐν ἄλλοις εἴρηται, sc. βιβλοις, ut alibi narratur. Vid. lib. ix.

Ἀρχομένου χειμῶνος. Quinque anni tempora hic notantur.

Κατὰ τὸ μᾶλλον, subint. ἢ ἧττον: plus minusve.

Ὑπὸ τῶν ὑδάτων. Forsan pluvias immaturas, vel tempora anni "Monsoons" dicta.

Καθάπερ ὁ Σκόλυμος. Florescentia plantarum indicat anni tempus, et Scolymus juxta Hesiodum floret cum Cicada:

Ὅταν ἤχετα Τέττιξ,
Δενδρέῳ ἐφεζόμενος λιγυρὴν κατεχευε' ἀοιδήν.

Κονύζης καὶ Καππαρίδος. Vid. lib. vi. c. 5.

Κατὰ μίαν, sc. ὥραν. Adv. simul.

Ἐκ περιόδου ἡ βλάστησις. N. B. Tempora anni notantur ὑπὸ τροπάς· ὑπὸ κύνα· μετ' ἀρκτοῦρον, quæ succedunt in circulo.

Εἰς ἀφορισμὸν ἀρχῆς. Ad determinandum principium germinationis. Vid. ἀρχὴ βλαστήσεως.

Πόλιον. Teucrium, *Creticum*. Cat. Forsan T. *montanum* vel T. *Polium* L. Icones exhibentur a Bodæo Polii campestris et montani. P. 844. Nomen derivatur a canitie foliorum. N. B. Planta hæc non occurrit in textu Bod.

CAP. X.

Σταχυώδη καὶ κιχωριώδη. Novum caput institui, ex iis quæ sequuntur textu emendato. N. B. Σταχυώδη plantæ thyrsifloræ. Bot.

Ἐκ τῶν φανερῶν. Ex partibus plantæ supra terram: opponitur ταῖς ῥίζαις.

Ὅ τε Χήνωψ. Omissa in Cat. N. B. Bodæus censet Κύνωψ pro Χήνων in textu reponi, et hinc apud Linn. planta hæc σταχυώδης Plantagini refertur: sed Κύνωπος supra mentio fit c. 9. ut Antirrhinum. Forsan Χήνωψ ex rostro anseris, ut Κύνωψ ex facie canis. Alibi planta Χηνοπόδιον vocatur ex pede anserino a Diosc. N. B. Quid si Κυνόγλωσσον sistemus, σταχυώδη genus?

Πλείους ἔχων ἰδέας. Cujus multæ species.

Ἀλωπέκουρος. Alopecurus. Cat. Bot. N. B. Icones duæ Alopec. in Flor. Græc. occurrunt nullomodo caudam vulpinam referentes; Phlei tamen criniti spica ibid. tab. 63. simillima. Nomen hodiernum Alopecuri graminis Ἀλωπουνούρα. Ex diversa tamen vocis σταχυώδους acceptatione Bodæus conjicit Trifolium quoddam, inter Lagopoda L. indicari.

Τὰ δὲ κιχωριώδη. Divisio plantarum ex habitu. N. B. Hic dicuntur ἐπετειόφυλλοι: mallem legere ἐπετειόκαυλοι, quia præcipua plantæ perennis distinctio.

Ἡ Ἀφάκη. Vid. supra c. 8. sed quære, annon plantæ diversæ ex habitu diverso. Supra legitur in codd. quibusdam Ἀφία.

Ὅλον ποιεῖ τὸν χειμῶνα. Elliptice, ἄνθησιν subaud. si non sensus vocis ποιέω ita acceptandus.

CAP. XI.

Ταῦτα μὲν οὖν, sc. τὰ σταχυώδη supra.

Εἴρηται πρότερον, sc. c. 9.

Ἀπὸ τῆς χρήσεως. Usus medicinalis: hinc nomen Medici Inventoris accepit.

Τοῦ Φασγάνου. Duplex occurrit Φάσγανος: vid. Cat. Gladiolus. Hic Ari species, cujus radix edulis.

Κατὰ δὲ τὰ φύλλα. Initium cap. apud Bod. sed continuatio evidens subjecti.

Σαρκῶδες. Ita contra fidem codd. sed juxta naturam.

Ἄρον ἐδώδιμον. Pancratii species, secund. Bod. vid. iconem P. veri, Clus. p. 876. N. B. Ari succus acris valde.

Κρόκος δι' ἐνίως ἔχει. Crocus vernus, et autumnalis acaules: C. *aureus* tamen Flor. Gr. "tubo longissimo." Forsan apud Theophr. cauliger dictus.

Ὁ Βολβός. . . κατ' ἐξοχήν. Plantæ quædam sylvestres (ἀρουραῖοι) a Theophrasto et Plinio hoc nomine describuntur: vid. Plin. de bulbo vomitorio, eduli, &c. Forsan Muscari antiquorum Hyacintho affine. Vid. Ger. em. 120.

Ἀποφύσεις ἔχει. Dantur apud nos Asphodeli species ramosæ.

Οὗ ὁ ἀνθέρικος. N. B. Duplex sensus vocis hujus: 1. plantam designat: 2. pericarpium in Liliaceis, ut videtur, sic infra vermis dicitur generari in pericarpio Asphodeli.

Κοπτόμενα μετὰ σύκου. Tunsa cum fructu Fici. Modus præparandi medicamenta.

Ἀλεξητήριον δηλήσεως. Amuleti genus.

Θαυμαστὸν δ' ὅπερ ἐπὶ τῆς Σκύλλης· Textus Codd. θαυμαστὸν δ' ἐπὶ πάντων. Suspicor vocem πάντων hoc loco lineæ inferiori inserendam post ἄλλων, sensu suadente; non potest enim τὸ κοινὸν ἑτέρων θαυμαστὸν εἶναι.

Εὐθυτρόωρον γάρ. Ita Scal. sine commentario. Vox hæc nullibi, quoad scio, occurrit. Germinatio erecta et præcox indicari potest ex vi verbi: sed forsan εὐθύπορον vel εὐθυτορεῖ substituendam; quæ voces apud Theophrastum occurrunt.

Τῆς Σκύλλης καθ' αὑτὸν, sc. βολβὸν, ut videtur.

Πρὸς δὲ τὰ προανθοῦντα. Sensus est, plantas quæ sequuntur addendas numero illarum quarum flores præcedunt folia.

Τίφυον. Omittitur in Catalogo. Forsan Narcissus *Persicus*, Bod. sed nulla ejus mentio apud syn. Linn. Anne Colchici vel Iridis species? Secundum alios Tussilago indicatur, cujus flos præcedit folia.

Τῶν Βολβῶν. Hic et alibi mentio τῶν Βολβῶν. Vid. Bulborum quatuor genera, Plin. xix. 2. Bulbus hic dicitur edulis esse (ὠμός); alius apud Plin. et Dioscor. vomitorius. Vid. etiam Ger. em. 120.

Βολβὸς ἐριόφορος. Hyacinth. Peruv. Cat. minus recte tamen, nisi orbis veteris æque ac novi incola. Usus in lanificiis antiquitus notissimi. Plin. loc. cit. "impilia," ait, "fieri ex lana "radicis hujus." Ex Girardo accepimus Medicum quendam Germanicum ex Constantinopoli Carolo Clusio bulbos quosdam Eriophoros misisse, qui floruere apud ipsum, et cujus iconem Girardo communicatum videre est, p. 121. Bulbi tamen Girardo communicati diu manserunt sine ullo floris vestigio. Flos apud Ger. em. Hyacintho, *botryoidi* similis, spica flor. cærulea. N. B. Ex lanoso bulbo species quædam forsan Bulbocodium appellabatur. (Βολβοκωδία, i. e. bulbus vellere cinctus.) Hinc forsan genus Bulbocodium L. 422. cujus syn. Colchicum *vernum* Bauhini et Clusii.

Τριχῶδες τὸ ἐν Ἰνδοῖς. Serica materies Sinensium, capillarum instar nitens, hic clare describitur: opponitur τῷ ἐριώδει, Gossypinæ.

Οὐκ ἐλάττω ταῦτα καλεῖται. Ita emendavi ut sensus sit: hæ etiam non minus reputantur bulbosæ. Sed quære.

Βολβίνη. Scylla, *unifolia*. Cat. "Bulbinem Græci vocant "herbam porraceis foliis, rubicundo bulbo." Characteres distinctivi. Anne Hyacinthus, *muscari* L.?

Ὁ Πιτύων. Euphorbia, *Pithyusa*. Cat. sed quærendum de radice bulbosa: rectius forsan E. *bulbosa* L.

Ὁ Κύϊξ. Omissa in Cat. N. B. Ibi reperitur Κόϊξ, cujus mentio lib. i. c. 16. ut καλαμόφυλλος.

Σισυρίγχιον. Iris, *Sisyrinchium*. Cat. N. B. Ixia, *Sisyrinchium* L. Βολβοκοδίῳ Theophr. ascribitur. Flor. Græc. Sed notandum Σισυριγχίου radicem hic ἐδώδιμον dici, utpote supra Flor. Græc. fasc. 1mo. radix Ixiæ *Sisyrinchii*. Peculiaris crescendi methodus respectu bulborum notatu dignus: vid. icon. apud Bod. p. 880.

simile quoddam notavit Fab. Colonna: "Inanis bulbi cortex "anno proximo reperi supra vegetum bulbum."

CAP. XII.

Γαλέων καὶ Κυνῶν. Animalia marina vivipara secund. Scal. Galea et Squatina, Plin. in loco. N. B. Bodæus pro Κυνῶν legit ῥίνων, quia propius vulg. lectioni χρόνων. Constant. substituit ἴχεων, quæ magis arridet, animal enim manifeste viviparum æque ac squalus piscis.

Ἀπαρίνη. Galium, *verrucosum:* an Arctium, *Lappa* L. Cat. Bodæus censet de vulgata Aparine intelligendum. Libet subjicere accuratam plantæ hujus descriptionem ex Diosc. lib. iii. c. 104. Constat κλῶσι πολλοῖς μακροῖς, τετραγώνοις, τράχεσι· φύλλα δ' ἐκ διαστήματος κυκλοτερῶς περικείμενα (folia verticillata, Bot.) ὥσπερ τὰ τοῦ Ἐρευθεδάνου. ἄνθη λευκά· σπέρμα σκληρὸν, λευκὸν στρόγγυλον, ὑπόκοιλον ἐν μέσῳ ὡς ὄμφαλος. N. B. An pericarpium orbiculare hic sumitur pro semine, ut apud Theophrast. Pericarpium Galii apud Linn. G. P. 125. "Baccæ "siccæ duæ, globosæ, *coalitæ*." Hinc forsan cavitas in medio ὄμφαλος dict. et similitudo ovi in animalibus.

Χελιδόνιον. Chelidonium majus. Succus croceus apud Diosc. describitur. Ἀκουλουθεῖν τὰ ἄστρα dicitur, quia certo anni tempore floret; sc. adventu Hirundinis, unde nomen.

Τὴν μὲν φυσικὴν, sc. partim naturaliter, partim ex accidente.

Σχεδὸν ὁμωνύμοις, sc. ἰδίαις. Plantæ sub nomine communi, inter se tamen diversæ, plus minusve: exemplis Loti *Meliloti*, Strychin speciebus.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Η'.

CAP. I.

Frumentacea et Leguminosa : Tempora Sationis.

ΠΕΡΙ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν, ἱκανῶς εἰρήσθω, περὶ δὲ Σίτου καὶ τῶν σιτωδῶν λέγωμεν ὁμοίως τοῖς πρότερον, τοῦτο γὰρ κατάλοιπον ἦν τῶν ποωδῶν. δύο δὲ αὐτοῦ γένη τὰ μέγιστα τυγχάνει· τὰ μὲν γὰρ σιτώδη, οἷον Πυροὶ, Κριθαὶ, Τίφαι, Ζειαὶ, καὶ ἄλλα τὰ *ὁμοιόπυρα, ἢ *ὁμοιόκριθα. τὰ δὲ, *χεδροπὰ, οἷον Κύαμος, Ἐρέβινθος, Πισὸς, καὶ ὅλως τὰ *ὄσπρια προσαγορευόμενα· τρίτον δὲ παρ' αὐτά· Κέγχρος, Ἔλυμος, Σήσαμον, καὶ ἁπλῶς τὰ ἐν τοῖς θερινοῖς *ἀρότοις ἀνώνυμα κοινῇ προσηγορίᾳ. ἔστι δὲ ἡ μὲν γένεσις αὐτῶν μία καὶ ἁπλῆ· φύεται γὰρ ἀπὸ σπέρματος, ἐὰν μή τι σπάνιον καὶ ὀλίγον ἀπὸ τῆς ῥίζης. ὥραι δὲ τοῦ σπόρου τῶν πλείστων δύο· πρώτη δὲ καὶ μάλιστα, ἡ περὶ Πλειάδων δύσιν, ᾗ καὶ Ἡσίοδος ἠκολούθηκε, καὶ σχεδὸν οἱ πλεῖστοι, διὸ καλοῦσί τινες αὐτὴν, ἄροτον· ἄλλη δὲ ἀρχομένου τοῦ ἦρος, μετὰ τὰς τροπὰς τοῦ χειμῶνος. οὐ τῶν αὐτῶν δὲ ἑκατέρα· τὰ μὲν γὰρ αὐτῶν

φιλεῖ πρωὶ σπορεῖσθαι, τὰ δὲ, ὀψὲ, διὰ τὸ μὴ δύνασθαι φέρειν τοὺς χειμῶνας· τὰ δὲ πρὸς ἀμφοτέρας τὰς ὥρας οὐ κακῶς ἔχει, καὶ πρὸς χειμῶνα, καὶ πρὸς ἔαρ. *πρωΐσπορα μὲν οὖν ἐστὶ, Πυρὸς, Κριθὴ, (καὶ τούτων ἡ Κριθὴ πρωϊσπορώτερον) ἔτι δὲ Ζειὰ, Τίφη, Ὀλύρα, καὶ εἴ τι ἕτερον ὁμοιόπυρον, (ἁπάντων γὰρ σχεδὸν ὁ αὐτὸς χρόνος τῆς σπορᾶς.) τῶν δέ γε χεδροπῶν μάλιστα, ὡς εἰπεῖν, [a]Κύαμος, καὶ Κέγχρος, ταῦτα γὰρ διὰ τὴν ἀσθένειαν προλαβεῖν τῇ ῥιζώσει βούλεται τοῦ χειμῶνος. πρωΐσπορον δὲ καὶ ὁ Θέρμος, ἀπὸ τῆς ἅλω γάρ φασι δεῖν *καταβάλλειν εὐθύς· ὀψίσπορα δὲ τούτων αὐτῶν ὅσα διαφέρει τοῖς γένεσιν, οἷον Πυρῶν τι γένος καὶ Κριθῶν, ὃ καλοῦσι [b]*τρίμηνον, διὰ τὸ ἐν τοσούτῳ τελειοῦσθαι. καὶ τῶν χεδροπῶν τὰ τοιάδε, Φάκος, Ἀφάκη, Πισός· ἐν ἀμφοτέραις δὲ ταῖς ὥραις τῶν χεδροπῶν τινα καθάπερ Ὄροβος Ἐρέβινθος· οἱ δὲ καὶ τὸν Κύαμον ὀψὲ σπείρουσιν, ἐὰν ὑστερίσωσι τῶν πρώτων ἀρότων. ἁπλῶς δὲ πρωϊσποροῦσι τὰ μὲν, [c]δι' ἴσχυν ὡς δυνάμενα φέρειν τοὺς χειμῶνας· τὰ δὲ δι' ἀσθένειαν, ὅπως προλάβωσι ταῖς εὐδίαις τὴν αὔξησιν. δύο μὲν οὖν αὗται [σπόραι], τρίτη δὲ τῶν θερινῶν, ἣν εἴπομεν, ἐν ᾗ Κέγχρος σπείρεται, καὶ Μέλινος, καὶ Σήσαμον· ἔτι δ' Ἐρύσιμον, καὶ Ὅρμινον· χρόνοι μὲν οὖν ἑκάστων οὗτοι. βλαστάνει δὲ τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον· καὶ Κριθὴ μὲν καὶ Πυρὸς, ἑβδομαῖα μάλιστα· (προτερεῖ δὲ ἡ Κριθὴ μᾶλλον·) τὰ δ' ὄσπρια τεταρταῖα, ἢ πεμπταῖα, πλὴν Κυάμων· (Κύαμος δὲ καί [d]τινα τῶν σιτωδῶν ἐν πλεί-

[a] κύαμος καὶ λάθυρος· Const. [b] τρίγωνον, Bod. [c] δίσχυν Bod. [d] τινα deest Codd.

ὅσιν.) ἐνιαχῆ δὲ πεντεκαιδεκαταῖος, ὅτε δὲ καὶ εἰκοσαῖος. δυσφυέστατον γὰρ τοῦτο πάντων· ἐὰν δὲ δὴ καὶ σπαρέντος ἐπιπλέον ὕδωρ ἐπιγένηται, καὶ παντελῶς· εἰ δὲ τῶν ἐν τοῖς ἐαρινοῖς ἀρότοις θᾶττον ἡ ἔκφυσις διὰ τὴν ὥραν, σκεπτέον. χρὴ δὲ τὰς ἀναβλαστήσεις, καὶ τὰς *διαφύσεις ταύτας ὡς ἐπὶ τὸ πᾶν διαλαβεῖν. ἐνίοτε γὰρ καὶ ἐνιαχοῦ ἐν ἐλάττοσιν ἡμέραις, καθάπερ ἐν Αἰγύπτῳ, τριταῖον γάρ φησι καὶ τεταρταῖον ἀνατέλλειν· παρ' ἄλλοις δὲ, ἐν πλείοσι τῶν εἰρημένων, ὅπερ καὶ οὐκ ἄλογον, ὅταν καὶ χώρα καὶ ἀὴρ διαφέρῃ, καὶ πρωϊαίτερον ἢ ὀψιαίτερον ἀρώσεις [εἶναι], καὶ τὰ ἐπιγινόμενα [c]οὐχ ὅμοια τυγχάνειν. ἃ μὲν γὰρ μανῇ, καὶ κουφῇ, [χώρᾳ] καὶ εὐκράτῳ ἀέρι, ταχὺ καὶ ῥαδίως ἀναδίδωσιν· [f]ἃ δὲ γλίχρᾳ καὶ [g]βαρεῖ, βραδέως· ἃ δὲ τοῖς τόποις αὐχμωδεστέρα, [h]βραδύτερον. ἔτι δὲ ἂν χειμῶνες ἐπιγένωνται καὶ αὐχμοὶ, καὶ εὐδίαι, καὶ πάλιν ὕδατα, καὶ γὰρ ἐν τούτοις πολὺ παραλλάττουσιν· ὡσαύτως δὲ καὶ ἐὰν ἡ γῆ προειργασμένη, καὶ κόπρον ἔχουσα τυγχάνῃ· ὡς καὶ ἐὰν μηδὲν τούτων. ἔτι καὶ περὶ τοῦ προϊσπορεῖν ἕκαστα καὶ ὀψισπορεῖν, αἱ χώραι διαφέρουσιν· ἔνιοι δὲ καὶ περὶ τὴν Ἑλλάδα πάντα προϊσπορεῖν εἰώθασι διὰ ψυχρότητα τῆς χώρας, ὥσπερ οἱ Φωκεῖς, ὅπως ἂν οἱ χειμῶνες μὴ *νήπια καταλαμβάνωσι.

[c] οὐκ ἀνόμοια Scal. [f] ἡ δὲ Bod. [g] βαρείᾳ Bod. [h] βραδίως. Bod.

CAP. II.

Principia Germinationis in Frumentaceis et Leguminosis, et Tempora germinandi.

ΒΛΑΣΤΑΝΕΙ δὲ, τὰ μὲν ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν ἀφιέντα καὶ τὸ φύλλον· τὰ δ', ἑκάτερον ἐξ ἑκατέρου τοῦ ἄκρου. Πυρὸς μὲν οὖν καὶ Κριθὴ καὶ Τίφη, καὶ ὅλως ὅσα σιτώδη, πάντα ἐξ ἑκατέρου, [i] ὥσπερ ἐν τῷ στάχει πέφυκεν· ἀπὸ μὲν τοῦ κάτω, τοῦ παχέος, τὴν *ῥίζαν, ἀπὸ δὲ τοῦ ἄνω, τὸ *βλαστὸν [ἀφίησι]. ἐν δέ τι καὶ συνεχὲς γίνεται ἐξ ἀμφοῖν τῆς τε ῥίζης καὶ τοῦ καυλοῦ. Κύαμος δὲ καὶ τὰ ἄλλα χεδροπὰ, οὐχ ὁμοίως, ἀλλ' ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν καὶ τὸν καυλόν. [k] καθ' ἃ πρόσφυσις αὐτῶν ἐστι πρὸς τὸν λοβὸν, ἐν ᾧ καὶ ἔχουσιν οἷον *ἀρχήν τινα φανεράν. ἐπ' ἐνίων δὲ καὶ *αἰδοιῶδές τι φαίνεται, καθάπερ ἐπὶ Κυάμων, καὶ τῶν Ἐρεβίνθων, καὶ μάλιστα τῶν Θέρμων· ἐκ τούτων γὰρ ἡ μὲν ῥίζα κάτω, τὸ δὲ φύλλον, καὶ ὁ καυλὸς ἄνω χωρεῖ. ταύτῃ [l] μὲν οὖν διαφέρει, τῇ δὲ ὁμοίως ἔχει, τῷ πάντα γε κατὰ τὴν πρόσφυσιν τοῦ λοβοῦ, καὶ τοῦ στάχυος, ἀφιέναι τὴν ῥίζαν, καὶ μὴ, καθάπερ ἐν τοῖς δενδρικοῖς τισὶν, *ἀνάπαλιν, οἷον, Ἀμυγδάλῃ, Καρύῳ, [m] Βαλάνῳ, καὶ τοῖς τοιούτοις. ἐν ἅπασι δὲ ἡ ῥίζα μικρῷ πρότερον ἐκφύεται τοῦ καυλοῦ, συμβαίνει καὶ ἔν γε τοῖς σιτώδεσιν, ὥστε τὴν ῥίζαν εὐθὺς ἔξω προωθεῖσθαι, τὸν δὲ βλαστὸν ἐν αὐτῷ τῷ σπέρματι βλαστάνειν πρῶτον, αὐξανομένου δὲ, *διίστασθαι τὰ σπέρματα· πάντα γάρ πως καὶ

[i] πάντα Bod. [k] καθ' ᾗ ἡ πρόσφυσις Bod. [l] μὲν οὖν πῇ, Const. [m] Διὸς βαλάνῳ, Const.

ταῦτα [n] *διμερῆ, τὰ δὲ χεδροπὰ, φανερῶς πάντα *δίδυρα καὶ σύνθετα. τὴν δὲ ῥίζαν εὐθὺς ἔξω προωθεῖθαι [o] ἐν τοῖς χεδροποῖς διὰ τὸ καθ' αὑτὰ εἶναι· τοῦτο μὲν οὐ συμβαίνει, προτερεῖ δὲ ἡ ῥίζα μικρόν. ἀναφύεται δὲ ἡ μὲν Κριθὴ καὶ ὁ Πυρὸς, *μονόφυλλα· ὁ δὲ Πισὸς, καὶ ὁ Κύαμος, καὶ ὁ Ἐρέβινθος, πολύφυλλα· ῥίζαν δὲ ἔχει τὰ μὲν χεδροπὰ πάντα ξυλώδη καὶ μίαν, ἀπὸ δὲ ταύτης καὶ ἀποφύσεις λεπτάς· βαθυῤῥιζότατον δὲ, ὡς εἰπεῖν, τούτων ὁ Ἐρέβινθος, ἐνίοτε δὲ καὶ παρακαθίησιν· ἀλλ' ὁ Πυρὸς, καὶ ἡ Κριθὴ, καὶ τὰ ἄλλα τὰ σιτώδη, πολύῤῥιζα, καὶ λεπτόῤῥιζα· διὸ καὶ τὰ ὀρωδώδη πολύκλαδα, καὶ πολύκαυλα. καὶ πάντα τὰ τοιαῦτα χεδὸν δὲ καὶ ἐναντίως ἑκατέρῳ ἐστὶ, τὰ μὲν γὰρ χεδροπὰ, μονόῤῥιζά εἰσι, πολλὰς δὲ ἄνωθεν ἀπὸ τῶν καυλῶν ἀποφύσεις ἔχοντα (πλὴν Κυάμου.) τὰ δὲ σιτηρὰ, πολύῤῥιζα [ὄντα], πολλοὺς ἀνίησι βλαστούς. ἀπαράδλαστοι δὲ οὗτοι, πλὴν εἴ τι γένος Πυρῶν τοιοῦτο, οὓς καλοῦσι Σιτανίας καὶ Κριθανίας. τὸν μὲν οὖν χειμῶνα ἐν τῇ χλόῃ μένει τὰ σιτώδη, διαγελώσης δὲ τῆς ὥρας καυλὸν ἀφίησιν ἐκ τοῦ μέσου, καὶ *γονατοῦται. συμβαίνει δ' εὐθὺς ἐν τῷ τρίτῳ γόνατι, (τοῖς δὲ ἐν τῷ τετάρτῳ,) καὶ τὸν στάχυν ἔχειν, ἀλλ' οὐ φανερὸν ἐν τῷ *ὄγκῳ. γίνεται δ' ἐν τῷ ὅλῳ *καλάμῳ πλείω τούτων, ὥστε χεδὸν ἅμα τῷ καλαμοῦθαι συνίσταθαι μικρὸν ὕστερον, ἀλλ' οὐ πρότερον φανερὸς γίνεται, πρὶν ἂν προαυξηθεὶς ἐν τῇ *κάλυκι γένηται· τότε δ' ἡ *κύησις φανερὰ διὰ τὸν ὄγκον. ἀπολυθεὶς δὲ, εὐθὺς ἀνθεῖ μεθ' ἡμέρας τέτταρας, ἢ πέντε, καὶ Πυρὸς, καὶ Κριθὴ, καὶ ἀνθεῖ σχεδὸν τὰς

[n] διαμερῆ. Ald.

[o] Vid. not. ad fin. libri.

ἴσας· οἱ δὲ τὰς πλείστας λέγοντες, ἐν τοῖς ἑπτά φασιν *ἀπανθεῖν. ἀλλὰ τῶν χεδροπῶν χρόνιος ἡ ἄνθησις· χρονιωτάτη δὲ τῶν μὲν ἄλλων, Ὀρόβου, καὶ Ἐρεβίνθου, τούτων δὲ ἁπάντων, τοῦ Κυάμου· καὶ ἐν μεγίστῃ διαφορᾷ, τετταράκοντα γὰρ ἡμέρων ἀνθεῖν λέγουσι, πλὴν οἱ μὲν ἀεὶ παρανθοῦντος [p] ἑτέρου καὶ ἕτερον [ἀνθεῖν] λέγουσι· (κατὰ μέρος γὰρ ἀνθεῖν·) οἱ δὲ ἁπλῶς. καὶ ἡ ἄνθησις τῶν μὲν σαχυηρῶν ἀθρόα, τῶν δὲ *ἐλλοβωδῶν, καὶ χεδροπῶν πάντων, κατὰ μέρος· πρῶτα γὰρ ἀνθεῖ τὰ κάτω, καὶ ὅταν ταῦτα ἀπανθήσῃ, τὰ *ἐχόμενα, καὶ οὕτως ἀεὶ βαδίζει πρὸς τὰ ἄνω. διὸ πολλὰ τῶν ὀρόβων τίλλεται, τὰ μὲν κάτω *κατερρυηκότα, τά δ' ἄνω χλωρὰ πάμπαν. μετὰ δὲ τὴν ἀπάνθησιν ἀδρύνονται Πυρὸς, καὶ Κριθὴ, τεσσαρακονταῖα μάλιστα· παραπλησίως δὲ Τίφη, καὶ τ' ἄλλα τὰ τοιαῦτα· τεσσαρακονταῖα δέ φασι καὶ τὸν Κύαμον, ὥστε ἐν ἴσαις ἀνθεῖ καὶ τελειοῦται· τὰ δ' ἄλλα ἐν ἐλάττοσιν· [q] ἐν ἐλαχίσταις δ' ὁ Ἐρέβινθος, εἴπερ ἀπὸ τῆς σπορᾶς ἐν τεσσαράκοντα τελειοῦται ταῖς ἁπάσαις, ὥσπέρ τινές φασιν· ἐπεὶ τό γ' ὅλον, [r] ὅτι τάχιστα, φανερόν. οἱ δὲ Κέγχροι, καὶ τὰ Σήσαμα, καὶ οἱ Μέλινοι, (καὶ ὅλως τὰ θερινὰ σχεδὸν,) ὁμολογεῖται τὰς τετταράκονθ' ἡμέρας λαμβάνειν· οἱ δέ φασι καὶ ἐλάττους. διαφέρει δὲ καὶ πρὸς τὴν τελείωσιν, χώρα τε χώρας, καὶ ἀὴρ ἀέρος· ἐν ἐλάττοσι γὰρ ἔνιαι [χώραι] δοκοῦσιν ἐκφέρειν, ὥσπερ ἄλλαι τε, καὶ μάλιστα ἐπιδήλως Αἴγυπτος, ἐκεῖ γὰρ Κριθαὶ μὲν ἐν ἑξαμήνῳ, Πυροὶ δὲ [s] ἐν τῷ ἑβδόμῳ [μηνὶ]

[p] ἑτέρου καὶ ἑτέρου Bod. [q] ἐν deest Codd. [r] ὅτι Bod. error typogr. [s] ἐν τῇ ἑβδόμῳ περὶ Bod.

περὶ τὴν Ἑλλάδα· παρὰ δὲ τοῖς πλείστοις, ὀγδόῳ· Πυροὶ δὲ ἔτι *προσεπιλαμβάνουσιν. οὐ μὴν οὐ δὲ ἐκεῖ τό γε πᾶν πλήθος οὕτως, ἀλλ' ὅσον εἰς *ἀπαρχὴν, κομίζεται γὰρ πρὸς ἱερῶν τινῶν χρεῖαν ἄλφιτα νέα τῷ ἕκτῳ μηνὶ καὶ ταῦτα ἐκ τῶν ἄνω τόπων, ὑπὲρ Μέμφιν. λέγεται δὲ καὶ ἐν Σικελίᾳ τῆς Μεσσηνίας ἐν ταῖς καλουμέναις Μύλαις, ταχεῖάν τινα γίνεσθαι τὴν τελείωσιν τῶν ὀψίων, τὸν τῶν ὀσπρίων μὲν γὰρ σπορητὸν ἓξ μήνας, τὸν δὲ τῷ ὑστάτῳ σπείραντα θερίζειν ἅμα τοῖς πρώτοις. ἀγαθὴν δὲ διαφερόντως [φασὶν] εἶναι τὴν [t]χώραν, ὥστε τριάκοντα *χόας ποιεῖν (ἔχειν δὲ καὶ νομὰς θαυμαστὰς ὅλην τὴν χώραν.) ἐν Μήλῳ δέ θαυμασιώτερόν τι λέγουσιν, ἐν γὰρ τριάκοντα ἡμέραις σπαρέντα θερίζουσι· διὸ καὶ λέγειν αὐτοὺς ὅτι μέχρι τούτου δεῖ σπείρειν, ἕως ἂν εἴδῃ τις δράγμα, γίνεσθαι δὲ [u]ὄψιμα ταῦτα οὔτε πολλὰ παρ' αὐτοῖς· δεινὴν δέ τινα διαδοῦναι τὴν χώραν τροφὴν, καὶ γὰρ εἶναι σιτοφόρον μὲν καὶ ἐλαιοφόρον ἀγαθὴν, ἀμπελοφόρον δὲ μετρίαν. ὑπερβάλλον δέ τι τούτου, καὶ πάντων θαυμασιώτερον, τὸ περὶ Χαλκίαν τὴν νῆσον τὴν Ῥοδίων γινόμενον, ἐκεῖ γάρ φασιν εἶναί τινα τόπον πρώϊον καὶ εὔφορον, ὡς σπαρεισῶν Κριθῶν ἅμα ταῖς ἄλλαις, θερίσαντες ταύτας, σπείρουσι πάλιν, εἶτα θερίζουσιν ἅμα τοῖς λοιποῖς. μεγίστη μὲν οὖν, εἴπερ ἀληθῶς, αὕτη διαφορά· τὸ γὰρ εἰς ἑτέραν χώραν μετενεγκόντας σπείρειν, ὥσπερ ἐκ Κιλικίας φασὶν εἰς Καππαδοκίαν, καὶ ὅλως τὴν ἐπέκεινα τοῦ Ταύρου, ἧττον ἄτοπον, φανερὰ γὰρ ἡ τῶν τόπων διάστασις. τὸ δὲ τὴν διαφορὰν [x]ἔχειν, σύνορον οὖσαν καὶ μίαν,

[t] χώθαν· Bod. [u] ἴψιμα Const. [x] οὐχ ἅπαξ Bod.

θαυμασιώτατον· αὕτη μὲν οὖν μεγίστη διαφορὰ, τὰ δὲ κατὰ τὰς ἄλλας χώρας, ἢ οὐ πολλὴν, ἢ οὐδεμίαν τοῦ γε χρόνου λαμβάνει διαφορὰν, προτερεῖ γὰρ ταῖς ὥραις τὰ Ἀθήνησι τῶν περὶ Ἑλλήσποντον ἡμέραις τριάκοντα, ἢ οὐ πολλῷ πλείοσιν. εἰ μὲν οὖν καὶ ὁ σπορητὸς πρότερον, μετάθεσις ἂν εἴη τῆς χώρας, εἰδ' ἅμα, δηλονότι πλείων ἂν ὁ χρόνος. οὐ μικρὰν δὲ ποιοῦσι διαφορὰν οὐ δὲ οἱ τόποι, καίπερ ἔνιοι, σύνεγγυς ὄντες· τὰ γὰρ ἐν Σαλαμῖνι προτερεῖ πολὺ τῶν ἄλλων τῶν ἐν τῇ Ἀττικῇ· καὶ ὅλως τὰ ἐπιθαλάττια, καὶ εἰς ταῦτα, καὶ εἰς τοὺς ἄλλους καρποὺς [προτερεῖ], ὡς τὰ περὶ τὴν Ἀκτὴν καλουμένην, τῆς Πελοποννήσου. καὶ τὰ ἐκ Φαλήκου τῆς Μεγαρίδος, πλὴν ἐνταῦθά γε συμβάλλεται καὶ τὸ *λεπτόγεων εἶναι καὶ *ψαφαρὰν τὴν χώραν. καὶ τὰ μὲν περὶ τὴν γένεσιν καὶ τὴν τελείωσιν οὕτως ἔχει.

CAP. III.

Differentiæ Generum in Frumentaceis.

ΔΙΑΦΕΡΕΙ δὲ καὶ ὅλα τὰ γένη, τὰ διῃρημένα τῶν γενῶν, οἷον, Σῖτος, Χεδροπὰ τὰ θερινὰ, καθ' ἕκαστον γένος τὰ ὁμοιογενῆ· τὰ μὲν γὰρ σιτώδη τὸ φύλλον ἔχει Καλάμου· τῶν δὲ χεδροπῶν, τὰ μὲν περιφερὲς, οἷον ὁ Κύαμος, καὶ χεδὸν τὰ πλεῖστα· τὰ δὲ, προμηκέστερον, οἷον, ὁ Πισὸς, καὶ ὁ Λάθυρος, καὶ ὁ Ὠχρὸς, καὶ τὰ τοιαῦτα. καὶ τὰ μὲν Y *ἰνώδη, τὰ δ' *ἄφλεβα καὶ *ἄϊνα· τὸ δὲ Σήσαμον, καὶ τὸ Ἐρύσιμον ἰδιώτερα παρὰ ταῦτα. πάλιν ὁ καυλὸς τῶν μὲν γονατώδης καὶ *κοῖλος·

Y ἰνώδη· οἷον Δόλιχος, τὰ Const.

(διὸ καὶ καλεῖται κάλαμος.) τῶν δ' ἄλλων χερδοπῶν ξυλωδέστερος· ξυλωδέστατος δὲ ὁ Ἐρέβινθος. τῶν δὲ θερινῶν, Κέγχρου μὲν καὶ Μελίνου, καλαμώδης [ὁ καυλὸς] Σησάμου δὲ καὶ Ἐρυσίμου, καρθηκώδης μᾶλλον. καὶ τὰ μέν ἐστιν, ὀρθόκαυλα, καθάπερ Πυρὸς καὶ ὅλως τὰ σιτώδη καὶ τὰ θερινά· τὰ δὲ *πλαγιόκαυλα μᾶλλον, οἷον Ἐρέβινθος, Ὄροβος, Φακός. τὰ δὲ ἐπιγειόκαυλα, καθάπερ Ὠχρὸς, Πισὸς, Λάθυρος. ὁ δὲ Δόλιχος, ἐὰν παρακατάπηξῃ τις ξύλα μακρὰ, ἀναβαίνει καὶ γίνεται κάρπιμος, εἰ δὲ μὴ, φαῦλος καὶ *ἐρυσιβώδης. μόνος δὲ, ἡ μάλιστα τῶν χερδοπῶν ὀρθόκαυλος ὁ Κύαμος. ἔχει δὲ καὶ τὰ ἄνθη διαφορὰν, καὶ τῇ φύσει καὶ τῇ θέσει, περὶ ὧν χερδὸν ἐν τοῖς καθόλου διείλομεν, ὅτι τὰ μὲν *χνοώδη, καθάπερ που καὶ πάντων, ὡς εἰπεῖν, σαχυωδῶν, τὰ δὲ, φυλλώδη καθάπερ τῶν πλείστων· τὰ δὲ τῶν χερδοπῶν *κολοβά. (τὰ γὰρ πολλὰ *κολοβανθῆ·) χνοῶδες δὲ καὶ τὸ τοῦ Κέγχρου καὶ Μελίνου [ἄνθος]· τοῦ δὲ Σησάμου καὶ τοῦ δὲ Ἐρυσίμου, *φυλλῶδες. καὶ ἔτι δὴ τὰ μὲν ἔχει περὶ αὐτὸν τὸν καρπὸν, οἷον τὰ σιτώδη καὶ κεγχρώδη περὶ τὸν στάχυν· τὰ δὲ χερδοπὰ, ἐξ αὐτοῦ πῶς τοῦ ἄνθους, ἢ ἀπό τε τῆς ἀρχῆς γίνεται [ὁ καρπός]· ἔτι δὲ κατὰ τὴν ἄνθησιν, τὰ μὲν *ἀθρόαν, τὰ δὲ κατὰ μέρος ποιεῖται, καὶ τἄλλα δὲ τὰ παραπλήσια τούτοις. ὁμοίως δὲ καὶ τὰ κατὰ τοὺς καρποὺς, ὅτι τὰ μὲν ἔχει στάχυν· τὰ δὲ χερδοπὰ, *λοβόν· τὰ δὲ κεγχρώδη, *φόβην, ἡ γὰρ καλαμώδης ἀπόφυσις, φόβη. τὸ δὲ ὅλον, τὰ μὲν, *ἀγγειόσπερμα, τὰ δὲ *ἐνυμενόσπερμα, τὰ δὲ, *γυμνόσπερμα· καὶ ἔτι τὰ μὲν ἀκρόκαρπα, τὰ δὲ πλαγιόκαρπα, καὶ ὅσα δὴ ἄλλα

ταύτης ἔχεται τῆς θεωρίας. ὅλως δὲ πολυκαρπότερα καὶ * πολυχούστερα τὰ χεδροπά· τούτων δὲ ἔτι μᾶλλον τὰ θερινὰ, Κέγχρος, καὶ Σήσαμον. αὐτῶν δὲ τῶν χεδροπῶν μάλιστα Φακός· ἁπλῶς δὲ τὰ μικροσπερμότερα μᾶλλον [πολύσπερμα], ὡς εἰπεῖν, ὥσπερ καὶ τῶν λαχανωδῶν, Κύμινον· ἁπάντων [τούτων] ὄντων πολυσπέρμων· ἰσχυρότερα δὲ, πρὸς μὲν τὸν χειμῶνα, καὶ ὅλως τὰ τοῦ ἀέρος, τὰ σιτηρά· πρὸς δὲ τὴν τροφὴν, τὰ χεδροπά· τάχα δὲ τοῦτό γε ἡμῖν, ἢ τοῖς ἄλλοις ἀνάπαλιν.

CAP. IV.

Differentiæ Specierum.

ΤΑ μὲν οὖν ὅλα γένη τοιαύτας ἔχει διαφορὰς, τὰ μὴ * ὁμοιογενῆ· τὰ δὲ ὁμοιογενῆ, δηλονότι κατὰ τὴν τῶν μερῶν ἀνωμαλίαν, οἷον τῶν σιτωδῶν, Πυρὸς Κριθῆς [z] στενοφυλλότερον, καὶ λειοκαυλότερον, καὶ πυκνότερον, καὶ γλισχρότερον ἔχει τὸν καυλὸν, καὶ [a] δυσθλαστότερον· ἅμα δὲ καὶ ὁ μὲν ἐν χιτῶσι πολλοῖς, ἡ δὲ, γυμνὴ (μάλιστα γὰρ δὴ γυμνοσπέρματον ἡ Κριθή.) [b] * πολύλοπον δὲ καὶ ἡ Τίφη, καὶ ἡ Ὀλύρα, καὶ πάντα τὰ τοιαῦτα· καὶ μάλιστα πάντων, ὡς εἰπεῖν, ὁ [c] Βρόμος, ἐστὶ δὲ καὶ ὑψηλότερος ὁ κάλαμος τοῦ Πυροῦ καὶ τῆς Κριθῆς, καὶ τὸν στάχυν ἀπηρτημένον ἔχει τοῦ φύλλου μᾶλλον ὁ Πυρός. [d] ἥδιον δὲ καὶ τὸ * ἄχυρον τοῦ

z στεφανοφυλλότερον, Bod. a δυσαλθατώτερον· Ald. Bas. b πολύλοβον Bod. c Κρόκος. Ald. Bas. d ἴδιον Ald. Bas.

κριθίνη τὸ πύρινον, ἐγχυλότερον γὰρ καὶ μαλακώτερον. διαφέρει δὲ ἡ Κριθὴ καὶ τούτῳ τῶν Πυρῶν, ἡ μὲν γὰρ *στοιχειώδης, ὁ δὲ Πυρὸς ἄστοιχος, καὶ πανταχόθεν ὁμαλός τις. τῷ μὲν ὅλῳ γένει πρὸς τὸ γένος τοιαῦταί τινές εἰσι διαφοραὶ, καθ' ἑκάτερον δὲ τούτων πάλιν, οἷον Πυρῶν καὶ Κριθῶν, πολλὰ γένη, καὶ τοῖς καρποῖς αὐτοῖς διαφέροντα, καὶ τοῖς στάχυσι, καὶ ταῖς ἄλλαις μορφαῖς· καὶ ἔτι ταῖς *δυνάμεσι καὶ τοῖς *πάθεσι. τῶν μὲν Κριθῶν αἱ μέν εἰσι δίστιχοι, αἱ δὲ *τρίστιχοι, αἱ δὲ τετράστιχοι, καὶ πεντάστιχοι, πλείσται καὶ ἑξάστιχοι, καὶ γὰρ τοιοῦτό τι γένος ἐστί. πυκνότεραι δὲ ἀεὶ κατὰ τὴν θέσιν, ὡς ἐπίπαν, αἱ πολυστιχότεραι· διαφορὰ δὲ μεγάλη καὶ τὸ *παραβλαστικήν τε εἶναι [τὸν στάχυν], καθάπερ εἴπομεν τὴν Ἰνδικήν. καὶ οἱ στάχυες δὲ τῶν μὲν [Πυρῶν] μεγάλοι καὶ μανώτεροι τῆς Κριθῆς, τῶν δὲ ἐλάττους καὶ πυκνότεροι· καὶ ἀπέχοντες καὶ τῶν φύλλων, τῶν μὲν πολὺ, τῶν δὲ μικρὸν, ὥσπερ τῶν [c]Ἀχιλλείων καλουμένων. καὶ αὐτῶν δὲ τῶν Κριθῶν αἱ μὲν στρογγυλότεραι καὶ ἐλάττους, αἱ δὲ, προμηκέστεραι καὶ μείζους, καὶ μανώτεραι κατὰ τὸν στάχυν. ἔτι δὲ αἱ μὲν, λευκαὶ, αἱ δὲ, ἐπιπορφυρίζουσαι, αἵπερ καὶ πολυάλφιτοι δοκοῦσιν εἶναι· καὶ πρὸς τοὺς χειμῶνας δὲ καὶ τὰ πνεύματα καὶ ὅλως τὸν ἀέρα, τῶν λευκῶν ἰσχυρότεραι. πολλὰ δὲ γένη καὶ τῶν Πυρῶν εὐθύς ἐστιν ἀπὸ τῶν χωρῶν ἔχοντα τὰς ἐπωνυμίας· οἷον, Λιβυκοὶ, Πόντιοι, Θρᾶκες, Ἀσσύριοι, Αἰγύπτιοι, Σικελοί· διαφέροντες δὲ καὶ ταῖς χροιαῖς, καὶ τοῖς μεγέθεσι, καὶ τοῖς εἴδεσι, καὶ ταῖς ἰδιότησιν. ἔχουσι δὲ ἐν ταῖς δυνάμεσι

[c] Ἀχιλληίδων Const.

ταῖς τε ἄλλαις, καὶ μάλιστα ταῖς πρὸς τὴν σίτησιν, (τινὲς καὶ ἀπ' ἄλλων) τὰς προσηγορίας, οἷον Καγχρυδίας, [f]Στραγγίας, Σελενούσιος, ὧν ἁπάντων ἐν τοῖς εἰρημένοις τὰς διαφορὰς ληπτέον. οὐχ ἥκιστα δ' οἰκεῖον, εἴ τις λαμβάνοι τὰς τοιαύτας, οἷον, εἰσὶν οἱ μὲν πρώϊοι, οἱ δὲ, ὄψιοι· καὶ [οἱ μὲν] εὐαυξεῖς, καὶ πολύχοοι, οἱ δὲ καὶ ὀλίγοχοοι· καὶ [οἱ μὲν] μεγαλοστάχυες, οἱ δὲ μικροστάχυες· καὶ οἱ μὲν ἐν κάλυκι πολὺν χρόνον, οἱ δὲ ὀλίγον [g]ἐχόμενοι, ὥσπερ ὁ Λιβυκός. καὶ κάλαμον οἱ μὲν λεπτὸν, οἱ δὲ παχὺν [ἔχουσι], καὶ τοῦτο ὁ Λιβυκὸς ἔχει, παχὺν δὲ ὁ Καγχρυδίας. ἔτι δὲ χιτῶνας, οἱ μὲν ὀλίγους, οἱ δὲ πολλοὺς, ὥσπερ ὁ Θρᾴκιος· καὶ οἱ μὲν μονοκάλαμοι, οἱ δὲ πολυκάλαμοι, καὶ μᾶλλον δὲ καὶ ἧττον. ὁμοίως δὲ καὶ εἴ τι παραπλήσιον τούτοις, ἢ [h]τοῖς πρότερον εἰρημένοις κατὰ δυνάμεις, αἱ γὰρ τοιαῦται φυσικώτεραι δόξαιεν ἂν εἶναι τῶν διαφορῶν, ἐν αἷς καὶ τὸ τῶν τριμήνων, καὶ τὸ τῶν διμήνων, καὶ εἴ τι γένος ἐν ἐλάττοσιν ἡμέραις τελειοῦται, καθάπερ φασὶν εἶναι περὶ τὴν Εὔβοιαν οἳ τετταράκοντα ἡμέρας ἀπὸ τῆς σπορᾶς *ἀδρύνονται, καὶ τέλος ἴσχουσιν· εἶναι δ' ἰσχυρὸν τοῦτον καὶ βαρὺν, καὶ οὐχ, ὥσπερ τὸν τρίμηνον, κοῦφον, διὸ καὶ τοῖς οἰκέταις παρέχειν· καὶ γὰρ οὐδὲ πίτυρον ἔχειν πολύ· *σπανιώτατος μὲν οὖν καὶ τάχιστος εἰς τελείωσιν οὗτος, εἰσὶ δὲ καὶ δίμηνοί τινες, οἵπερ καὶ ἐκ Σικελίας ἐκομίσθησαν εἰς Ἀχαΐαν, *ὀλιγόχοοι δὲ, καὶ *ὀλιγόγονοι, καὶ κοῦφοι καὶ κατὰ τὴν προσφορὰν, ἡδεῖς. καὶ ἄλλοι δέ τινες περὶ Εὔβοιάν εἰσι, καὶ μά-

f Στλιγγὺς, Ἀλιξάνδρειος Bod. g ἔχοντες, Bod. h τοῖς deest Bod.

λιστα ἐν τῇ Καρυσίᾳ· τρίμηνοι δὲ πολλοὶ, καὶ [i] παν-ταχοῦ· κοῦφοι δ' οὗτοι ϗ ὀλιγόχοοι, καὶ μονοκάλαμοι, κατὰ τὴν ἔκφυσιν, καὶ τὸ ὅλον ἀσθενεῖς. [k] κουφότατος μὲν οὖν, ὡς ἁπλῶς εἰπεῖν, Πυρὸς ὁ Ποντικὸς, βαρύτερος δὲ τῶν εἰς τὴν Ἑλλάδα παραγινομένων, ὁ Σικελὸς, τούτου δ' ἔτι βαρύτερος ὁ Βοιωτός· σημεῖον δὲ λέγουσιν, ὅτι οἱ μὲν ἀθληταὶ ἐν τῇ Βοιωτίᾳ *τριημιχοίνικα μόλις ἀναλίσκουσιν, Ἀθήναδε δὲ ὅταν ἔλθωσι, *πενθημι-χοίνικα ῥαδίως· κοῦφος δὲ [ὁ Πυρὸς] καὶ ἐν τῇ Λα-κωνικῇ. τούτων μὲν οὖν ἔν τε ταῖς χώραις καὶ τῷ ἀέρι τὸ αἴτιον, ἐπεὶ καὶ περὶ τὴν Ἀσίαν πόρρω Βάκτρων, ἐν μέν τινι τόπῳ, οὕτως ἁδρὸν εἶναί φασι τὸν Σῖτον, ὥστε πυρῆνος ἐλαίας μέγεθος λαμβάνειν, ἐν δὲ τοῖς Πισσώτοις καλουμένοις, οὕτως ἰσχυρὸν, ὥστε εἴ τις πλεῖστον προσενέγκοιτο, διαῤῥήγνυθαι· καὶ τῶν Μα-κεδόνων, [φασὶ,] πολλοὺς τοῦτο παθεῖν. ἄτοπον δὲ ϗ ἀνομολογούμενον πρὸς τὴν τῶν τριμήνων κουφότητα, τὸ περὶ τοὺς Ποντικοὺς συμβαῖνον, εἰσὶ γὰρ οἱ σκληροὶ ἠρινοὶ, [l] μαλακοὶ δὲ οἱ χειμερινοὶ, πολὺ γὰρ διαφέρει τῇ κουφότητι ὁ μαλακός.

CAP. V.

Sationes. Differentiæ in Leguminibus.

Ὁμοίως δὲ καὶ δύο *ἀρότους, ὡς ἔοικε, παντὸς τοῦ Σίτου ποιοῦνται· τὸν μὲν, χειμερινὸν, τὸν δὲ, ἠρινὸν, (ἐν ᾧ ϗ τὰ *ὄσπρια καταβάλλουσιν.) εἰσὶ δὲ ϗ οἱ μὲν καθαροὶ Αἰρῶν, ὥσπερ ὁ Ποντικὸς, καὶ ὁ Αἰγύπτιος·

[i] παντὸς τοῦ κοῦφοι. οὗτοι Bod.
[k] ἰσχυρότατος Const.
[l] οἱ δὲ μαλακοὶ Const.

καθαρὸς δὲ ἐπιεικῶς καὶ ὁ Σικελὸς, καὶ μάλιστα ὁ Ἀκραγαντῖνος οὐκ *αἰρώδης· ὁ δὲ Σικελὸς, ἴδιον ἔχει τὸ Μελάμπυρον καλούμενον, ὅ ἐςιν ἀβλαβὲς, καὶ οὐχ, ὥσπερ Αἶρα, βαρὺ καὶ [m] κεφαλαλγές. ἀλλὰ τὰ μὲν τοιαῦτα, καθάπερ ἐλέχθη, ταῖς χώραις ἀναθετέον, καὶ ὅσον ἐπιβάλλειν τοῖς γένεσιν, ἐν δὲ τοῖς ὀσπρίοις οὐχ ὁμοίως ἐστὶ λαβεῖν τὰς τοιαύτας διαφορὰς, εἶτ' οὖν διὰ τὸ μὴ ἐξετάζειν ὁμοίως, εἴτε καὶ διὰ τὸ μονοειδέστερα τυγχάνειν· ἔξω γὰρ Ἐρεβίνθου, καὶ Φακοῦ, καὶ ἐπ' ὀλίγον, Κυάμου, καὶ Ὀρόβου, καθόσον ἡ τῶν χρωμάτων καὶ τῶν χυλῶν διαφορὰ, τῶν ἄλλων οὐ ποιοῦσιν *ἰδέας. οἱ δὲ Ἐρέβινθοι καὶ τοῖς μεγέθεσι, καὶ τοῖς χυλοῖς, καὶ τοῖς χρώμασι, καὶ ταῖς μορφαῖς διαφέρουσιν, οἷον [n] Κριοὶ ὀροβιαῖοι, καὶ οἱ ἀνὰ μέσον. ἐπὶ πᾶσι δὲ τὰ λευκὰ γλυκύτερα, καὶ γὰρ ὁ Ὄροβος, καὶ Φακὸς, καὶ Ἐρέβινθος, καὶ Κύαμος, καὶ Σήσαμον (ἔςι γὰρ καὶ Σήσαμον λευκόν·) ἀλλὰ μᾶλλον ἐν τοῖς τοιοῖσδε ποιεῖν ἐστι τὰς διαφορὰς, οἷον ἐπὶ πάντα τὰ *ἔλλοβα· τὰ μὲν, αὐτῶν [o] *ἀδιάφρακτα [τὰ σπέρματα], καὶ ὥσπερ συμψαύοντα τυγχάνει, καθάπερ Ὄροβος, Πίσος, καὶ κεδὸν τὰ πλεῖστα· τὰ δὲ [p] λίαν πεφραγμένα, καθάπερ Θέρμος. ἔτι δὲ μᾶλλον καὶ ἰδίως τὸ Σήσαμον. καὶ τὰ μὲν μακρόλοβα, τὰ δὲ ςρογγυλόλοβα καθάπερ Ἐρέβινθος. ἀνάλογον δὲ ἀκολουθεῖ καὶ τὰ πλήθη τῶν σπερμάτων, ἐλάττω γὰρ ἐν τοῖς μικροῖς [λόβοις]. ὥσπερ ἔν τε τῷ τῶν Ἐρεβίνθων, καὶ ἐν τῷ τῶν Φακῶν. καὶ παραπλήσιαι δὲ ἴσως αἱ τοιαῦται [διαφοραὶ], καὶ ἃς ἐπὶ τῶν σιτηρῶν ἐλέγομεν,

[m] κεφαλαλγίς. Const. [n] κριοὶ, ὀροβιαῖοι, ἀνὰ μέσον. Bod.
[o] διάφρακτα, Bod. [p] λεῖα Bod.

περὶ τῶν σταχύων καὶ αὐτῶν τῶν καρπῶν, ἐπεὶ καὶ οἱ καλούμενοι λοβοὶ, σχεδὸν ἀκόλουθοι τοῖς σπέρμασίν εἰσιν· οἱ μὲν [q] *ἐπιπλατεῖς, ὥσπερ οἱ τοῦ Φακοῦ καὶ τῆς Ἀφάκης, οἱ δὲ *κυλινδρώδεις μᾶλλον, ὡς οἱ τοῦ Ὀρόβου καὶ τοῦ Πίσου· τὰ γὰρ σπέρματα ἑκατέρωθεν τοιαῦτα τοῖς σχήμασιν. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς πολλὰς ἄν τις εὕροι καθ' ἕκαστον, ὧν αἱ μὲν κοιναὶ πᾶσιν, αἱ δὲ ἴδιαι κατὰ γένος· ἔτι δὲ πάντα προσπέφυκε τοῖς λοβοῖς, καὶ ἔχει καθάπερ *ἀρχήν τινα· τὰ μὲν, προέχουσαν, ὥσπερ ὁ Κύαμος, καὶ ὁ Ἐρέβινθος, τὰ δὲ, καὶ ἔγκοιλον, ὥσπερ Θέρμος καὶ ἀλλ' ἄττα· τὰ δὲ οὐκ οὕτω μὲν ἔχει φανερὰν, ἐλαττω δὲ, καὶ ὥσπερ ἀποσημαίνουσαν μόνον· (δῆλον μὲν τοῦτο ἀπὸ τῆς ἄρχης,) ἐξ ἧς καὶ ὅταν σπαρῇ βλαστάνει καὶ ῥιζούται, καθάπερ ἐλέχθη. καθ' ἀρχὰς δὲ καὶ αὐτὰ [r] τρέφεσθαι προσηρτημένα τῷ λοβῷ, μέχρι οὗ ἂν τελειωθῇ, φανερὸν δέ ἐστι καὶ ἐκ τῶν νῦν, καὶ ἐκ τῶν προειρημένων. περὶ μὲν οὖν τοῦ κατὰ τὰς διαφορὰς, ἅλις.

CAP. VI.

Sationes. Stercoratio. Qualitates Soli.

ΣΠΕΙΡΕΙΝ δὲ ξυμφέρει πάντα, μάλιστα μὲν ἐν τοῖς [s] ἀρότοις, οὐ μὴν ἀλλὰ καὶ ἐν ξηρᾷ τινες καταβάλλουσι· καὶ οὐχ ἥκιστα Πυροὺς καὶ Κριθὰς, ὡς μάλιστα αὐταρκεῖν δυνάμενα, ὅπου μὴ ὄρνισιν, ἢ ἄλλοις θηρίοις *ἐπισινὴς ἡ χώρα· δοκεῖ γὰρ ὡς [t] ἐπίπαν ἀνεπιτήδειος ὁ σπορὸς ἐν τοῖς [u] ἡμιβρεχέσιν, ἀπόλλυται γὰρ καὶ ἐκ-

[q] ὑποπλάτεις, Const. [r] τρέφεται Bod. [s] ἀρότροις, fors. ὕγροις, Bod. [t] ἱκανὴς Ald. [u] ἡμιβρόχοις, Ald. Bas.

γαλακτοῦσαι τὰ σπέρματα, καὶ ἅμα συμβαίνει *πόαν ἀναφύεσθαι πολλήν. μετὰ δὲ τὴν σπορὰν ὕδωρ ἐπιγίνεσθαι πᾶσι ξυμφέρει, πλὴν ὅσα δυσβλαστῆ γίνεται μᾶλλον, ὥσπερ ὅ, τε Κύαμος ἐδόκει, καὶ τῶν θερινῶν, Σήσαμον, καὶ Κύμινον, καὶ Ἐρύσιμον. πυκνοσπορεῖν δὲ καὶ μανοσπορεῖν, καὶ πρὸς τὰς χώρας βλέποντα χρὴ, πλεῖον γὰρ ἡ πίειρα, καὶ ἀγαθὴ δύναται φέρειν τῆς *ὑφάμμου τε καὶ λεπτῆς· καίτοι λέγεταί τις λόγος ὡς ὁτὲ μὲν πλεῖον, ὁτὲ δὲ ἔλαττον ἡ αὐτὴ δέχεται χώρα, καὶ οἰωνίζονται [δ' ἐκ χρόας] τὸ πλέον ὡς οὐκ ἀγαθὸν, πεινῆν γὰρ εὐθύς φασι τὴν γῆν. οὗτος μὲν οὖν ἴσως εὐηθέστερος λόγος, εἰ δέ τις πρὸς τὰ σπέρματα θεωροίη, καὶ μάλιστά γε πρὸς αὐτοὺς τοὺς τόπους, ἅμα τῷ ἐδάφει, καὶ τὴν θέσιν ἀναθεωρῶν, τήν γε πρὸς τὰ πνεύματα καὶ τὸν ἥλιον, οἰκειότερον [x] ἀναλαμβάνοι τὰς διαφοράς· ἀνάλογον δέ τι ἔχει καὶ ἡ κόπρησις πρὸς τὰς χώρας, *νειὸς δ' ἀμείνον ἡ χειμέριος τῆς ἐαρινῆς· ἐνιαχοῦ δὲ οὐ ξυμφέρει βαθέως ἀροτριᾶν, ὥσπερ καὶ ἐν Συρίᾳ, διὸ μικροῖς ἀρότροις χρῶνται· παρ' ἄλλοις δὲ, τὸ λίαν ἐργάζεσθαι βλάπτει, καθάπερ ἐν Σικελίᾳ, διὸ καὶ τῶν ξένων, ὡς ἔοικε, πολλοὶ διαμαρτάνουσι. ταῦτα μὲν πρὸς τὰς χώρας· διαιροῦσι δὲ καὶ τὰ σπέρματα, ποίᾳ [χώρᾳ] ποῖον πρόσφορον· ἐν γὰρ ταῖς χειμεριναῖς Πυρὸν μᾶλλον, ἢ Κριθὴν [δεῖ σπείρειν]· καὶ ὅλως Σῖτον, ἢ Χεδροπὰ, ἐν ταῖς χέρσοις, καὶ διὰ χρόνου κενουμέναις, καὶ γὰρ αὗται Πυρὸν φέρουσι μᾶλλον, ἢ Κριθήν. δέχεται δὲ καὶ *ἐπομβρίαν μᾶλλον Πυρὸς ἢ Κριθὴ, καὶ ἐν ταῖς ἀκόπροις φέρει μᾶλλον· ὡσαύτως

x ἀναλαμβάνει Bod.

δὲ καὶ αὐτῶν τῶν Πυρῶν ποῖος τῇ ποίᾳ πρόσφορος [χώρᾳ], οἷον εἰ ἀγαθὴ, καὶ πίειρα, καὶ *ψαφαρὰ, καὶ λεπτὴ, καὶ ταῖς ἄλλαις ὁμοίως. ὕδωρ δὲ, ὅταν μὲν χλοηφορήσῃ καὶ κυήσῃ, πλεῖον ἅπασι ξυμφέρει· ἀνθοῦσι δὲ Πυροῖς μὲν καὶ Κριθαῖς καὶ τοῖς σιτώδεσι, βλαβερὸν, ἀπόλλυσι γάρ· ὀσπρίοις δ' ἀβλαβὲς, πλὴν Ἐρεβίνθων, οὗτοι δ' ἀποκλυθείσης τῆς ἅλμης, ἀπόλλυνται, *σφακελίζοντες, καὶ ὑπὸ Καμπῶν κατεδιόμενοι· ἰσχυρότερος δὲ ὁ μέλας Ἐρέβινθος καὶ [Y] ὁ λευκὸς, τοῦ Πυῤῥοῦ· συμφέρειν δέ φασιν ἐν τοῖς ἐφύδροις τόποις ὀψὲ σπείρειν αὐτόν. Κύαμος δ' ἄνθων μάλιστα φιλεῖ βρέχεσθαι, διὸ δὲ οὐκ ἐθέλουσιν ὀψισπορεῖν, ὥσπερ εἴπομεν, ὅτι πολὺ ἀνθεῖ· μετὰ δὲ τὴν ἀπάνθησιν ὀλίγου πάμπαν ὕδατος δεῖσθαι [φασὶ], σύνεγγυς γὰρ ἡ τελείωσις· ἀλλ' ὅταν ἀδρυνθῇ, καὶ βλάπτειν δοκεῖ [τὸ ὕδωρ] τὰ σιτώδη, Κριθὴν δὲ Πυροῦ μᾶλλον. ἐν Αἰγύπτῳ δὲ, καὶ Βαβυλῶνι, καὶ Βάκτροις, ὅπου μὴ *ὕεται [Z] ἡ χώρα, ἢ σπανίως, αἱ δρόσοι τὸ ὅλον ἐκτρέφουσον. [a] ἔτι καὶ οἱ περὶ Κυρήνην καὶ [b] Εὐεσπερίδας τόποι. *καιριώτατα δὲ πᾶσιν, ὡς ἁπλῶς εἰπεῖν, τὰ ἠρινὰ [ὕδατα], διὸ καὶ ἡ Σικελία πολύσιτος. πολλὰ γὰρ τοῦ ἦρος καὶ μαλακὰ γίνεται, τοῦ δὲ χειμῶνος ὀλίγα. ζητεῖ δὲ ἡ μὲν λεπτόγεως πολλὰ κατὰ μικρὸν, πίειρα δὲ καὶ πλῆθος μὲν ἐνεγκεῖν δύναται καὶ *ἀϋδρίαν· πρὸς δὲ τὴν χώρας ἀϋδρίαν, πάντα πνεύματα καὶ αὔραι δοκοῦσι ξυμφέρειν· ἄλλα δὲ παρ' ἄλλοις τοιαῦτα, καθάπερ καὶ πρότερον εἴρηται. ὡς ἐπὶ τὸ πᾶν δὲ, μᾶλλον αὐχμὸς ἢ ἐπομβρία ξυμφέρει τῷ Σίτῳ, οἱ

[Y] ὁ πυῤῥὸς τοῦ λευκοῦ. Const. [Z] ἡ χώρα σπανίως, Bod.
[a] ἐπὶ Bod. [b] Εὐσπερίδας Bod.

γὰρ ὄμβροι καὶ ἄλλως ἐναντίοι, καὶ πολλάκις αὐτὰ τὰ σπέρματα διαφθείρουσιν, εἰ δὲ μὴ, πλῆθός γε ποιοῦσι βοτάνης, ὥστε καταπνίγεσθαι, καὶ ἀτροφεῖν. τῶν μὲν οὖν ἄλλων σπερμάτων οὐδὲν εἰς ἄλλο πέφυκε μεταβάλλειν, σπειρόμενον, Πυρὸν δὲ καὶ Κριθὴν εἰς Αἶραν, φασὶ, καὶ μᾶλλον τὸν Πυρόν. γίνεσθαι δὲ τοῦτ' ἐν ταῖς ἐπομβρίαις, καὶ μάλιστα ἐν τοῖς ἐϋύδροις καὶ ὀμβρώδεσι χωρίοις.

CAP. VII.

De Lolio inter Segetes: Cultura et Proprietates τῶν σιτωδῶν.

Ὅτι δ' οὐκ ἔστιν *ἠρινὸν ἡ Αἶρα, καθάπερ ἡ ἄλλη πόα· (c πειρῶνται γάρ τινες τοῦτο λέγειν·) ἐκεῖθεν δῆλον, εὐθὺς τοῦ χειμῶνος φανερὰ d γίνεται πεφυκυῖα. καὶ διαφέρει πολλοῖς, ἔχει γὰρ τὸ φύλλον στενὸν, καὶ *δασὺ, καὶ *λιπαρόν· καὶ τούτων ἰδιώτατον τὸ λιπαρὸν, ἡ γὰρ δασύτης καὶ ταύτης, καὶ τοῦ Αἰγίλωπος ὑπάρχει τοῦ ἦρος. τοῦτο μὲν ἴδιον τούτων, καὶ ἔτι τοῦ Λινοῦ. καὶ γὰρ ἐκ τούτου φασὶ γίνεσθαι τὴν Αἶραν. τοῦ δὲ Ἐρεβίνθου πρὸς τὰ ἄλλα χεδροπὰ [ἴδιον], τό, τε περὶ τὴν ἄνθησιν λεχθὲν, καὶ τὸ τάχιστα τελειοκαρπεῖν, ἰσχυρότατον ὂν, καὶ ξυλωδέστατον, καὶ τὸ e ὅλον μὴ ποιεῖν ἐν *νεοῖς καρπὸν, τὴν γὰρ πόαν ἐξαπόλλυσι. (μάλιστα δὲ καὶ τάχιστά φασι τὸν Τρίβολον.) ὅλως δὲ οὐδὲ ἡ τυχοῦσα [γῆ] δύναται φέρειν αὐτὸν, ἀλλὰ *μελαγγεῖόν τινα δεῖ καὶ πίειραν εἶναι. τῶν δὲ ἄλλων

c ἃ πειρῶνται Ald. Bas. d γίνεται deest Bod. e ἄλλον μὴ Bod.

καλλίστη νειὸς ἀπὸ τῶν Κυάμων, καίπερ πυκνοσπορουμένων καὶ πολὺν καρπὸν φερόντων. τὰ δὲ ἐν τοῖς θερινοῖς [f]ἀρότοις ὀλίγα δεῖ πάντα. φασὶ δὲ καὶ τὰ *ναματιαῖα συμφέρειν μᾶλλον αὐτοῖς τῶν ἐκ *διός. Μέλινοι δὲ καὶ Κέγχροι ἐλάττους ὕδατος [δέουσι], ἐὰν γὰρ ἔχωσι πλεῖον, φυλλοβολοῦσιν. ἰσχυρότερον δὲ ὁ Κέγχρος· οἱ δὲ Μέλινοι γλυκύτεροι, εἰ καὶ ἀδυνέστεροι. Σήσαμον δὲ οὐδεὶς ἐθίει χλωρὸν, οὐ δὲ Θέρμον· εἰ δὲ μὴ Ἐρύσιμον, μὴ δὲ Ὅρμινον, σκεπτέον, καὶ γὰρ ταῦτά ἐστι πικρά. ἔστι δὲ τὸ μὲν Ἐρύσιμον ὅμοιον Σησάμῳ, καὶ *λίπος ἔχει, τὸ δὲ Ὅρμηνον, κυμινῶδες, μέλαν, σπείρεται δὲ ἅμα καὶ [g]τῷ Σησάμῳ. περὶ μὲν οὖν τούτων σκεπτέον, ἐν δὲ ταῖς ἀγαθαῖς χώραις πρὸς τὸ μὴ φυλλομανεῖν, *ἐπινέμουσι καὶ ἐπικείρουσι τὸν Σῖτον, ὥσπερ καὶ ἐν [h]Θετταλίᾳ συμβαίνει· δ' ἂν μὲν ἐπινέμωσιν ὁποσακισοῦν, μηδὲν ἀλλοιοῦσθαι τὸν καρπὸν, ἂν δὲ ἐπικείρωσιν, ἅπαξ μόνον *ἐξίστασθαι τὸν Πυρὸν, καὶ γίνεσθαι [i]μακρὸν, καὶ οὐχ ἁδρὸν, ὃν καλοῦσι [k]Καμακίαν, καὶ οὐκ *ἀποκαθίστασθαι πάλιν σπειρόμενον. τοῦτο μὲν οὖν ὡς παύροις συμβαῖνον Θετταλοὶ λέγουσιν, ἐν Βαβυλῶνι δὲ ἀεὶ, καὶ ὥσπερ [l]τεταγμένως, ἐπικείρουσι μὲν δὶς, τὸ δὲ τρίτον τὰ πρόβατα ἐπαφιᾶσιν, οὕτω γὰρ φύει τὸν καυλὸν, εἰ δὲ μὴ, *φυλλομανεῖ. γίνεται δὲ [ἐν τοῖς] μὴ καλῶς ἐργασαμένοις πεντηκοντόχοα, τοῖς δὲ ἐπιμελῶς, ἑκατοντόχοα· ἡ δὲ *ἐργασία, τὸ ὡς πλεῖστον χρόνον ἐμμένειν τὸ ὕδωρ, ὅπως [m]πηλὸν ποιήσῃ πολλὴν, πίειραν γὰρ οὖσαν καὶ πυκνὴν τὴν γῆν δεῖ ποιῆσαι

f ἀρότροις Bod. g τὸ Σήσαμον. Bod. h Θετταλίᾳ ὁσίτιος συμβαίνει, Const. i μικρὸν Bod. k καματίαν, Bod. l τεταμμένως, Ald. Bas. m ὕλην Bod.

μανήν· n *ὕλην δὲ οὐ φέρει ϗ πόαν ὥσπερ ἐν Αἰγύπτῳ· τὰ μὲν οὖν τοιαῦτα ἐκ χώρας ἀρετῆς. φύεται δὲ ϗ ἀπὸ τῶν ῥιζῶν Πυρὸς, καὶ Κριθὴ, πολλαχοῦ τῷ ὑστέρῳ ἔτει· αὐτοετὴς δὲ καὶ ἀπὸ τῶν εἰς o πράσιν κειρομένων, ἑτέρου καλάμου παραβλαστάνοντος, ὡσαύτως δὲ κἂν ἀπὸ χειμῶνος *ἐκπαγῇ, παραβλαστάνει γὰρ *ὑδάτων ἐπιγινομένων· ὁ δὲ στάχυς εὐτελὴς καὶ μικρὸς, ἀπὸ τῶν τοιούτων. βλαστάνουσι δὲ τῷ ὑστέρῳ ἔτει καὶ ἀπὸ τῶν *καταπατουμένων, καὶ *συμπατουμένων ὥστε μηδὲν εἶναι δῆλον, ὡς εἰπεῖν, οἷον ὅταν διέλθῃ στρατόπεδον. εἰσὶν δ' οἱ στάχυες μικροὶ καὶ p τούτοις, οὓς καλοῦσι *Ἄρνας. τῶν δὲ χεδροπῶν οὐδὲν δύναται τοιοῦτο ποιεῖν, ἢ οὐχ ὁμοίως· ἢ ϗ αἱ βλαστήσεις q τοσαυταχῶς. πρὸς αὔξησιν δὲ καὶ τροφὴν μέγιστα μὲν ἡ τοῦ ἀέρος κρᾶσις συμβάλλεται, ϗ ὅλως ἡ τοῦ ἔτους κατάστασις, εὐκαίρων γὰρ ὑδάτων, ϗ εὐδιῶν ϗ χειμώνων γινομένων, ἅπαντα εὔφορα καὶ πολύκαρπα, κἂν ἐν ἀλμώδεσι ϗ λεπτογείοις ᾖ, διὸ καὶ παροιμιαζόμενοι λέγουσι καλῶς "ὅτι ἔτος φέρει οὐχὶ ἄρουρα." μέγα δὲ καὶ αἱ χῶραι διαφέρουσιν, οὐ μόνον τῷ πίειραι, καὶ λεπταὶ, καὶ ἔμβροι, καὶ αὐχμώδεις, ἄλλα καὶ τῷ περιέχοντι, καὶ τοῖς πνεύμασιν· ἔνιαι γὰρ οὖσαι λεπταὶ καὶ φαῦλαι *τελεσφοροῦσι, διὰ τὸ πρὸς τὰ πνεύματα τὰ πόντια κεῖσθαι καλῶς, ἄλλα δὲ ἄλλοις τοιαῦτα, καθάπερ πολλάκις εἴρηται· ταῖς μὲν γὰρ ζεφυρικὰ, ταῖς δὲ τὰ βόρεια, ταῖς δὲ τὰ νότια· συμβάλλεται δὲ, καὶ οὐ μικρὸν ἡ ἐργασία, καὶ μάλισθ' ἡ τοῦ σπόρου, κατεργαθεῖσα γὰρ

n Vid. not. ad fin. libri. o κράσιν Bod. p τούτους Bod. q τοιαυταχῶς· Bod.

ῥαδίως ἐκφέρει· καὶ ἡ κόπρος δὲ μεγάλα βοηθεῖ, τῷ διαθερμαίνειν καὶ συμπέττειν, προτρέχει γὰρ τὰ κοπριζόμενα τῶν ἀκόπρων εἴκοσιν ἡμέραις· ἅπασι δὲ οὐ ξυμφέρει. [r] καὶ χρήσιμος [ἡ κόπρος] οὐ μόνον τοῖς περὶ τὸν σῖτον, ἀλλὰ καὶ τοῖς ἄλλοις, πλὴν [s] Πτερίδι, ταύτην δὲ φθείρειν φασὶν ἐπιβαλλομένην. ἀπόλλυται δὲ καὶ ἡ Πτερὶς, καὶ ἐπικοιμωμένων τῶν προβάτων· ὡς δέ τινες λέγουσι καὶ ἡ Μηδίκη διὰ τὴν κόπρον καὶ τὸ οὖρον.

CAP. VIII.

Seminum Differentiæ: Mutationes. De Polygono, Aparine, et Orobanche.

ΤΩΝ δὲ σπερμάτων ἕκαστα καὶ πρὸς τὴν τῆς ὥρας φύσιν ἁρμόττει, καὶ ὅλως γένη πρὸς γένος, καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν, ἂν δὴ πειρῶνται διαιρεῖν. μεταβάλλει δὲ τὰ *ξενικὰ τῶν σπερμάτων, μάλιστα μὲν ἐν τρισὶν ἔτεσιν, εἰς τὰ ἐπιχώρια. συμφέρει δ' ἐκ τῶν ἀλεεινῶν εἰς τὰ μικρὸν ἧττον ἀλεεινὰ, καὶ ἐκ τῶν ψυχρῶν ἀνάλογον ποιεῖσθαι τὴν μεταβολήν· τὰ δ' ἐκ τῶν *δυχειμερινῶν ἐν τοῖς πρωΐοις ὀψὲ *ἀπόκειται, ὥστ' ἀπ' αὐχμοῦ φθείρεσθαι, ἐὰν μὴ ὄψιον ὕδωρ σώσῃ. διὰ τοῦτο καὶ εὐλαβητέον φασὶ τὸ μίσγειν τὰ ξενικὰ τοῖς ἐπιχωρίοις, ἐὰν μὴ ἐξ ὁμοίας, [t] ἔστι γὰρ ἀσύμφωνος χώρα κατὰ τὸν σπορὸν, καὶ κατὰ τὴν γένεσιν, ὥστε καὶ ἐργασίας ἑτέρας δεῖσθαι. τάς τε τῆς γῆς διαφορὰς καὶ τὰς τῶν σπερμάτων δυνάμεις, καὶ ἔτι τὰς ἑκάστων ὥρας ἔτι

[r] καὶ χρήσιμος οὐ μόνον Bod. [s] πτερία. Bod. [t] ἔτι ἀσύμφωνος χώρα Bod. ἔτι ἀσύμφωνα τῇ ὥρᾳ Ald.

θεωρητέον· ὅταν δὲ *εὐετηρία γένηται, καὶ *πολυνοστότερα τὰ σπέρματα γίνεται. Ἀθήνησι δ' οὖν αἱ Κριθαὶ τὰ πλεῖστα ποιοῦσι τὰ ἄλφιτα, κριθοφόρος γὰρ ἀρίστη· τοῦτο δ' οὐχ ὅταν πλεῖστα γένωνται, ἀλλ' ὅταν λάβῃ τινὰ *κράσιν· ἐν δὲ τῇ Φωκίδι περὶ Ἐλάτειαν οἱ Πυροὶ καὶ αἱ Κριθαί· καὶ παρ' ἄλλοις ἄλλα, πρὸς ἅπερ εὐφυὴς ἑκάστη. βελτίω μὲν οὖν καὶ χείρω τὰ σπέρματα, καὶ διὰ τὴν ἐργασίαν, καὶ διὰ τὴν γῆν γίνεται, καὶ γὰρ ἀπαγριοῦται καὶ ἡμεροῦται, καθάπερ τὰ δένδρα· καὶ [u]ὅλως μεταβάλλει διὰ τὴν χώραν, ὥσπερ τὰ τῶν δένδρων, καὶ εὐθὺς ἕστηκε πρὸς τὸ χεῖρον. γένος δ' ὅλον ἐξαλλάττειν εἰς ἕτερον, οὐδὲν ἕτερον ἄλλο πέφυκε πλὴν Τίφη καὶ [x]Ζειά, καθάπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις· καὶ ἡ Αἶρα δ' ἐκ τῶν Πυρῶν καὶ Κριθῶν διαφθειρομένων, ἢ, εἰ μὴ τοῦτο, ἀλλὰ φιλεῖ γε μάλιστα [ἡ Αἶρα] ἐν τοῖς Πυροῖς γίνεσθαι, καθάπερ καὶ ὁ Μελάμπυρος ὁ Ποντικὸς, καὶ τὸ τῶν Βολβῶν σπέρμα, καὶ ἄλλα δὲ ἐν ἄλλοις τῶν σπερμάτων· ἔτι καὶ ὁ Αἰγίλωψ δοκεῖ μᾶλλον ἐν ταῖς Κριθαῖς· ἐν δὲ τοῖς [y]Φάκοις Ἄρακος, τραχύ τι καὶ σκληρόν· ἐν δὲ ταῖς Ἀφάκαις, ὁ Πελεκῖνος ὅμοιον τῇ ὄψει τῷ πελέκει· σχεδὸν δὲ καθ' ἕκαστόν ἐστι τὸ συνεκτρεφόμενον, καὶ τὸ ἀναμιγνύμενον, εἴτε διὰ τὰς χώρας (ὅπερ οὐκ ἄλογον) εἴτε δι' ἄλλην αἰτίαν· ἔνια δὲ καὶ φανερῶς ἐστι κοινὰ πλειόνων, ἀλλὰ διὰ τὸ μάλιστα ἔν τισιν [z]*εὐθενεῖν, ἴδια τούτων φαίνεται, καθάπερ ἡ Ὀροβάγχη, τῶν Ὀρόβων, καὶ ἡ [a]Ἀπαρίνη τῶν Φακῶν. ἀλλὰ ἡ μὲν μάλιστα ἐπικρατεῖ τῶν Ὀρό-

[u] ὅλος μεταβάλλει τὴν χώραν, Ald. Bas. [x] ὕεα, Bod. error typogr. [y] ἀφάκοις, Bod. [z] ἀσθένειν Ald. [a] ἀπανίνη Bod.

βων διὰ τὴν ἀσθένειαν, ἡ δὲ Ἀπαρίνη μάλιστα ἐν τοῖς Φακοῖς, εὐτροφίᾳ· τρόπον δέ τινα παραπλήσιός ἐστι τῇ Ὀροβάγχῃ, διὰ τὸ ἐπιβάλλειν καὶ κατέχειν ὅλον, ὥσπερ *πλεκτάνη· ἀποπνίγει γὰρ οὕτως, ὅθεν καὶ τὸ ὄνομα εἴληφε. τὸ δ' ὑποφυόμενον εὐθὺς ἐκ τῆς ῥίζης [c] τῷ Κυμίνῳ τὸ Αἱμόδωρον, μονόκαυλον, οὐκ ἀπεμφερὲς τῷ Βουκέρῳ, τῷ καυλῷ, πλὴν βραχύτερόν τι πολὺ, καὶ ἄνωθέν τι κεφαλῶδες ἔχει, ῥίζαν δὲ ὑποστρόγγυλον· οὐδὲν δ' ἕτερον ἀφαναίνεται παρὰ τὸ Βούκερας, γίνεται γὰρ διὰ ταῦτα ἐν ταῖς λεπταῖς, οὐκ ἐν ταῖς πιείραις, ὥσπερ καὶ τῆς Εὐβοίας ἐν τῷ Ληλάντῳ μὲν οὐ γίνεται, περὶ δὲ τὸν Κάνηθον, καὶ εἴ τις ἄλλος τοιοῦτος τόπος. ταῦτα μὲν οὖν, κοινὰ πλειόνων ὄντα, κατισχύει μᾶλλον ἐν τοῖς εἰρημένοις διὰ τὴν [d] ἀσθένειαν.

CAP. IX.

Qualitates Leguminum. Triticum monococcum. Hordeum Zeocritum. Avena fatua, &c. &c.

ΤΟ δὲ *τέραμον καὶ ἀτέραμον λέγεται μὲν ἐπὶ τῶν *ὀσπρίων μόνον· οὐκ ἄλογον δὲ καὶ ἐπὶ τῶν σιτωδῶν παραπλήσιον, ἢ καὶ ταὐτό τι συμβαίνειν, ἀλλὰ, διὰ τὸ μὴ τὴν αὐτὴν εἶναι χρεῖαν, οὐχ ὁμοίως ἐμφανὲς, ἐπεὶ οὐδ' ἐπὶ τούτων ἁπάντων ὁμοίως, ἀλλὰ μάλιστα ἐπὶ τῶν Κυάμων λέγεται καὶ Φακῶν· εἴτ' οὖν καὶ μάλιστα παχόντων, εἴτε καὶ διὰ τὴν χρεῖαν φαινομένων, γίνεται γοῦν πλέον· *πολλαχῶς γὰρ τόποι τινές εἰσιν, οἳ ἀεὶ φέρουσι τεράμονα, καὶ ἄλλοι πάλιν ἀτεράμονα. (τὸ δὲ

[h] πλεκτάνην Bas. [c] Vid. not. ad fin. libri. [d] Vid. not. ad fin. libri.

ὡς ἐπίπαν, οἱ *λεπτόγεω, μᾶλλον τεράμονα. καὶ ἀέρος κατάστασίς τις ποιεῖ τὴν τοιαύτην παραλλαγὴν, σημεῖον δὲ, ὅτι ταὐτὰ τὰ χωρία, καὶ ὁμοίως ἐργαθέντα, [c]ποτὲ φέρει τεράμονα, ποτὲ δὲ ἀτεράμονα· περὶ Φιλίππους δὲ ὁ Κύαμος, ἐὰν ὑπὸ πνεύματος ἐγχωρίου *λιχμώμενος ληφθῇ, τεράμων ὢν, ἀτεράμων γίνεται. ταῦτα μὲν οὖν μηνύει, διότι πολλαχῶς [εἰσὶν οἱ τόποι]. τῶν δὲ τῶν χωρίων ἔνια *σύνορα, καὶ ὁμοίως καθήμενα, καὶ οὐδεμίαν ἔχοντα κατὰ τὴν γῆν διαφορὰν, τὰ μὲν τεράμονα, τὰ δ' ἀτεράμονα φέρει, καὶ ἐνίοτε μόνον αὔλακος διοριζόσης. *καρπίζεται δὲ τὴν γῆν μάλιστα Πυρὸς, εἶτα Κριθὴ, διὸ καὶ ὁ μὲν ἀγαθὴν ζητεῖ χώραν, ἡ δὲ Κριθὴ δύναται καὶ ἐν ταῖς ψαφαρωτέραις ἐκφέρειν. τῶν δὲ χερδοπῶν μάλιστα Ἐρέβινθος [καρπίζεται τὴν γῆν], καίπερ ἐλάχιστον χρόνον ἐν τῇ γῇ μένων. ὁ δὲ Κύαμος, ὥσπερ ἐλέχθη, καὶ ἄλλως οὐ βαρὺς, καὶ ἔτι κοπρίζειν δοκεῖ τὴν γῆν διὰ μανότητα καὶ [f]*εὐσηψίαν. διὸ καὶ οἱ περὶ Μακεδονίαν καὶ Θετταλίαν, ὅταν ἀνθῶσιν, ἀνατρέπουσι τὰς ἀρούρας. τῶν δὲ *ὁμοιοπύρων, καὶ [g]*ὁμοιοκρίθων, οἷον Ζειᾶς, Τίφης, Ὀλύρας, Βρόμου, Αἰγίλωπος, ἰσχυρότερον καὶ μάλιστα καρπιζόμενον, ἡ Ζειά· καὶ γὰρ πολύρριζον, καὶ βαθύρριζον, καὶ πολυκάλαμον, ὁ δὲ καρπὸς κουφότατος, καὶ *προσφιλὴς πᾶσι τοῖς ζώοις. τῶν δ' ἄλλων ὁ Βρόμος πολύρριζος, καὶ γὰρ οὗτος πολυκάλαμος· ἡ δὲ Ὀλύρα, μαλακώτερον καὶ ἀσθενέστερον τούτων· ἡ δὲ Τίφη, πάντων κουφότατον, καὶ γὰρ μονοκάλαμον, διὸ καὶ χώραν ζητεῖ λεπτὴν, οὐχ ὥσπερ ἡ Ζειὰ πίειραν

[c] ποτὲ deest Bod. [f] εὐπιψίαν. Bod. [g] Vid. not. ad finem libri.

καὶ ἀγαθήν· ἔστι δὲ δύο ταῦτα καὶ ὁμοιότατα τοῖς Πυροῖς. ὅτ' Αἰγίλωψ καὶ ὁ Βρόμος, ὥσπερ ἄγρια ἄττα καὶ ἀνήμερα [εἰσί]· ἐπικαρπίζεται δὲ σφόδρα καὶ ὁ Αἰγίλωψ τὴν γῆν, καὶ ἔστι πολύῤῥιζον καὶ πολυκάλαμον· ἡ δὲ Αἶρα παντελῶς ἀπηγριωμένον. τῶν δὲ ἐν τοῖς θερινοῖς ἀρότοις, τὸ Σήσαμον δοκεῖ *χαλεπώτατον εἶναι τῇ γῇ, καὶ μάλιστα καρπίζεσθαι· καὶ πολυκαλαμώτερον, καὶ παχυκαλαμώτερον, καὶ [h] πολλυῤῥιζότερον Κέγχρου. διαφέρει δὲ τά τε πρὸς τὴν γῆν κοῦφα, καὶ τὰ πρὸς τὴν ἡμετέραν τροφήν· ἔνια γὰρ ἐναντίως, ὥσπερ τά τε Χεδροπὰ, καὶ οἱ Κέγχροι κατὰ τὰ πρὸς ἡμᾶς τε, ὥσπερ ἐλέχθη, καὶ [πρὸς] τ' ἄλλα ζῶα.

CAP. X.

Seminum Corruptiones, &c. &c.

ΤΩΝ δὲ σπερμάτων νοσήματα, τὰ μὲν κοινὰ πάντων ἐστὶν, οἷον *ἐρυσίβη· τὰ δ' ἴδια τινῶν, οἷον ὁ *σφακελισμὸς τοῦ Ἐρεβίνθου· καὶ τὸ ὑπὸ καμπῶν κατεσθίεσθαι, καὶ ὑπὸ Ψύλλων, θηρίων. ἔνια δὲ καὶ *ψώραις καὶ *ἅλμαις [ἀπόλλυται], καθάπερ τὸ Κύμινον. τὰ δὲ *ἐπιγινόμενα ζῶα, εἰ μὴ ἐξ αὐτῶν, ἀλλ' ἐκ τῶν ἔξωθεν, οὐχ ὁμοίως βλάπτει, ἐπιγίνεται γὰρ ἡ μὲν *Κανθαρὶς ἐν τοῖς Πυροῖς, τὸ δὲ *Φαλάγγιον ἐν Ὀρόβοις· ἄλλα δ' ἐν ἄλλοις. *ἐρυσίβαι δ', ὡς ἁπλῶς εἰπεῖν, εἰς τὰ σιτώδη, μᾶλλον τῶν ὀσπρίων. αὐτῶν δὲ τούτων ἡ Κριθὴ μᾶλλον [ἐρυσιβώδης] ἢ Πυρὸν, καὶ τῶν Κριθῶν ἕτεραι ἑτέρων, μάλιστα, δ', ὡς εἰπεῖν, ἡ Ἀχιλληΐς. διαφέρει

h βαθυῤῥιζότερον Const.

δὲ καὶ ἡ τῶν χωρίων *θέσις, καὶ ἡ φύσις [i] οὐ μικρόν· τὰ προσήνεμα γὰρ καὶ μετέωρα οὐ βλάπτουσιν αἱ ἐρυσίβαι, ἢ ἧττον, ἀλλὰ τὰ ἔγκοιλα καὶ ἄπνοα. γίνεται δὲ ἡ ἐρυσίβη πανσελήνοις μάλιστα. ἀπόλλυται δὲ καὶ ὑπὸ τῶν πνευμάτων καὶ Πυρὸς καὶ Κριθὴ, ὅταν ἢ ἀνθοῦντα ληφθῇ, ἢ ἄρτι ἀπηνθηκότα, καὶ ἀσθενῆ· μᾶλλον δὲ καὶ Κριθή. πολλάκις δ' [k] ἤδη ἐν τῷ ἀδρύνεσθαι, ἐὰν πνεῦσις μεγάλη καὶ πλείω χρόνον ἐπιγένηται· ξηραίνει γὰρ καὶ ἀφαυαίνει, ὃ καλοῦσί τινες *ἐξανεμοῦσθαι. διαπόλλυσι δὲ καὶ ἥλιος ὁ ἐκνέφελος ἄμφω, καὶ μᾶλλον Πυρὸν ἢ Κριθὴν, ὥστε μὴ δ' ἐπίδηλον εἶναι τὸν στάχυν τῇ ὄψει ὄντα κενόν. τὸν δὲ Πυρὸν ἀπολλύουσι καὶ οἱ *σκώληκες, οἱ μὲν εὐθὺς κατεσθίοντες, φυομένε τὰς ῥίζας, οἱ δὲ, ὅταν αὐχμῶντες [l] ἀποτελειωθῆναι μὴ δύνωνται, τότε γὰρ ἐγγινόμενος ὁ Σκώληξ ἐσθίει τὸν ἀποπνιγμένον κάλαμον· ἐσθίει δὲ ἄχρι τοῦ στάχυος, εἶτ' ἐξαναλώσας ἀπόλλυται· καὶ ἐὰν μὲν ὅλον ἐκφάγῃ, τελέως αὐτὸς ὁ Πυρὸς, ἐὰν δὲ ἐπὶ θατέρου τοῦ καλάμου [ἐσθίῃ] καὶ ἐκβιάζηται τὴν *ἀπόχυσιν, τοῦτο μὲν οὖν τοῦ στάχυος [ἀπόλλυται μέρος], θάτερον δὲ ὑγιές. γίνεται δὲ οὐ πανταχοῦ τὸ περὶ τοὺς Πυροὺς οἷον ἐν Θετταλίᾳ, ἀλλὰ κατὰ χώρας τινὰς, ὥσπερ ἐν τῇ Λιβύῃ, καὶ τῆς Εὐβοίας, ἐν τῷ Ληλάντῳ. Σκώληκες δὲ γίνονται καὶ ἐν τοῖς Ὠχροις, καὶ ἐν τοῖς Λαθύροις, καὶ τοῖς Πίσοις, ὅταν ὑγρανθῶσι, καὶ θερμημερίαι γίνωνται· καὶ [ἐν τούτοις] καθάπερ ἐν τοῖς Ἐρεβίνθοις, αἱ Κάμπαι. τὰ δὲ ἐξαναλώσαντα τὰς τροφὰς ἀπόλλυται καὶ ἐν τοῖς

[i] οὐ deest Bod. [k] ἤδη deest Ald. Bas. [l] ἀπολιθῆναι Ald.

χλωροῖς καὶ ἐν τοῖς καρποῖς, οἷον οἵ τε Ἴπες, καὶ οἱ ἐν τοῖς Κυάμοις ἐγγινόμενοι, καὶ ἐν τοῖς ἄλλοις, ὥσπερ καὶ [m] ἐν τοῖς δένδροις, καὶ ἐν τοῖς ξύλοις ἐλέχθη, πλὴν τῶν Κεραςῶν καλουμένων. πρὸς ἅπαντα δὲ ταῦτα μεγάλως διαφέρουσιν αἱ χῶραι, οὐκ ἀλόγως, ὁ γὰρ ἀὴρ εὐθὺς διάφορος, τῷ θερμὸς ἢ ψυχρὸς εἶναι, ἢ ὑγρὸς ἢ ξηρὸς, [n] οὗτος δ' ἐστιν ὁ γεννῶν· διὸ καὶ ἐν αἷς εἰώθασι γίνεσθαι, οὐκ ἀεὶ γίνονται. τῶν δὲ σπερμάτων οὐκ ἡ αὐτὴ δύναμίς ἐστιν, εἴς τε τὴν βλάστησιν, καὶ εἰς θησαυρισμόν· ἔνια μὲν γὰρ βλαστάνει καὶ τελειοῦται τάχιστα, καὶ θησαυρίζεται κάλλιστα, καθάπερ Ἔλυμος, καὶ Κέγχρος· ἔνια δὲ βλαστάνει μὲν [καὶ τελειοῦται], οὐ ταχέως δὲ, καθάπερ ὁ Κύαμος, καὶ μᾶλλον ὁ *ἀτεράμων. ταχὺ δ' ἡ Ἀφάκη, καὶ ὁ Δολιχὸς διαφθείρεται· Κριθὴ δὲ Πυροῦ θᾶττον, καὶ ὁ *κονιορτώδης ἢ ὁ ἀκονίορτος· καὶ [o] ἐν ταῖς ἀποθήκαις ἀκονιάτοις, μᾶλλον ἢ κονιάτοις, ἐγγίνεται διαφθειρομένοις σπέρμασιν ἴδια ζῶα, καθάπερ ἐλέχθη, πλὴν Ἐρεβίνθου, μόνος γὰρ οὗτος οὐ ζωογονεῖ. καὶ σηπομένοις μὲν πᾶσι Σκώληξ, *κοπιομένοις δὲ, καθέκαςον ἴδιον. πάντων δὲ μάλιςα διαμένουσιν Ἐρέβινθος καὶ Ὄροβος, τούτων δ' ἔτι μᾶλλον ὁ Θέρμος, ἀλλ' ἔοικεν οὗτος ὥσπερ ἄγριος. διαφέρει δὲ, ὡς ἔοικε, χώρα χώρας, καὶ ἀὴρ ἀέρος εἰς τὸ κόπτεσθαι καὶ μὴ, τὰ σπέρματα· ἐν Ἀπολλωνίᾳ γοῦν, τῇ περὶ τὸν Ἰόνιον, οὐκ ἐδίεσθαί φασιν ὅλως Κύαμον, διὸ καὶ εἰς θησαυρισμὸν ἀποτίθεσθαι· διαμένει δὲ καὶ περὶ Κύζικον ἐπὶ πλείω. μέγα δὲ πρὸς διαμονὴν, καὶ τὸ ξηρὰ θε-

[m] οὗτος ἦν ὁ νιύων ἐν τοῖς Ald. Bas. [n] κράτιστα Ald. Bas.
[o] ἐν τοῖς κονιορτοῖς ἅπασιν. οἷον κονιάτοις Bod.

ριζειν, ἐλάττων γὰρ ἡ ὑγρότης. θερίζουσι δ' *εὐχυλότερα τὰ μὲν χεδροπὰ πρὸς τὸ μᾶλλον καὶ ῥάον συλλέξαι, ταχὺ γὰρ *καταῤῥεῖ αὐανθέντα, καὶ θρύπτεται. [p]τοὺς δὲ Πυροὺς, καὶ γένος τι Κριθῶν, διὰ τὸ βελτίους εἰς τὰ ἄλφιτα γενέσθαι [θερίζουσι] μὴ ἀπεξηραμένους· διὸ καὶ εἰς *θωμοὺς συντιθέασι καὶ Πυροὺς καὶ Κριθὰς, καὶ δοκοῦσιν ἀδρύνεσθαι ἐν θωμῷ μᾶλλον ἢ [q]*λιποσαρκεῖν. οὐκ ἐθίεται δὲ Σῖτος ὅταν ὑθεὶς *περιφυῇ· ἀθέριστος δὲ, μάλιστα διαμένει ὁ Πυρὸς, ἔτι δὲ μᾶλλον ὁ Θέρμος, οὐ δὲ γὰρ θερίζουσι τοῦτον πρὶν ὕδωρ γενέσθαι, διὰ τὸ ἐκπηδᾷν θεριζόμενον, καὶ ἀπόλλυσθαι τὸ σπέρμα.

CAP. XI.

Anniculum Semen optimum ad sementem. Deque Lupino, et Avena fatua.

ΠΡΟΣ ἔκφυσιν δὲ, καὶ τὴν ὅλην *σπορὰν ἄριστα δοκεῖ τὰ ἑνάενα, τὰ δὲ δίενα χείρω, ὡς καὶ τὰ [r]τρίενα, τὰ δ' ὑπερτείνοντα σχεδὸν ἄγονα· πρὸς δὲ τὴν σίτησιν ἀρκοῦντα, βίος γάρ ἐςιν ἑκάςοις ὡρισμένος εἰς *γονήν· καίτοι καὶ ταῦτα παραλλάττει ταῖς δυνάμεσι διὰ τοὺς τοπους ἐν οἷς ἂν θησαυρίζωνται. τῆς γοῦν Καππαδοκίας ἐν χωρίῳ τινὶ τῷ καλουμένῳ Πέτρᾳ, καὶ τετταράκοντα ἔτη διαμένειν φασὶ, γόνιμα δὲ, καὶ χρήσιμα πρὸς σπόρον, εἰς δὲ τὴν σίτησιν ἑξήκοντα ἢ ἑβδομήκοντα. τὸ γὰρ ὅλον [s]οὐ *κόπτεσθαι, τὰ δὲ ἱμάτια καὶ τὴν ἄλλην γάζαν κόπτεσθαι· τὸ γὰρ χωρίον ἄλλως τε, [φασὶν,] ὑψηλὸν

[p] τὰς δὲ Κριθὰς, καὶ γένος Bod. [q] λιποσαρκεῖν deest Ald.
[r] τρίενα κάκιστα, Const. [s] οὐκ ὄπτεσθαι· Bod.

εἶναι, καὶ εὔπνουν, καὶ εὔαυρον αἰεί· καὶ ἐπὶ ἀνατολῆς ἔχουσι, καὶ ἐπὶ δύσεως καὶ μεσημβρίας, φασὶ δὲ καὶ ἐν Μηδείᾳ καὶ ταῖς ἄλλαις ὑψηλαῖς χώραις, διαμένειν θησαυριζόμενα πολὺν χρόνον Ἐρέβινθον δὲ καὶ Θέρμον καὶ Ὄροβον καὶ Κέγχρον, καὶ τὰ τοιαῦτα (δηλονότι δὲ πολλὰ πλείω τούτων) ὥσπερ καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τόποις. ἀλλὰ ταῦτα μὲν, ὥσπερ εἴρηται, τῶν τόπων ἴδια· δοκεῖ δὲ καὶ γῆ τὶς εἶναι παρά τισιν, ἡ διαπαττομένη συντηρεῖ τὸν Πυρὸν, ὥσπερ ἥτε ἐν Ὀλύνθῳ, καὶ ἐν Κηρίνθῳ τῆς Εὐβοίας· ποιεῖ δὲ χείρω μὲν εἰς τὴν σίτησιν, ἀδρότερον δὲ τῇ προσόψει, παρατάττουσι δὲ χοίνικα εἰς τὸν μέδιμνον. πυρωθέντα δὲ πάντα τὰ σπέρματα ἀπόλλυται, καὶ ἄβλαστη γίνεται· καίτοι περί γε Βαβυλῶνά φασι τὰς Κριθὰς καὶ τοὺς Πυροὺς ἐπὶ τῆς ἅλω πηδᾷν, ὥσπερ τὰ *φρυγόμενα· ἀλλὰ δῆλον ὅτι διαφορά τίς ἐστι τῆς θερμότητος, καὶ οὐχ [r]ἁπλῶς ἐκ τῆς θερμασίας γίνεται, καὶ ἡ πήδησις. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὥσπερ [u]κοινὰ δόξαιεν ἂν εἶναι πάντων, ἢ τῶν πλείζων, ἔνια δὲ ἔχει τινὰ ἰδιότητα τῶν δοκούντων ὥσπερ ἀγρίων εἶναι κατὰ τὴν γένεσιν καὶ ἔκφυσιν, ὥσπερ ὁ Θέρμος, καὶ ὁ Λιγίλωψ· ὁ μὲν γὰρ Θέρμος καίπερ ἰσχυρότατος ὢν, ὅμως ἐὰν μὴ εὐθὺς ἐκ τῆς ἅλω *καταβληθῇ, κακοφυὴς γίνεται, καθάπερ ἐλέχθη· καὶ τὸ ὅλον δὲ οὐκ ἐθέλει κρύπτεσθαι τῇ γῇ, διὸ καὶ οὐχ [x]ὑπαροῦντες σπείρουσι· πολλάκις δὲ κἂν εἰς ὕλην ἢ βοτάνην τινὰ [y]δασεῖαν πέσῃ, διωσάμενος ταύτην, συνάπτει τὴν ῥίζαν τῇ γῇ καὶ βλαστάνει. χώραν δὲ

[r] ἁπλῶς πῶς θερμασία Bod. [u] εἰκόνες Bod. [x] ὑπαροτροῦντες Theod. [y] δασεῖαν deest Bod.

ὕφαμμον ζητεῖ καὶ φαύλην μᾶλλον· τὸ δὲ ὅλον οὐκ ἐθέλει φύεσθαι ἐν γῇ διειργασμένῃ. ὁ δὲ Αἰγίλωψ ἀνάπαλιν, ἐν γὰρ τῇ γεωργουμένῃ κάλλιον· καὶ ἐνιαχοῦ δὲ, πρότερον ἀβλαστὴς ὢν, ἐὰν γεωργηθῇ, βλαστάνει καὶ γίνεται πολύς· καὶ ὅλως δὲ φιλεῖ χώραν ἀγαθήν· ἴδιον δὲ αὐτοῦ λέγεται πρὸς τὰ ἄλλα τὰ σιτώδη σπέρματα καὶ ἡ παρ' ἐνιαυτὸν βλάστησις ἑκατέρου τῶν σπερμάτων, διὸ καὶ οἱ βουλόμενοι τελέως φθεῖραι (δύσφθαρτον γὰρ δὴ φύσει τυγχάνει) τὰς ἀρούρας ἀνίασιν ἀσπόρους ἐπὶ δύο ἔτη, καὶ ὅταν ἀναβλαστήσῃ, τὰ πρόβατα ἀφιᾶσι πολλάκις, ἕως ἂν * ἐκνεμηθῶσι· καὶ αὐτὴ γίνεται φθορὰ παντελὴς, ἅμα δὲ τοῦτο μαρτυρεῖ καὶ τὴν παρὰ μέρος βλάστησιν.

NOTÆ

IN LIBRUM OCTAVUM.

CAP. I.

Ἀνώνυμα κοινῇ προσηγορίᾳ. Quæ non discriminantur inter se; communi nomine indicata.

Ζειά. Triticum, *monococcum*. Cat. "Frumenta, ut Triticum, "Hordeum." Plin. lib. xviii. c. 7. Trit. Far, Hordeum, infra inter hyberna. Octobri mense serimus Triticum et Adoreum Pallad. c. 9. Zeæ monococcæ et dicoccæ meminit Bauhinus, quarum prior Trit. *monococcum* L. Briza dicta: posterior Trit. *Spelta:* ambæ aristatæ. Vid. Far adoreum. Ζειὰ ἐν δυσχειμέροις, Gal. Secundum Plinium etiam pauperum seges: "Qui "Zea utuntur non habent Far." Ibid. c. 8. Ζειᾶς γένη δύο· ἁπλῆ et δίκοκκος. Dioscor. ita Bauhin. supra. Quatuor species enumerantur a Columella, lib. ii. c. 6. Superfluum videtur curiosius indagare Tritici, vel Farris species, quæ adeo cultura variant.

Τίφη. Triticum, *Spelta*. Cat. Ἔξωθεν τὸ σπέρμα ἔχει λέμμα, καθάπερ Ὀλύρα καὶ Κριθή. Dioscor. Si tamen vox λέμμα pro tunica vel cortice accipiatur, Theophrastum contradicit, qui ait Κριθῆς καρπὸν γύμνον. Quid si λέμμα, a λέπτῳ (gracili) arista? alias nulla spicæ aristatæ inter frumentacea mentio. Apud Ger. em. exhibentur species duæ Tritici aristati, quarum una Triticum, *Tiphinum*. Num. 2, 3. p. 66. Observatione dignum est nomen Teff, terminatione Græca η omissa, hodie apud Æthiopas frumenti genus indicare: necnon apud Homerum Κρῖ pro Κριθῇ legi, omissa terminatione θη. Nonne hinc probabile fit frumenta ex oriente Græciam allata?

Ὀλύρα. Hordeum, *zeocriticum* L. Cat. Arinca, Plin. sed, ut

ipse ait, species Gallica. Avenæ mentio fit apud Plinium alio loco: sed certe Avena non ὁμοιόπυρος. Equorum pabulum secund. Homerum.

Ὁμοιόπυρον distinctum ab ὁμοιοκρίθη, c. 9. sed dubitandum an de Spica simplici et paniculata dictum. Vid. Ζειὰ, &c. supra. Magis arridet ὁμοιόπυρον, spica mutica, Bot. ὁμοιοκρίθη, spica aristata.

Προλαβεῖν τῇ ῥιζώσει. . . . τοῦ χειμῶνος. Adeo strenue radices agere, ut hyemem durent.

Προλάβωσι ταῖς εὐδίαις τὴν αὔξησιν. Eodem fere sensu ac supra.

Διαφοράς. Codd. διαφύσεις: cujus sensus, si reperiatur vox in scriptis, idem, ex vi vocis διά.

Ἐπὶ τὸ πᾶν. Summatim.

Ἃ δὲ γλίσχρᾳ (χώρᾳ). Ita restitui ellipsin. Vid. var. Lect.

Ὡς καὶ ἐὰν μηδέν. In Codd. ὡς supra inserta, errore Librarii.

Νήπια. Infantes: plantæ ex seminio.

CAP. II.

Ἐκ τοῦ αὐτοῦ. Accurata admodum descriptio partium seminis. In quamplurimis plantis, a Botanicis nomine Dicotyledonum donatis, corculum et plumula ex eodem puncto proveniunt, ut hic: in aliis ἑκάτερον ἐξ ἑκατέρου, i. e. ex diversis et oppositis, quæ monocotyledones, ut in granis frumenti.

Διμερῆ. De granis Tritici sulco longitudinali divisis: δίθυρα de lobis leguminosorum.

Καθ' αὐτὰ εἶναι, sc. τὴν ῥίζαν καὶ τὸ φύλλον. Brevitas nimia.

Παρακαθίησιν. sc. ῥίζας. Emittit lateraliter.

Ἐναντίως ἑκατέρῳ. Forsan ἐνάντια ἑκατέροις, i. e. radice simplici vel divaricata.

Ἐν δὲ τῷ καλάμῳ. Interpretand. videtur de proventu toto ejusdem seminis, qui aliquando culmos 30. vel 40. profert.

Καταῤῥυηκότα. Seminibus ex siliqua in terram jactis. Observatio justa respectu ὀσπρίων in genere.

Ἀδρύνονται. Crassantur, Theod. Crassescunt, Plin. De luxurie plantarum.

Ταῖς ἁπάσαις ἡμέραις. Spatio temporis maximo?

Ἀπαρχήν. Primitias frugum Diis oblatas.

Σικελίᾳ τῆς Μεσσηνίας. Si vera lectio, Siciliæ duæ; vel imperium in Siciliam Messeniensium.

Τῶν ὀψίων. Leguminum, ita dict. ex tempore serendi. Vid. ἄροτοι, cap. 1.

Σπορητὸν ἐξ μήνας. De duratione?

Ἕως ἂν εἴδῃ τὶς δράγμα. Manipulum, Theod. Δράγμα hic portio telluris sulco exarata: Angl. "a furrow." Sensus requirit δράγμα κενόν.

Ὄψιμα ταῦτα. Vid. supra ὀψίων. Interpretes multum discrepant inter se de sensu hujus loci. Mihi videtur, leguminosa non provenire in hac regione.

Ἅμα ταῖς ἄλλαις, i. e. tempore usitato serendi: opponitur ἅμα τοῖς λοιποῖς, una cum iis quæ ad finem messis secantur.

Δεινὴν διαδοῦναι τὴν τροφήν. De mira qualitate nutritiva.

Ἐν οἵστιν ἅπαξ. Ubi semel tantum transferantur semina. Scal. Suspicor corruptionem textus.

Τοῦ χρόνου. Ratione præcocitatis.

Ὁ σπορητὸς πρότερον. Si satus processerit. Theod. Forsan προτερεῖ: sermo est de differentia præcocitatis inter Athenas et regiones Hellesponti.

CAP. III.

Γένη διῃρημένα τῶν γενῶν. De plantis diversæ classis: ut Gramineæ et Leguminosæ: opponitur τοῖς καθ' ἕκαστον γένος ὁμογένεσι, speciebus ejusdem generis.

Οἷον ὁ Κύαμος. Generali sensu: fructus Κυάμου vocatur στρόγγυλος alibi, fructu Loti arboris similis. Hinc Faba sylvestris Græcorum, cujus icon exhibetur Bod. p. 919. Piso vel Lathyro similior. "Veterum Faba pusilla fuit, Terebinthi similis, vel "baccæ Taxi." ibid. Forsan cultura grandior facta. Alibi tamen Faba nostras indicari videtur caule ὀρθόφυες. Diosc. addit notam certissimam, nempe καυλὸν τετράγωνον. lib. iv. c. 13.

Σήσαμον. Sesamum, *orientale*. Cat. Frequens mentio apud Theophrastum Σησάμου. Apud Dioscor. et Plinium plures dantur species. Vid. etiam Columell. ii. 10. Pericarpium ejus peculiare, lib. i. c. 18. Ita apud Linn. "capsula oblonga, ob-"solete tetragona." Linn. G. Pl. 782. Ἄνθος φυλλῶδες, viii 4. "Flos Digitalis, sed fructus diversissimus." Linn. G. Pl. In-

ter condimentarias herbas cum papaveris semine celeberrimum. Sesami seminibus consperguntur Panes: hinc Σησαμίτος ἄρτος. Athæn. iv. 172. Ab Indiis profectum, Plin. xviii. 10. Frequens usus olei Sesami in placentis ex Tritico in aqua cocto, saccharo, aromaticis et seminibus Mali Granati ad nuptias sub nomine Colyva, et ubique in arvis a Turcis colitur. Hobhouse's Albania, vol. i.

Ἐρύσιμον. Erysimum, *officinale*. Cat. minus recte. Erysimum Theophrasti et Dioscor. diversæ plantæ. Prior inter olera; posterior inter Cerealea cum Sesamo. Farina amborum sc. cum farina Tritici ad conficiendos panes. "Irio inter Segetes "Sesami similis, a Græcis Ἐρύσιμος dictus, foliis Erucæ an-"gustioribus, caule fruticoso, seminibus Nasturtii." Plin. xxii. 15. "Erysimum in Asia Græciaque, nisi pinguius esset, "medicaminibus potius quam frugibus annumerandum." Ib. xviii. 10. "Folia enervia: caulis subfistulosus, succus acris, "inter condimentarios." Bod. N. B. Sisymbrium, *Irio* Linn. Erysimum Bauhini. Sunt qui Myagri speciem interpretantur. Erysimum Tabernæmont.

Ἐρέβινθος. Ervum, *Lens*. Cat. Cicer, Orobæum Bod. Esca apud antiquos statu crudo (ἄπαλοι) Ὤχρος, Κύαμος, Ἐρέβινθος. Cetera legumina, ξηρὰ δὲ ἐφθὰ, καὶ φρυκτά. Phæneas apud Athenæum, ii. 44. Alii δυσπέπτους vocant et πνευματικοὺς, flatulentos. Ποσειδῶνος εὕρημα vocatur, in maris littoribus nascens, e succo setino. Nomen hodiernum Ῥέβιθι.

Ὄροβος. Orobus. Cat. Sed nulla generis Orobi L. ad cibos apta species. Proculdubio Ervum, *ervilia* L. Orobus Bauhini, Orobus receptus Herbariorum. Ger. em. 1225. Varietas hujus Κριὸς, Ὀροβίαιος, viii. 5. Cicer, *arietinum* L. N. B. Ervum, *Ervilia* Linn. hodie Ῥόβι.

Φακός. Ervum, *sativum*. Cat. Rectius Ervum, *Lens* L.

Δόλιχος. Phaseolus, *vulgaris*. Μετὰ τῶν τρεφόντων ἡμᾶς σπερμάτων. Galen. i. 28. "siliqua prælonga, unde nomen." Vocatur a Plinio Phaseolus, ex siliqua lembiformi. xviii. 12. Sed quare genus Dolichos apud Linn. cujus, una vel altera exceptis, siliquæ curtæ?

Θέρμος. LUPINUS, Cat. corr. Lupinus, *albus* L. Sola species ad cibos culta.

Κίγχρων. CENCHRUS, Cat. Enumeratur inter θερινὰ culta; ergo minime inter Cenchros L. Certissime species hæc et Μίλινος inter Panica Linn. enumeranda; quarum hæc P. *Italicum*, illa P. *miliaceum*.

Μέλινος. Panicum, *Italicum*. Cat. Rectius P. *miliaceum*. Vid. supra. N. B. Nulla mentio usus Milii apud Athenæum, excepto semel in potione quadam cum Conyza, lib. x. p. 447. Nomen ex sapore melleo granorum.

CAP. IV.

Μερῶν ἀνωμαλίαν. Discrepantiam partium. Vid. μέρος. N. B. Plantæ habitu toto dissimiles supra describuntur: capite hoc plantæ similes, sive ejusdem generis, foliis tantum vel floribus diversis.

Πολύλοβος ἡ Τίφη. De glumis in spica, vid. supra.

Ἀπηρτημένον τοῦ φύλλου. Distans a folio. De spatio inter spicam et folium caulinum superius sermo est.

Καθ' ἑκάτερον. De comparatione specifica. N. B. Opponitur comp. genericæ.

Ἰνδίκη Κριθὴ παραβλαστική. Syn. forsan Πυροῦ Σηπανίας, a''bi. N. B. Species Agricultoribus hodie bene nota; vid. Triticum multiplici spica, Ger. em. 66. Species ista Tritici spicam gerit aristatam, ideoque forsan Hordeum vocatur.

Καγχρυδίας. Vid. Plin. in loco.

Τριημιχοίνικα. Chœnicem, (i. e. sextarium) et dimidium, utpote πενθημιχοίνικα, (duo et dimidium:) Ang. "five halves."

Οὕτως ἰσχυρόν. Quoad vires nutritivas.

Διαφέρει τῇ κουφότητι. Præcellit levitate.

CAP. V.

Ἄροτοι χειμερινοί. Duo sementis tempora. N. B. Omnibus regionibus commune hoc.

Αἶραι. Lolium, *temulentum*. Cat. Planta hæc ubique infestat segetes. "Infelix Lolium et steriles dominantur Avenæ." Ita apud Theophrastum Αἶρα καὶ Αἰγίλωψ una describuntur. Vid. cap. 9. Apte dicitur κεφαλαλγής.

Ὅσον ἐπιβάλλειν. Sensus τοῦ ἐπιβάλλειν est, ascribere: ἐπιβάλλειν ἰδιότητας, ascribere peculiaritates.

Ὅτι δὲ πάντα. Excepto quod. Lege εἰ μὴ ὅτι?

Κατ' ἀρχάς. Ἄρχαι puncta adhæsionis seminum.

CAP. VI.

Μάλιστα ἐν τοῖς ἀρότοις: "Tellure neque sicca, nec arida; "humore enecta." Scal. N. B. Ἄροτοι tempora opportuna ad serendum.

Ἡμιβρόχοις. Codd. ἡμιβρεχέσι. Suspicor errorem in textu. Terra enim modice humida apta ad serendum: e contra destructio fit seminum ex nimio humore vel nimia ariditate: quod sequitur, ποὰν ἀναφύεσθαι πολλὴν, de luxuria culmorum sine spicis fertilibus.

Οἰωνίζονται. Infaustum augurium ducunt. Theod. "Religi-"osum; inde primum *coloris* augurium." Plin. N. B. Ex verbis Plinii constat voces ἐκ χροίας e textu excidisse: color pallidus indicat τὸ πλέον ὑγροῦ.

Διὰ χρόνου κενουμέναις. Longo tempore post proscissa. Theod. Sensus est, longum tempus inaratis.

Ἀποκλυσθείσης τῆς ἅλμης. Salsugine copiosa aquæ injectione abluta.

Τὰ ἠρινὰ, sc. χωρία. Præcoces terræ. Theod.

Πολλὰ κατὰ μικρόν. Multa, paullatim. Theod. Imbres frequentes, nec nimii.

CAP. VII.

Νειὸς ἀπὸ τῶν Κυάμων. Veteres artem novandi agros apprime callebant, sc. satione Pisi, Fabæ, &c. &c.

Ἐπινέμουσι. Depascuntur. Ita Plinius: "Luxuria segetum "castigatur dente pecorum."

Καμακίαν. A Καμὰξ, ob longitudinem et gracilitatem. Vid. Xen. Ἱππίκων.

Πεντηκοντόχοος. Quinquagesimo fœnore. Plin. Mira fertilitas. N. B. Plinii verba quæ sequuntur quinquagesimo et centesimo, ex incuria saltem. Theophrastus ait a quinquagesimo ad centesimum.

Πηλὸν οὐ φέρει. Vox πηλὸν limum ex inundatione denotat. Corrigend. textus ex Plin. xviii. 17. Sensus est, Babylonicam

terram non fœcundari limo peculiari, sicut confinia Nili in Ægypto.

Πρᾶσις. Venditio. Forsan legend. χρήσις.

Ἄρνας. Nomen triviale segetis imbecillæ.

Πρὸς αὔξησιν. N. B. Initium capitis hujus apud Bod. supra, Καὶ ὅλως ἡ τοῦ ἔτους: in medio sententiæ.

Εὐδιῶν καὶ χειμώνων. Textus forsan corruptus.

Τῷ περιέχοντι, sc. aëre. Scal. Certe χωρίῳ, utpote si planum sit, vel montuosum, &c. &c.

Ἡ τοῦ σπόρου ἐργασία. De actu serendi, vel tempore.

Τοῖς περὶ τὸν σῖτον. Segetibus frumenti.

CAP. VIII.

Τὰ ξενικὰ τῶν σπερμάτων. Semina ex alia regione.

Κριθοφόρος ἀρίστη. De solo Atheniensi, levi, et friabili. Opt. "light Barley or Rye land." Ita Miltonus noster:

"Pure the air and light the soil."

Ἐν τοῖς πρώτοις λόγοις. Sc. cap. 1.

Ὅμοιον τῇ ὄψει τῷ πελέκει. Curvatum in formam falcis, vel acinacis: "a scymitar."

Αἱμάδωρον. Textus hic corruptus, levi transpositione, ut videtur, restituendus. Sensus est, Hæmadorum, Orobanchis speciem (O. major L.?) nasci ad radices Cumini, caule simplici; haud absimilem τῷ Βουκέρᾳ, sed breviorem; radice bulbosa. Vid. Cat. N. B. Plantæ hæ, vere Parasitæ, exhauriendo succum enecant, Ὀροβάγχη tamen Theophr. circumvolvendo.

Ὀροβάγχη. Ign. Cat. In Geoponicis vocatur Ὀσπριολίων. Ex descriptione Theophrasti planta amplexu alias enecans innuitur: hujusmodi sunt Galium, *aparine* L. Fumaria, *capreolata*, &c. &c. Nullus tamen dubito quin hic loci Polygonum, *convolvulus* L. planta segetibus adeo lethalis, indicetur.

Βούκερας. Ophrys, *nidus avis*. Cat. Ex forma incurva, cornu bovis referente, et caule simplicissimo: necnon habitu parasitico. Rectius forsan Lathrææ vel Orobanches L. species.

Ἀπαρίνη. Galium, *verrucosum*. Cat. Rectius G. *aparine*, ex habitu.

Μηδίκη. Medica, *sativa*. Cat. N. B. Error typogr. pro Medicagine. Medica legitima Clusii. M. *sativa*, Moris. Fœnum

Burgundicum, Lob. ic. 2. Nostratibus notissimum sub nomine "Lucerne."

CAP. IX.

Τὴν αὐτὴν χρεῖαν. De modo præparandi, sc. coctione in aqua.

Ἀτεράμονα. Vid. Τεράμων Lex. De qualitate leguminum in aqua coctorum, an tenera et mollia evadant, vel aliter. Alibi τέραμνος. N. B. Hallucinatio singularis Plinii in loco: "Ate-"ramnon nominant herbam in pingui solo, qua Faba ne-"catur." xviii. 17.

Γίνεται γοῦν πολέον. Crescunt mole. N. B. Refert ad χρείαν.

Ὅταν ἀνθῶσι, ἀνατρέπουσι. Statu florido subvertunt. Operatio agriculturæ satis nota: "ploughing in a crop."

Ὁμοιοκρίθων. Forsan distinctio inter Triticum et Hordeum apud Theophr. respectu spicæ muticæ, vel aristatæ: quo casu Ζειὰ, Τίφη species Tritici spicis aristatis.

Αἰγίλωψ. Avena, *fatua*, L. Cat. Secund. Bod. Avena sativa. Sed quare infensa segetibus, si inter cultas numeranda est? Auctuarii auctor Αἰγίλοπα nominat σιτόσπιλον frumenti vitium. Forsan inter σιτώδους hac de causa enumerata. Hic etiam censura notandus Linnæus, qui genus plane alienum Ægilopa sistit.

Βρόμος. Secale, *Cereale*. Linn. Cat. N. B. Vox Bromus, ut Cerealis species, apud Plin. occurrit, et dicitur externæ originis, xviii. 10. Cel. Car. Sprengel e contra Βρόμον Avenam, *fatuam*, L. Αἰγίλοπα A. *sterilem* appellat, p. 80. Videndum an sit Bromus, *secalinus*, L. si species ista infestet segetes Græciæ.

CAP. X.

Ψύλλων, θηρίων. Vox θηρία insectis propria apud Theophr. Ψύλλον Tenthredo L. forsan T. *rapæ?* vel potius Aphidis species.

Εἰ μὴ ἐξ αὐτῶν. . . ἐκ τῶν ἔξω. Si non ex substantia plantæ. . . vel ex accidentibus, ut rore, salsugine (ἅλμη).

Ἐρυσίβαι. Uredo, Persoon. Cat. Vid. supra lib. iii. c. 27. et De Caus. Plant. lib. v. cap. ult. Ἐρυσίβη σῆψις τοῦ ἐφιστάμενου ὑγροῦ. Auctuarii Auctor.

Σφακελισμός. Dicitur ἀνάλογον εἶναι τῇ νεκρώσει in animalibus. Vid. supra. Morbus trunci vel radicis.

Κάμπαι. Uricæ. Plin. in loco. Sed quo sensu? Sensus vocis Κάμπη clare indicatur a Theophrasto περὶ μεταμορφωσέων τῶν τριγονησάντων, triplici mutatione Coleopterarum, &c. Linn. De Caus. Plant. lib. v. N. B. Vox Κάμπη propr. Erucarum, *Geometrarum* L. a modo sese incurvandi ambulando.

Φαλάγγιον. Cat. Aranea. N. B. Hic loci forsan nidus animalculi cujusdam textorii infestantis plantas: alibi lib. ix. c. 12. Araneæ species morsu noxiæ ita vocatur.

Σκώληκες. Cat. Lumbricus. Hic Lumbricus minor indicari videtur; vel forsan Ascaris, *vermicularis.* Linn. G. Pl. 1076. Videant entomologi an sit species apud nos "Cut-worm" dicta.

Αὐχμῶντες ἀποτελειωθῆναι. Præ siccitate. N. B. Vermes hic et supra descripti valde diversi.

Ἄχρι τοῦ στάχυος. Effectus duplex describitur, sed parum clare; et distinctio instituitur inter στάχυν spicam, et αὐτὸν Πυρὸν, plantam totam.

Ἴτες. Cat. Cynips L. N. B. Alibi occurrit Κνὶψ (Aphis Cat.), sed nescio an idem animalculum, vel species duæ ejusdem generis Syst. Nat. Linn. ubi numerosissimas videre est.

Ἐν τοῖς ξύλοις. Vid. ii. 9.

Εὐθὺς διάφορος. De subita mutatione?

Ἐν ταῖς ἀποθήκαις. Ita emendavi ex descriptione Columellæ et Palladii. Vid. supra de usu κονιόρτου, lib. iv. c. 5.

Σηπομένοις πᾶσι, i. e. vermes omnes seminibus putridis vesci: sanis vero animalcula propria unicuique.

Ὑσθεὶς περιφυῇ. Admisso imbre pervenerit. Ita Theod. ignorantia vocis περιφυῇ. Sermo est de collectione in manipulos, vel in θάμους: Angl. "putting together wet."

CAP. XI.

Πρὸς ἔκφυσιν δέ. De reditu, vel proventu, farinæ. Similiter Plin. "semen optimum quod gravissimum." xviii. 24.

Παραλλάττουσι ταῖς δυνάμεσι. De viribus respectu vitalitatis. Plin. xi.

Ἐν χωρίῳ τινί. Mirum sane, si non fabulosum, quod auctor dicit de duratione frugum in quibusdam locis. Ex voce πέτρα

licet conjicere, horrea ista ex saxo vivo exsculpta ad conservanda grana, aere penitus excluso. Vid. super hac re Plin. xviii. 30.

Παρατάττουσι χοίνικα εἰς μέδιμνον. Sc. "ad oblinenda grana "singula, ut Saccharo Coriandrum." Scal. De parietibus horrei, ut mihi videtur, sermo est. N. B. Pavimenti rimas excludendo aeri amurca oblinebant veteres. Plin. xv. 8.

Πηδᾷν ὥσπερ τὰ φρυγόμενα. Semina torrefacta exclusione aeris crepitant et dissiliunt: hinc adagium vetus, "to skip like a "parched pea."

Οὐχ ὑπαροῦντες σπείρουσι. Idem observat Plinius respectu Lupinorum, xviii. 14.

Εἰς ὕλην ἢ βοτάνην τινά. Super materie arida, vel in cespite herboso.

ΘΕΟΦΡΑΣΤΟΥ

ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ

ΤΟ Θ'.

CAP. I.

Qualitates Succi, Resinæ, Balsamæ, &c. &c.

Ἡ ὑγροτης, ἡ οἰκεῖα τῶν φυτῶν, ἣν δὴ καλοῦσί τινες ὀπὸν, ὀνόματι κοινῷ προσαγορεύοντες, δύναμιν [a] ἔχει δηλονότι τὴν καθ' αὑτὴν ἑκάστη. *χυμὸς δὲ ταῖς μὲν μᾶλλον, ταῖς δ' ἧττον ἀκολουθεῖ, ταῖς δ' ὅλαις οὐκ ἂν δόξειεν, οὕτως ἀσθενὴς καὶ ὑδαρὴς [b] τίς ἐστι. πλείστη μὲν οὖν ὑπάρχει [δύναμις] πᾶσι κατὰ τὴν βλάστησιν· ἰσχυροτάτη δὲ, καὶ μάλιστα ἐκφαίνουσα τὴν ἑαυτῆς φύσιν, ὅταν ἤδη παύσηται καὶ βλαστάνοντα καὶ καρπογονοῦντα. συμβαίνει δέ τισι τῶν [c] ὀπῶν τῶν φυτῶν καὶ χρόας ἰδίας ἔχειν, τοῖς μὲν λευκὰς, οἷον τοῖς *ὀπώδεσι· τοῖς δ' αἱματώδεις, οἷον τῇ [d] Κενταυρίδι, καὶ τῇ Ἀτρακτυλίδι καλουμένῃ Ἀκάνθῃ· τοῖς δὲ *χλωρόν· τοῖς δὲ ἐν ἄλλῃ χρόᾳ. ἔνδηλα δὲ μᾶλλον ταῦτα ἐν τοῖς ἐπετείοις, καὶ ἐν τοῖς ἐπετειοκαύλοις, ἢ τοῖς δένδροις. ἡ

[a] ἔχει δὴ Ald. [b] τίσιν. Theod. [c] ὀπῶν, τῶν desunt Bod. [d] Κεντηρίᾳ, Bod. Κενταυρίῳ, Const.

δ' ὑγρότης, τῶν μὲν *πάχος ἔχει μόνον, ὥσπερ τῶν ὀπωδῶν· τῶν δὲ καὶ *δακρυώδης γίνεται, καθάπερ Ἐλάτης, Πεύκης, Τερμίνθου, Πίτυος, Ἀμυγδάλης, Κεράσου, [e] Προύμνης, Ἀρκεύθου, Κέδρου, Πτελέας, τῆς Ἀκάνθης, τῆς Αἰγυπτίας· καὶ γὰρ αὕτη φέρει κόμμι, πλὴν οὐκ ἐκ τοῦ φλοιοῦ, ἀλλ' [f] ἐντός· ἐν ἀγγείῳ δὲ συλλέγεται. ἔτι δὲ ἀφ' ὧν ὁ *λίβανος, καὶ ἡ *σμύρνα (δάκρυα γὰρ καὶ ταῦτα.) καὶ τὸ βάλσαμον, καὶ ἡ χαλβάνη, καὶ εἴ τι τοιοῦτον ἕτερον· οἷόν φασι τὴν Ἄκανθαν τὴν Ἰνδικὴν, ἀφ' ἧς γίνεται τὸ ὅμοιον τῇ σμύρνῃ. συνίσταται δὲ [δάκρυ] καὶ ἐπὶ τῆς Σχίνου, καὶ ἐπὶ τῆς Ἀκάνθης, τῆς Ἰξίνης καλουμένης, [g] ἐξ ἧς ἡ *μαστίχη. ἅπαντα δὲ ταῦτα εὔοσμα· καὶ σχεδὸν ὅσα πιότητά τινα ἔχει καὶ *λίπος, ὅσα δ' ἀλιπῆ, ταῦτα δ' ἄοσμα· καθάπερ τὸ *κόμμι, καὶ τὸ τῆς Ἀμυγδάλης. ἔχει δὲ δάκρυον καὶ ἡ Ἰξία ἡ ἐν Κρήτῃ, καὶ ἡ Τραγάκανθα καλουμένη· ταύτην δὲ πρῶτον ᾤετο μόνον ἐν Κρήτῃ φύεσθαι, νῦν δὲ φανερὰ καὶ ἐν Ἀχαΐδι τῆς Πελοποννήσου, καὶ ἄλλοθι, καὶ τῆς Ἀσίας περὶ Μήδειαν. καὶ τούτων μὲν πάντων ἔν τε τοῖς καυλοῖς, καὶ τοῖς στελέχεσι, καὶ τοῖς ἀκρέμοσι τὸ δάκρυον· ἐνίων δ' ἐν ταῖς ῥίζαις, ὥσπερ τοῦ Ἱπποσελίνου καὶ τῆς Σκαμμωνίας, καὶ τῶν ἄλλων πολλῶν φαρμακωδῶν· τῶν δὲ καὶ ἐν τῷ καυλῷ καὶ ἐν τῇ ῥίζῃ· (καὶ γὰρ τὸν καυλὸν ὀπίζουσι, καὶ ἐνίων τὰς ῥίζας, ὥσπερ καὶ τοῦ Σιλφίου.) τὸ μὲν οὖν [δάκρυ] τοῦ Ἱπποσελίνου, παρόμοιον τῇ σμύρνῃ· καί τινες ἀκούσαντες ὡς ἐντεῦθεν ἡ σμύρνη, ἡγοῦνται βλαστάνειν [h] ἐξ

[e] Προύνης, Bod. [f] ἀλλ' ἐν τῷ ἀγγείῳ. Bod. [g] ἡ ἀκανθικὴ μαστίχη. Const. [h] ἐν αὐτοῖς Bod. Vid: not. ad fin. libri.

αὐτῆς τὸ Ἱπποσέλινον, (φυτεύεται γὰρ ὥσπερ ἐλέχθη καὶ ἀπὸ δακρύου τὸ Ἱπποσέλινον,) ἢ καθάπερ ἡ [i] Σκαμμωνία, καὶ ἄλλα. τὸ δὲ τοῦ Σιλφίου [δάκρυ] δριμὺ, καθάπερ αὐτὸ τὸ Σίλφιον, ὁ γὰρ ὀπὸς καλούμενος τοῦ Σιλφίου, δάκρυόν ἐστιν. ἡ δὲ Σκαμμωνία καὶ εἴ τι ἄλλο τοιοῦτον, ὥσπερ ἐλέχθη, φαρμακώδεις ἔχει τὰς δυνάμεις. πάντων δὲ τῶν εἰρημένων [χύλων], τὰ μὲν αὐτομάτως συνίσταται, τὰ δὲ ἀπ' [k] *ἐντομῆς, τὰ δὲ ἀμφοτέρωθεν· *τέμνουσι δὲ δηλονότι τὰ χρήσιμα καὶ τὰ μᾶλλον ἀξιόλογα. ἐπὶ γοῦν τοῦ ἀπὸ τῆς Ἀμυγδάλης, [ὡς] οὐδεμία χρεία, δάκρυον οὐκ ἀφέλκουσι· πλὴν ἐκεῖνό γε φανερὸν, ὅτι ὧν αὐτόματος [l] ἡ πῆξις, τούτων πλείων ἡ ἐπιῤῥοὴ τῆς ὑγρότητος.

CAP. II.

Modi extrahendi Resinam et Picem.

ΟΥ τὴν αὐτὴν δ' ὥραν ἁπάντων αἱ *ἐντομαὶ καὶ ἡ πῆξις, ἀλλὰ τὸ μὲν τῆς Ἀμπέλου μάλιστα συνίσταθαί φασιν, ἐὰν μικρὸν πρὸ τῆς βλαστήσεως τμηθῇ, τοῦ δὲ μετοπώρου, καὶ ἀρχομένου τοῦ χειμῶνος, ἧττον· καίτοι πρόσγε καρποτοκίαν καὶ ὡραιότητα ταῖς δὲ πλείσταις αὗται. τῆς δὲ Τερμίνθου καὶ τῆς Πεύκης, καὶ [m] ἔκ τινων ἄλλων *ῥητίνη γίνεται μετὰ τὴν βλάστησιν· τὸ δ' ὅλον, οὐκ ἐπέτειος ἡ τούτων *ἐντομὴ, ἀλλ' εἰς πλείω [n] χρόνον. τὸν δὲ Λιβανωτὸν καὶ τὴν Σμύρναν ὑπὸ κύνα φασὶ, καὶ ταῖς θερμοτάταις ἡμέραις ἐντέμνειν· ὡσαύτως δὲ καὶ τὸν ἐν Συρίᾳ Βάλσαμον. ἀκριβεστέρα δ', εἰ

[i] Κρινωνία, Const.
[k] ἀνατομῆς, Codd. Vid. cap. ii.
[l] Vid. not. ad finem libri.
[m] ἡ ἐκ Bod. εἰ ἐκ Const.
[n] χρόνον τούτου. Const.

καὶ ἐλάτῖων καὶ ἡ τούτων ἐντομὴ, καὶ γὰρ ἡ συῤῥοὴ τῆς ὑγρότητος ἐλάτῖων· ὧν δὲ καὶ ὁ καυλὸς *ἐντέμνεται καὶ ἡ ῥίζα, τούτων ὁ καυλὸς πρότερον, ὥσπερ καὶ τοῦ Σιλφίου· καλοῦσι δὲ τῶν ὀπῶν τούτων, τὸν μὲν, *καυλίαν, τὸν δὲ, *ῥιζίαν· καὶ ἐστὶ βελτίων ὁ ῥιζίας, καθαρὸς γὰρ, καὶ διαφανὴς καὶ ξηρότερος, ὁ δὲ καυλίας ὑγρότερος, καὶ διὰ τοῦτο ἄλευρον αὐτῷ περιπλάττουσι πρὸς τὴν πῆξιν. τὴν δ' ὥραν τῆς [o]*ἐντομῆς ἴσασιν οἱ Λίβυες, οὗτοι γὰρ οἱ σίλφιον λέγοντες, ὡσαύτως δὲ καὶ οἱ ῥιζοτόμοι, καὶ οἱ τοὺς φαρμακώδεις ὀπὸς συλλέγοντες (καὶ γὰρ οὗτοι τοὺς καυλοὺς ὀπίζουσι πρότερον). ἁπλῶς δὲ πάντες, καὶ οἱ τὰς ῥιζίας, καὶ οἱ τοὺς καυλίας συλλέγοντες, τὴν οἰκεῖαν ὥραν ἑκάστων τηροῦσι. καὶ τοῦτο μὲν δὴ κοινὸν, ἡ δὲ ῥητίνη τόνδε τὸν τρόπον γίνεται· ἐν μὲν τῇ Πεύκῃ, ὅταν [p]ἀφελκωθείσης ἡ *δορὰ ἐξαιρεθῇ· συῤῥεῖ γὰρ εἰς τὸ *ἕλκωμα [q]τότε πλείων ἡ ὑγρότης· ἐν δὲ τῇ Ἐλάτῃ καὶ τῇ Πίτυι, μόνον γευσάμενοι τῶν ξύλων ἀφελκώσουσιν· οὐ γὰρ πᾶς ἀφορισμὸς ὁμοίως· ἀφελκοῦσι γὰρ καὶ τὰς Τερμίνθους ἐν ἀμφοῖν, καὶ ἐν τῷ στελέχει καὶ ἐν τοῖς ἀκρέμοσιν. ἀεὶ δὲ πλείων καὶ βελτίων ἡ εἰς τὸ στέλεχος συῤῥέουσα τῆς εἰς τοὺς ἀκρέμονας. διαφέρουσι δὲ καὶ ταῦτα τὰ δένδρα· βελτίστη μὲν γὰρ ἡ τῆς Τερμίνθου [ῥητίνη], καὶ γὰρ συνεστηκυῖα, καὶ εὐωδεστάτη τῇ ὀσμῇ, καὶ κουφοτάτη, ἀλλ' ὀλίγη· δευτέρα δὲ ἡ ἐλατίνη, καὶ πιτυίνη, κουφότεραι γὰρ τῆς πευκίνης· πλείστη δὲ ἡ πευκίνη, καὶ βαρυτάτη καὶ πιττωδεστάτη, διὰ τὸ μάλιστα *ἔνδαδον εἶναι τὴν

[o] ἐκτομῆς Bod. [p] ἀφιλκωθείσης, ἡ δορὰ ἐξαιρεθῇ. Bod. ἀφιλκωθείσης, δᾶς ἐξαίρεται. Theod. [q] τοῦτο Bod.

Πεύκην· λέγεται δὲ ἐν ἀσκοῖς ὑγρὰ, κἄπειτα οὕτως συνίσταται. καίτοι φασὶ [ἐνίους] καὶ τὴν Τέρμινθον [r]*πιττοκαυτεῖν περὶ Συρίαν· ἔστι γὰρ ὄρος, καθάπερ ἐν τοῖς ἔμπροσθεν εἴπομεν, μέγα, Τερμίνθων μεστὸν ἅπαν μεγάλων. ἔνιοι δέ φασι καὶ τὴν Πίτυν, καὶ τὴν Κέδρον, τὴν Φοινικήν. ἀλλὰ ταῦτα μὲν ὡς *ἐνδεχόμενα ληπτέον διὰ τὸ σπάνιον, ἐπεὶ οἵ γε περὶ Μακεδονίαν οὐδὲ τὴν Πεύκην πιττοκαυτοῦσιν, πλὴν ἀλλὰ ἢ τὴν ἄῤῥενα, (καλοῦσι γὰρ ἄῤῥενα τήν γε καρποφόρον) τῆς δὲ θηλείας, ἐὰν τινὰς τῶν ῥιζῶν ἐνδάδυς λάβωσιν· ἐκ ἅπασα γὰρ Πεύκη ἔνδαδος ταῖς ῥίζαις. καλλίστη δ' ἡ πίττα γίνεται καὶ καθαρωτάτη, ἡ ἐκ τῶν σφόδρα προσηλίων καὶ προσβόῤῥων, ἐκ δὲ τῶν παλισκίων *βλοσυροτέρα καὶ βορβορώδης· ἐν γὰρ τοῖς σφόδρα παλισκίοις οὐδὲ φύεται Πεύκη τοπαράπαν. ἔστι δὲ καὶ εὐφορία τις καὶ ἀφορία καὶ πλήθους καὶ καλλονῆς, ὅταν μὲν γὰρ χειμὼν μέτριος γένηται, πολλὴ γίνεται καὶ καλὴ, καὶ τῷ χρώματι λευκοτέρα, ὅταν δὲ ἰσχυρὸς, ὀλίγη, καὶ μοχθηροτέρα· καὶ ταῦτά γε ἐστὶ τὰ ὁρίζοντα τὸ πλῆθος καὶ καλλονὴν πίτΐης, οὐχ ἡ πολυκαρπία τῶν Πευκῶν. οἱ δὲ περὶ τὴν Ἴδην φασὶ, διαιροῦντες τὰς Πεύκας καὶ τὴν μὲν καλοῦντες Ἰδαΐαν, τὴν δὲ Παραλίαν, τὴν ἐκ τῆς Ἰδαίας [πίτταν] πλείω καὶ μελαντέραν γίνεσθαι, καὶ γλυκυτέραν· καὶ τὸ ὅλον [s]εἰλικρινεστέραν καὶ εὐωδεστέραν ὠμὴν, (ἐψηθεῖσαν δὲ ἐλάττω ἐκβαίνειν, πλείω γὰρ ἔχει τὸ *ὄῤῥον,) διὸ καὶ λεπτοτέραν εἶναι· τὴν δὲ τῆς Παραλίας ξανθοτέραν καὶ παχυτέραν ὠμὴν, ὥστε καὶ τὴν *ἄφεψιν

[r] πιττωθεῖσαν Bod. [s] εὐωδεστέραν Bod.

μικρὸν ἐλάττω γίνεσθαι, [t] *δαδωδεστέραν δὲ τὴν Ἰδαῖαν· ὡς δὲ ἁπλῶς εἰπεῖν, ἐκ τῆς ἴσης *δαδὸς πλείω καὶ ὑδαρεστέραν [τὴν πίτταν], ἐν ταῖς ἐπομβρίαις γίνεσθαι, ἢ ἐν τοῖς αὐχμοῖς· καὶ ἐκ χειμερινῶν καὶ παλισκίων τόπων, ἢ ἐκ τῶν εὐηλίων καὶ εὐδιεινῶν. ταῦτα μὲν οὖν οὕτως ἑκάτεροι λέγουσιν, ἀναπληροῦσθαι δὲ συμβαίνει τὰ κοιλώματα πρὸς τὸ πάλιν ἐξαίρειν, τῶν μὲν ἀγαθῶν Πευκῶν, ἐνιαυτῷ, τῶν δὲ μετριωτέρων, ἐν δυσὶν ἔτεσιν, τῶν δὲ μοχθηρῶν, ἐν τρισίν. ἡ δὲ ἀναπλήρωσις, οὐ τοῦ ξύλου καὶ τῆς *συμφύσεως, ἀλλὰ τῆς [u] πίττης ἐστὶν, ἐπεὶ τὸ ξύλον ἀδύνατον *συμφῦναι καὶ ἓν γένεσθαι, πάλιν· ἀλλ' ἡ *ἐργασία διὰ τοσούτου χρόνου γίνεται τῆς πίττης. ἀναγκαῖον δὲ δηλονότι καὶ τῷ ξύλῳ γένεσθαί τινα [x] προσφυσιν, εἴπερ ἐξαιρουμένης τῆς *δαδὸς καὶ καιομένης, τῆς πίττης ἡ ἐκροή· [y] τοῦτο μὲν οὖν οὕτω λεπτέον. οἱ δὲ περὶ τὴν Ἴδην φασὶν, ὅταν *λεπίσωσι τὸ στέλεχος (λεπίζουσι δὲ τὸ πρὸς ἥλιον μέρος ἐπὶ δύο, ἢ τρεῖς πήχεις ἀπὸ τῆς γῆς) ἐνταῦθα τὴν ἐπιῤῥοὴν, γινομένην *ἔνδαδον, ἐνιαυτῷ μάλιστα εἶναι· τοῦτο δ' ὅταν *ἐκπελεκήσωσιν, ἐν ἑτέρῳ [ἔτει] πάλιν ἐνδαδοῦσθαι, καὶ τὸ τρίτον ὡσαύτως. τὰ δὲ τοιαῦτα διὰ τὴν *ὑποτομὴν ἐκπίπτειν φασὶ δένδρα ὑπὸ τῶν πνευμάτων, σηπέντα. τὸς δὲ φασὶν ἐξαίρειν αὐτῶ τὴν καρδίαν· τῶτο γὰρ μάλιστα δαδῶδες· ἐξαίρειν δὲ ἐκ τῶν ῥιζῶν· καὶ γὰρ ταύτας ὥσπερ εἴπομεν ἐνδάδους πασῶν μάλιστα. εἰκὸς δὲ δηλονότι τὰς μὲν ἀγαθὰς, ὥσπερ ἐλέχθη, συνεχῶς τοῦτο δρᾶν, τὰς δὲ χείρονας διὰ πλείονος χρόνου.

[t] δαδιστέραν Ald. Bas. [u] ῥητίνης Const. [x] πρόσφυσιν τῆς τροφῆς, εἴπερ Ald. [y] Vid. not. ad fin. libri.

καὶ [z] *ταμιευομένους μὲν, πλείω χρόνον ἀντέχειν, ἐὰν δὲ πᾶσαν ἐξαίρωσιν, ἐλάττω. δύναται δ', ὡς ἔοικε, τρεῖς μάλιστα τοιαύτας ἐξαιρέσεις ὑπομένειν. οὐχ ἅμα δὲ καρποφοροῦσιν αἱ Πεῦκαι, καὶ *δᾳδοφοροῦσι. καρποφοροῦσι μὲν γὰρ εὐθὺς νέαι, δᾳδοφοροῦσι δὲ ὕστερον πολλῷ, πρεσβύτεραι γινόμεναι.

CAP. III.

Picis liquidæ et concretæ Manipulatio.

ΤΗΝ δὲ πίτταν καίουσι τόνδε τὸν τρόπον· ὅταν κατασκευάσωσιν ὁμαλῆ τόπον, ὥσπερ ἄλω ποιήσαντες ἔχουσαν εἰς τὸ μέσον *συρρόῦν, ταύτην ἐδαφίζουσι καταχίσαντες τοὺς *κορμοὺς, συντιθέασι δὲ παραπλησίαν σύνθεσιν τῆς τῶν *ἀνθρακευόντων, πλὴν οὐκ *ἔμβοθρον, ἀλλὰ τὰς *ῥίζας ὀρθὰς πρὸς ἀλλήλας, ὥστε λαμβάνειν ὕψος αἰεὶ κατὰ πλῆθος· γίνεται δὲ τοῦτο φασιν ὅταν ἡ *σύνθεσις ᾖ κύκλῳ μὲν ὀγδοήκοντα καὶ ἑκατὸν πηχέων, εἰς ὕψος δὲ [y] ἑξήκοντα πλέον, ἢ πεντήκοντα· ἢ ἑκατὸν ἀμφοτέραις, ἐάν περ ἡ *δᾶς τυγχάνῃ πίειρα. συνθέντες οὖν αὐτὴν οὕτως, καὶ κατασκεπάσαντες ὕλῃ, γῆν ἐπιβάλλοντες, κατακρύπτουσιν ὅπως μηδαμῶς ἐπιδιαλαμψῇ τὸ πῦρ, ἀπόλλυται γὰρ ἡ πίττα τούτου συμβάντος. ὑφαπτοῦσι δὲ κατὰ τὴν ὑπολειπομένην *δίοδον, εἶτα δὲ καὶ ταύτην, ἐπισάξαντες τῇ ὕλῃ, καὶ ἐπιχώσαντες· τηροῦσι δ' ἀναβαίνοντες κατὰ κλίμακος, ἐὰν ὁρῶσι τὸν καπνὸν ὠθούμενον, καὶ ἐπιβάλλουσιν αἰεὶ τῆς γῆς, ὅπως μὴ διαλάμψῃ. κατεσκευάσαι δὲ ὀχετὸς τῇ πίττῃ, τῇ ἀπορρεούσῃ διὰ τῆς *συνθέσεως εἰς βόθυνον, ὅσον ἀπέχοντα πεντεκαίδεκα πήχεις. ἡ δ' ἀπορρέουσα

[x] ταμιευμένων Codd. [y] Vid. not. ad fin. libri.

πίττης ψυχρὰ γίνεται κατὰ τὴν ἀφήν. καίεται δὲ μάλιστα δύο ἡμέρας καὶ νύκτα, τῇ γὰρ ὑστεραίᾳ πρὸ ἡλίου δύνοντος ἐκκεκαυμένη γίνεται, καὶ *ἐνδέδωκεν ἡ πυρά. τοῦτο γὰρ συμβαίνει, μηκέτι ῥεούσης τῆς πίτλης. τόνδε δὲ τὸν Υ χρόνον ἅπαντα τηρεῖσιν ἀγρυπνοῦντες, ὅπως μὴ διαλάμπῃ. καὶ θύουσι δὲ, καὶ ἑορτάζουσιν, εὐχόμενοι πολλήν τε καὶ καλὴν γίνεσθαι τὴν πίτταν. οἱ μὲν δὴ περὶ Μακεδονίαν καίουσι τὸν τρόπον τοῦτον, ἐν δὲ τῇ Ἀσίᾳ φασὶ περὶ Συρίαν οὐκ ἐμπλάττειν τὴν δᾷδα, ἀλλ' ἐπ' αὐτῷ τῷ δένδρῳ προσκαίειν, φέροντες ὄργανόν τι περιπεποιημένον, καὶ τοῦτο περιαλείφοντες, εἶθ', ὅταν *ἐκτήξωσι, ταύτην πάλιν περὶ ἄλλο μεταφέρειν. ὅρος δέ ἐστιν αὐτοῖς τις καὶ σημεῖα τοῦ παύεσθαι, καὶ μάλιστα δηλονότι, τὸ μηκέτι ῥεῖν. *πιττοκαυτοῦσι δ', ὥσπερ καὶ πρότερον ἐλέχθη, τὰς Τερμίνθους, Πεύκην γὰρ οὐ φέρουσιν οἱ τόποι. τὰ μὲν οὖν περὶ τὴν ῥητίνην καὶ τὴν πίτταν, οὕτως ἔχει.

CAP. IV.

Thuris Olibani et Σμύρνης Myrrhiferæ Descriptio, et Historia.

ΠΕΡΙ δὲ *λιβανωτοῦ, καὶ *σμύρνης, καὶ *βαλσάμου, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅτε μὲν καὶ δι' ἀποτομῆς γίνεσθαι [ταῦτα] ὅτε δὲ καὶ αὐτομάτως, εἴρηται. πολλὴ δέ τις, ἡ τῶν δένδρων φύσις· καὶ εἴ τι περὶ τὴν γένεσιν, ἢ τὴν συλλογὴν, ἤ τι ἄλλον ἴδιον αὐτοῖς ὑπάρχει, πειρατέον εἰπεῖν· ὡσαύτως δὲ καὶ περὶ τῶν λοιπῶν εὐόσμων, σχεδὸν γὰρ τά γε πλεῖστα ἀπὸ τόπων ἐστὶ, τῶν τε πρὸς μεσημβρίαν καὶ ἀνατολήν. γίνεται μὲν οὖν ὁ

Υ τρόπον Codd.

Λίβανος, καὶ ἡ Σμύρνα, καὶ ἡ Κασία, καὶ ἔτι τὸ Κινάμωμον, ἐν τῇ τῶν Ἀράβων [z] χώρᾳ, τῇ Χερρονήσῳ· περὶ τε Σαβὰ, καὶ Ἀδραμύττα, καὶ [a] Κατάβαινα, καὶ Μάλι. φύεται δὲ τὰ τοῦ Λιβάνου καὶ τῆς Σμύρνης δένδρα, τὰ μὲν ἐν τῷ ὄρει, τὰ δ' ἐν ταῖς ἰδίαις γεωργίαις ὑπὸ τὴν *ὑπόρειαν, διὸ καὶ τὰ μὲν θεραπεύεται, τὰ δ' οὔ. τὸ δ' ὄρος εἶναι, φασὶν, ὑψηλὸν καὶ δασὺ, καὶ νιφόμενον, ῥεῖν δ' ἐξ αὐτοῦ καὶ ποταμοὺς εἰς τὸ πεδίον· εἶναι δὲ τὸ μὲν τοῦ Λιβάνου τὸ Δένδρον, οὐ μέγα, πεντάπηχυ δέ τι, καὶ πολύκλαδον, φύλλον δὲ ἔχειν ἐμφερὲς τῇ Ἀρίᾳ, πλὴν ἔλαττον πολὺ, καὶ τῷ χρώματι ποῶδες σφόδρα, καθάπερ τὸ Πήγανον· [b] λειόφλοιον δὲ πᾶν ὥσπερ τὴν Δάφνην. (τὴν δὲ Σμύρναν φασὶν ἔλαττον ἔτι τῷ μεγέθει, καὶ θαμνωδέστερον· τὸ δὲ στέλεχος ἔχειν σκληρὸν καὶ συνεστραμμένον, ἐπὶ τῆς γῆς παχύτερον δ' ἢ *κνημόπαχες.) φλοιὸν δ' ἔχει [ἡ Σμύρνα] οὐ λεῖον, ὅμοιον δὲ τῇ [c] Ἀνδράχνῃ. ἕτεροι δὲ, οἱ φάσκοντες τεθεωρηκέναι, περὶ μὲν τοῦ μεγέθους σχεδὸν συμφωνοῦσιν, οὐδέτερον γὰρ εἶναι μέγα τῶν δένδρων [τούτων], ἔλαττον δὲ τὸ τῆς Σμύρνης, καὶ ταπεινότερον, φλοιὸν δὲ ἔχειν τὸ τοῦ Λιβάνου Δένδρον δαφνοειδές φασι, καὶ λειόφυλλον εἶναι· τὸν δὲ τῆς Σμύρνης φλοιὸν ἀκανθώδη καὶ οὐ λεῖον· φύλλον δὲ προσεμφερὲς ἔχειν τῇ [d] Πτελέᾳ, πλὴν *οὖλον, ἐξ ἄκρου δὲ ἐπακανθίζον, ὥσπερ τὸ τῆς Πρίνου. ἔφασαν δὲ οὗτοι κατὰ τὸν παράπλουν, ὃν ἐξ Ἡρώων ἐποιοῦντο κόλπου, ζητεῖν ἐκβάντας ὕδωρ ἐν τῷ ὄρει, καὶ οὕτως θεωρῆσαι τὰ δένδρα κατὰ τὴν συλλογήν· εἶναι δ' ἀμφοτέρων *ἐντετμημένα, καὶ τὰ

[z] χώρᾳ νήσῳ, Bod. [a] Κιτίβαινα, Bod. [b] λειόφυλλον Codd. [c] Ἀδράχνῃ. Const. [d] Ἐλαίᾳ, Bod.

στελέχη, καὶ τοὺς κλάδους· ἀλλὰ τὰ μὲν, ὥσπερ ἀξίνῃ δοκεῖν πεπλῆχθαι, τὰ δὲ, λεπτοτέρας ἔχειν τὰς τομάς. τὸ δὲ δάκρυον, τὸ μὲν καταπίπτειν, τὸ δὲ, καὶ πρὸς τῷ δένδρῳ προσίσχεσθαι· καὶ ἐνιαχοῦ μὲν ὑποβεβλῆθαι *ψιάθους ἐκ τῶν Φοινίκων πεπλεγμένας· ἐνιαχοῦ δὲ, τὸ ἔδαφος μόνον ἠδαφίθαι, καὶ [d] καθαρὰν εἶναι· καὶ τὸν μὲν ἐπὶ τῶν ψιάθων λιβανωτὸν, εἶναι καὶ καθαρὸν καὶ διαφανῆ, τὸν δ' ἐπὶ τῆς γῆς ἧττον· τὸν δ' ἐπὶ τοῖς δένδροις προσεχόμενον ἀποξέειν σιδήροις, διὸ καὶ φλοιὸν ἐνίοις προσεῖναι· τὸ δὲ ὄρος ἅπαν μεμερίσθαι τοῖς Σαβαίοις. (τούτους γὰρ εἶναι κυρίους.) δικαίους δὲ τὰ πρὸς ἀλλήλους, διὸ καὶ οὐδένα τηρεῖν, ὅθεν καὶ αὐτοὶ, *δαψιλῶς εἰς τὰ πλοία λαβόντες, ἐνθέσθαι τοῦ λιβανωτοῦ καὶ τῆς σμύρνης, (ἐρημίας οὔσης τῆς χώρας,) καὶ ἀποπλεῖν· ἔλεγον δ' οὗτοι καὶ τόδε, καὶ ἔφασαν ἀκούειν, ὅτι συνάγεται πανταχόθεν ἡ σμύρνα καὶ ὁ λιβανωτὸς εἰς τὸ ἱερὸν τὸ τοῦ Ἡλίου· τοῦτο δ' εἶναι μὲν τῶν Σαβαίων, ἁγιώτατον δὲ πολὺ τῶν περὶ τὸν τόπον· τηρεῖν δ' ἐκεῖ τοὺς Ἄραβας ἐνόπλους· ὅταν δὲ κομίσωσιν ἕκαστος *σωρὸν τὸν ἑαυτοῦ, καὶ τὴν Σμύρναν ὁμοίως, καταλιπεῖν τοῖς ἐπὶ τῆς φυλακῆς, τιθέναι δὲ ἐπὶ τοῦ σωροῦ πινάκιον, γραφὴν ἔχον τοῦ τε πλήθους τῶν μέτρων, καὶ τῆς τιμῆς ἧς δεῖ [e] πραθῆναι τὸ μέτρον ἕκαστον· ὅταν δὲ οἱ ἔμποροι παραγένωνται, σκοπεῖν τὰς γραφὰς, ἤ τις δ' ἂν αὐτοῖς ἀρέσκῃ, μετρησαμένους τιθέναι τὴν τιμὴν εἰς τοῦτο τὸ χωρίον, ἔνθεν ἂν ἔλωνται. τὸν δὲ ἱερέα παραγενόμενον, τὸ τρίτον μέρος λαβόντα τῆς τιμῆς τῷ Θεῷ, τὸ λοιπὸν αὐτοῦ καταλιπεῖν, καὶ

[d] καθάπερ Bod. [e] προσθεῖναι Codd.

τοῦτο σῶν εἶναι κυρίοις ἕως ἂν ἕλωνται παραγενόμενοι. ἄλλοι δέ τινες τὸ μὲν τοῦ Λιβανωτοῦ δένδρον ὅμοιον εἶναί φασι [f] Σχίνῳ, καὶ τὸν καρπὸν [g] τοῖς *σκίνοις, φύλλον δὲ ὑπέρυθρον. εἶναι δὲ τὸν μὲν ἐκ τῶν νέων [δένδρων] Λιβανωτὸν, λευκότερον καὶ ἀοδμότερον, τὸν δ' ἐκ τῶν παρακμαζόντων ξανθότερον καὶ εὐοσμότερον. τὸ δὲ τῆς Σμύρνης [δένδρον φασὶν ἄλλοι] ὅμοιον τῇ Τερμίνθῳ, τραχύτερον δὲ καὶ ἀκανθωδέστερον, φύλλον δὲ μικρῷ στρογγυλότερον, τῇ δὲ γεύσει, διαμασωμένοις, ὅμοιον τῷ τῆς Τερμίνθου. εἶναι δὲ καὶ τούτων τὰ παρηκμακότα, εὐδοκιμώτερα· γίνεσθαι δὲ ἀμφότερα ἐν τῷ αὐτῷ τόπῳ· τὴν γὰρ γῆν *ὑπάργιλον καὶ *πλακώδη [εἶναι], καὶ ὕδατα πηγαῖα σπάνια· ταῦτα μὲν οὖν ὑπεναντία τῷ νίφεσθαι, καὶ ὕεσθαι, καὶ ποταμοὺς ἐξιέναι. τὸ δὲ παρόμοιον εἶναι τὸ δένδρον τῇ Τερμίνθῳ, καὶ ἄλλοι τινὲς λέγουσιν, οἱ δὲ καὶ ὅλως Τέρμινθον εἶναι, [φασὶ] κομιθῆναι γὰρ ξύλα πρὸς Ἀντίγονον ὑπὸ τῶν Ἀράβων, τῶν τὸν λιβανωτὸν καταγαγόντων, ἃ οὐδὲν διέφερε τοῦ τῆς Τερμίνθου. πλὴν οὗτοί γε μεῖζον ἕτερον ἀγνόημα προσηγνόουν. ᾤοντο γὰρ ἐκ τοῦ αὐτοῦ δένδρου τόν τε λιβανωτὸν γίνεσθαι καὶ τὴν σμύρναν· διόπερ ἐκεῖνος ὁ λόγος πιθανώτερος, ὁ παρὰ τῶν ἀναπλευσάντων ἐξ Ἱρῶν πόλεως· ἐπεὶ καὶ τὸ ὑπὲρ Σάρδεων πεφυκὸς τοῦ λιβανωτοῦ δένδρον ἐν ἱερῷ τινι, δαφνοειδὲς ἔχει τὸ φύλλον. ἔτι δὲ δεῖ ϛαθμᾶσθαι τούτῳ, ὅτι ὁ λιβανωτὸς, καὶ ὁ ἐκ τοῦ στελέχους, καὶ ὁ ἐκ τῶν ἀκρεμόνων, ὁμοίως καὶ τῇ ὄψει, καὶ τῇ ὀσμῇ θυμιώμενος, τῷ ἄλλῳ λιβανωτῷ. πέφυκε δὲ τοῦτο μόνον τὸ δένδρον οὐδεμιᾶς τυγχάνειν γεωργίας.

f Σχοίνῳ, Bod.

g τοῖς σχίνισι, Const. σχοίνισι, Bod.

ἔνιοι δὲ λέγουσιν ὡς ἡδίων μὲν ὁ λιβανωτὸς ἐν τῇ Ἀραβίᾳ γίνεται, καλλίων δὲ ὁ ἐν ταῖς ἐπικειμέναις νήσοις ὧν ε Ἰνδοὶ ἄρχουσιν. ἐνταῦθα γὰρ καὶ [h]σχηματοποιεῖν [αὐτοὺς] ἐπὶ τῶν δένδρων οἷον ἂν θέλωσι· καὶ τάχα τοῦτό γε οὐκ ἀπίθανον, ἐνδέχεται γὰρ ὁποίαν ἂν βούληταί τις ποιεῖν τὴν ἐντομήν. εἰσὶ δέ τινες καὶ μεγάλοι σφόδρα τῷ *χόνδρῳ, ὥστε εἶναι τῷ μὲν ὄγκῳ χειροπληθιαίους, σταθμῷ δὲ πλεῖον ἢ τρίτον μέρος *μνᾶς. *ἀργὸς δὲ κομίζεται πᾶς ὁ λιβανωτὸς, ὅμοιος δ' ἐστὶ τῇ προσόψει τῷ φλοιῷ. τῆς σμύρνης δὲ ἡ μὲν στακτὴ, ἡ δὲ πλαστή. δοκιμάζεται δὲ ἡ μὲν ἀμείνων τῇ γεύσει. καὶ ἀπὸ ταύτης τὴν ὁμόχρουν λαμβάνουσι. περὶ μὲν οὖν λιβανωτοῦ καὶ σμύρνης, ἄχρι γε τοῦ νῦν σχεδὸν τοσαῦτα ἀκηκόαμεν.

CAP. V.

Laurus Cinnamomum et Laurus Cassia, &c.

ΠΕΡΙ δὲ Κιναμώμου καὶ Κασίας ταῦτα λέγουσι· θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι, οὐ μεγάλους, ἀλλ' ἡλίκους Ἄγνου· πολυκλάδους δὲ καὶ ξυλώδεις. ὅταν δὲ ἐκκόψωσι τὸ *κινάμωμον, ὅλον διαιρεῖν εἰς πέντε μέρη, τούτου δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι, ὃ τέμνεται σπιθαμιαῖον, ἢ μικρῷ μεῖζον. ἑπόμενον δὲ τὸ δεύτερον, ὃ καὶ τῇ τομῇ ἔλαττον, εἶτα τὸ τρίτον καὶ τέταρτον· ἔσχατον δὲ, ᾗ χείριστον, τὸ πρὸς τῇ ῥίζῃ, φλοιὸν γὰρ [i]ἐλάχιστον ἔχει, (χρήσιμος δ' οὗτος, οὐ τὸ ξύλον,) διὸ καὶ τὸ ἀκροφυὲς κράτιστον, πλεῖστον γὰρ

ε ἐνυτάρχουσιν. Bod. h σχηματομεῖν Const. i πλεῖστον ἔχει οὐ γὰρ οὗτος χρήσιμος, ἀλλὰ τὸ ξύλον. διὸ καὶ Const.

ἔχειν καὶ τὸν φλοιόν· οἱ μὲν, οὕτω λέγουσιν, ἄλλοι δ' οὐ θαμνώδεις φασι· δύο δ' αὐτῶν γένη, τὸ μὲν μέλαν, τὸ δὲ λευκόν. λέγεται δέ τις καὶ μῦθος ὑπὲρ αὐτοῦ, φύεσθαι μὲν γάρ φασιν ἐν φάραγξιν, ἐν ταύταις δ' Ὄφεις εἶναι [k] πτερωτοὺς, δῆγμα θανάσιμον ἔχοντας, πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας, καταβαίνουσι καὶ συλλέγουσιν, εἶθ' ὅταν ἐξενέγκωσι, διελόντες τρία μέρη, διακληροῦνται πρὸς τὸν ἥλιον, καὶ ἣν ἂν λάχῃ ὁ ἥλιος, καταλείπουσιν· ἀπιόντες δ' εὐθὺς ὁρᾶν φασὶ καιομένην ταύτην. οὗτος μὲν οὖν τῷ ὄντι μῦθος, τὴν δὲ Κασίαν φασὶ τὰς μὲν ῥάβδους [l] παχυτέρας ἔχειν, ἰνώδεις δὲ σφόδρα, καὶ οὐκ εἶναι [m] περιφλοῖσαι· χρήσιμον δὲ καὶ ταύτης τὸν φλοιόν· ὅταν οὖν τέμνωσι τὰς ῥάβδους, κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος, ἢ μικρῷ μείζω, ταῦτα δ' εἰς [n] * νεόδερον βύρσαν καταῤῥάπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων, σκωλήκια γίνεσθαι, ἃ τὸ μὲν ξύλον κατεσθίει, τοῦ φλοιοῦ δὲ οὐχ ἅπτεται, διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσμῆς. καὶ περὶ μὲν Κασίας καὶ Κιναμώμου, τοσαῦτα λέγεται.

CAP. VI.

Balsami, Balessan, Historia.

ΤΟ δὲ Βάλσαμον γίνεται μὲν ἐν τῷ αὐλῶνι τῷ περὶ Συρίαν· παραδείσους δ' εἶναί φασι δύο μόνους, τὸν μὲν, ὅσον εἴκοσι πλέθρων, τὸν δ' ἕτερον πολλῷ ἐλάττονα. τὸ δὲ τοῦ δένδρου μέγεθος μὲν, ἡλίκον Ῥοιὰ μεγάλη. πο-

[k] πολλοὺς Bod. [l] πλατυτέρας Bod. [m] περιβλεῦσαι Ald. Bas. [n] νεόδερον Const.

λύκλαδον δὲ σφόδρα· φύλλον δὲ ἔχειν ὅμοιον Πηγάνῳ, πολὺν ἔκλευκον· ἀείφυλλον δὲ εἶναι· καρπὸν δὲ παρόμοιον τῇ Τερμίνθῳ, καὶ μεγέθει, καὶ σχήματι, καὶ χρώματι· εὐῶδες δὲ σφόδρα καὶ τοῦτο, καὶ μᾶλλον [o] τὸ δάκρυον· τὸ δὲ δάκρυον ἀπὸ ἐντομῆς [φασὶ] συλλέγειν, ἐντέμνειν δὲ ὄνυξι σιδηροῖς ὑπὸ τὸ *ἄστρον, ὅταν μάλιστα *καταπνίγη ὦσι, τὰ στελέχη καὶ τὰ ἄνω· τὴν δὲ συλλογὴν ὅλον τὸ θέρος ποιεῖσθαι, οὐκ εἶναι δὲ πολὺ τὸ ῥέον, ἀλλ' ἐν ἡμέρᾳ τὸν ἄνδρα συλλέγειν ὅσον *κόγχην· τὴν δ' ὀσμὴν διαφέρουσαν καὶ πολλὴν, ὥστε ἀπὸ μικροῦ πολλὸν ἐφικνεῖσθαι τόπον· ἀλλ' οὐ φοιτᾷν ἐνταῦθα ἄκρατον, ἀλλὰ τὸ συνηγμένον κεκραμμένον [εἶναι]. πολλὴν γὰρ δέχεσθαι κρᾶσιν· καίτοι ἐν τῇ Ἑλλάδι πολλάκις εἶναι κεκραμμένον. εὔοσμα δὲ σφόδρα καὶ τὰ ῥαβδία· [p] *καθαίρειν γὰρ φασὶ, καὶ τοῦδε ἕνεκα καίτοι διαφόρου πωλεῖσθαι τιμῆς. καὶ τῆς ἐργασίας τῆς περὶ τὰ δένδρα σχεδὸν ταύτην αἰτίαν εἶναι· καὶ τῆς *βροχῆς, βρέχεσθαι δὲ συνεχῶς. συναιτίαν δὲ δοκεῖν εἶναι τοῦ μὴ μεγάλα γίνεσθαι τὰ δένδρα καὶ τὴν τῶν ῥαβδίων τομὴν, διὰ γὰρ τὸ πολλάκις ἀποκείρεσθαι, ῥάβδους ἀφιέναι, καὶ οὐκ εἰς ἓν ἐκτείνειν τὴν ὁρμήν· ἄγριον δὲ οὐδὲν [φασὶν] εἶναι Βάλσαμον οὐδαμοῦ, γίνεσθαι δὲ ἐκ μὲν τοῦ μείζονος παραδείσου ἀγγεῖα δώδεκα ὅσον *ἡμιχόας. ἐκ δὲ τοῦ ἑτέρου, δύο μόνον. πωλεῖσθαι δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον, τὸ δ' ἄλλο κατὰ λόγον τῆς μίξεως, καὶ τοῦτο μὲν διάφορόν τι φαίνεται κατὰ τὴν εὐοσμίαν.

[o] τοῦ δακρύου Bod. [p] ἕδρα γὰρ καθαίρειν καθ' ἑκάστους ἑκαυτοὺς· καὶ τῶν ἄλλων ἕνεκα, ὥστε ἰσχυρότερα σώζειν· καὶ πλεῖον κέρδος εἰσφέρειν. πωλεῖσθαι γὰρ τιμίως· καὶ τῆς ἐργασίας.... Gaza.

CAP. VII.

Acorus Calamus: Amomum, aliæque Balsamiferæ Arbores. Item de Unguentis Antiquorum.

Ὁ δὲ Κάλαμος γίνεται καὶ ὁ Σχοῖνος, ὑπερβάλλοντι τὸν Λίβανον μεταξὺ τοῦ τε Λιβάνου καὶ ἄλλου τινὸς ὄρους μικροῦ, ἐν τῷ αὐλονίσκῳ τούτῳ, καὶ οὐχ, ὥς τινές φασι, τοῦ Ἀντιλιβάνου. καὶ μεταξὺ τούτων ἐστὶν, ὃν αὐλῶνα καλοῦσι, πεδίον πολὺ καὶ καλόν. ὅπου δὲ ὁ Κάλαμος, καὶ ὁ Σχοῖνος φύεται, λίμνη μεγάλη τυγχάνει· πρὸς ταύτην δὲ ἐν τῷ ἕλει, τῷ ἀνεξηραμένῳ πεφύκασι· τόπον δὲ ἔχουσι πλεῖον ἢ τριάκοντα σταδίων. [q] οὐκ ὄζουσι δὲ χλωροὶ, ἀλλὰ ξηρανθέντες. τῇ προσόψει δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων. εἰσβάλλοντι δὲ εἰς τὸν τόπον, εὐθὺς ὀσμὴ προσβάλλει· οὐ μὴν πορρωτέρω γε ἡ ἀποπνοὴ γίνεται, καθάπερ τινές φασι ταῖς προσφερομέναις ναυσὶν [r] προσείναι τὴν ὀσμήν· καὶ γὰρ ὁ τόπος οὗτος ἀπὸ θαλάττης ἀπέχει πλείους ἢ ἑκατὸν πεντήκοντα σταδίους· ἀλλ' ἐν τῇ Ἀραβίᾳ τὴν ἀναπνοὴν εἶναί φασι, τὴν ἀπὸ τῆς χώρας, εὔοσμον. ἐν μὲν οὖν Συρίᾳ τὰ *περιττὰ τῇ ὀσμῇ σχεδὸν ταῦτ' ἔστιν, ἡ γὰρ Χαλβάνη, βαρύτερον, καὶ μᾶλλον φαρμακῶδες. ἔτι καὶ γίνεται αὕτη περὶ Συρίαν, ἐκ τοῦ [s] Πάχους καλουμένου· τὰ δὲ ἄλλα πάντα τὰ εὔοσμα, οἷς πρὸς τὰ ἀρώματα χρῶνται, τὰ μὲν ἐξ Ἰνδῶν κομίζεται, κἀκεῖθεν ἐπὶ θάλατταν καταπέμπεται, τὰ δὲ ἐξ Ἀραβίας· οἷον, πρὸς τῷ Κιναμώμῳ, καὶ τῇ Κασίᾳ, καὶ τὸ Κώ-

[q] οὐ δοκοῦσι δὲ Bod. [r] εἶναι πρὸς τὴν χώραν, καὶ γὰρ Bod.
[s] πάχου Const.

μακον. ἕτερον δὲ εἶναι τὸ Κώμακον, καρπὸν, τὸ δὲ ἕτερον παραμίσγουσιν εἰς τὰ σπουδαιότατα τῶν μύρων. τὸ δὲ Καρδάμωμον καὶ Ἄμωμον, οἱ μὲν ἐκ Μηδείας, οἱ δ' ἐξ Ἰνδῶν καὶ ταῦτα καὶ τὴν Νάρδον, καὶ τὰ ἄλλα, ἢ τὰ πλεῖστα. οἷς μὲν οὖν εἰς τὰ ἀρώματα χρῶνται, χεδὸν τάδέ ἐστι Κασία, Κινάμωμον, [t] Καρδάμωμον, Νάρδος, [u] Νῆρις, Βάλσαμον, Ἀσπάλαθος, Στύραξ, Ἶρις, [x] Νάρκαφθος, Κόστος, Πάνακες, Κρόκος, Σμύρνα, Κύπειρον, Σχοῖνος, Κάλαμος, Ἀμάρακον, Λωτὸς, Ἄνηθον. τούτων δὲ τὰ μὲν, ῥίζαι, τὰ δὲ φλοιοὶ, τὰ δὲ κλῶνες, τὰ δὲ ξύλα, τὰ δὲ σπέρματα, τὰ δὲ δάκρυα, τὰ δὲ ἄνθη [χρησιμά]· καὶ τὰ μὲν πολλαχοῦ γίνεται, τὰ δὲ περιττότατα καὶ εὐοδμότατα πάντα ἐκ τῆς Ἀσίας καὶ ἐκ τῶν ἀλεεινῶν τόπων, ἐκ γὰρ τῆς Εὐρώπης οὐδέν ἐστιν ἔξω Ἴριδος, αὕτη δὲ ἀρίστη ἐν Ἰλλυριοῖς, οὐκ ἐν τῇ πρὸς θάλατταν χώρᾳ, ἀλλ' ἐν τῇ ἀνακεχωρηκυίᾳ, κειμένῃ δὲ μᾶλλον πρὸς ἄρκτον. τόποι δὲ τόπων διαφέρουσιν ἐν οἷς ἀμείνων [ἐστί]· ἐργασία δὲ περὶ αὐτὴν οὐδεμία· πλὴν τοῦ περικαθήραντα ἀναξηράναι. τὰ γὰρ ἐν τῇ Θράκῃ φυόμενα *ῥιζία, καθάπερ τὸ τῇ Νάρδῳ προσεμφερῆ τὴν ὀσμὴν ἔχον, καὶ ἕτερα ἄττα, μικρά τινα καὶ ἀσθενῆ τὴν εὐωδίαν ἔχει. καὶ περὶ μὲν τῶν εὐόσμων ἐπὶ τοσοῦτον εἰρήσθω.

[t] Καρδάμωμον, Ἄμωμον, Νάρδος, Νῆρις, Const. [u] Ναίρον, Bod. [x] Νάρτη, Bod.

CAP. VIII.

Vires Pharmaceuticæ Plantarum, et Modi extrahendi Succos.

ΠΕΡΙ δὲ τῶν ὀπῶν ὅσα μὴ πρότερον εἴρηται, (λέγω δὲ οἷον εἴ τινες *φαρμακώδεις ἢ καὶ ἄλλας ἔχουσι δυνάμεις,) πειρατέον ὁμοίως εἰπεῖν. ἅμα δὲ καὶ περὶ ῥιζῶν, (καὶ γὰρ τῶν ὀπῶν τινες ἐκ τούτων.) καὶ χωρὶς αὐταὶ κατ' αὐτὰς πολλὰς ἐναντίας ἔχουσι δυνάμεις· ὅλως δὲ περὶ πάντων φαρμακωδῶν, οἷον *χυλισμοὶ καρποῦ, φύλλων, ῥιζῶν· [y] *πύας, καλοῦσι γὰρ καὶ πύαν ἔνια τῶν φαρμακωδῶν [χύλων] οἱ ῥιζοτόμοι. τῶν δὲ ῥιζῶν πλείους μέν εἰσι δυνάμεις, καὶ πρὸς πλείω· ζητοῦνται δὲ μάλιστα αἱ φαρμακώδεις, ὡς χρησιμώταται. διαφέρουσι δὲ τῷ τε μὴ πρὸς [z] ταὐτὰ, καὶ τῷ μὴ ἐν τοῖς αὐτοῖς ἔχειν τὴν δύναμιν. ὡς δὲ οὖν ἐπίπαν, αἱ πλεῖσαι μὲν ἐν αὐταῖς ἔχουσι· ἢ καὶ ἐν τοῖς καρποῖς τοὺς ὀπούς, ἔνιαι δὲ καὶ ἐπὶ τοῖς φύλλοις· τὰς δὲ φυλλώδεις δυνάμεις τὰς πολλὰς σχεδὸν πύας καλοῦσιν, ὥσπερ εἴρηται, οἱ ῥιζοτόμοι. ὁ μὲν οὖν *ὀπισμὸς γίνεται τῶν ὀπιζομένων, ὡς ἐπίπαν, τοῦ θέρους· τῶν μὲν, ἑνιαμένου, τῶν δὲ, προεληλυθότος, [a] ἡ δὲ ῥιζοτομία γίνεται μέν τινων καὶ ὑπὸ *πυροτομίαν, καὶ μικρῷ πρότερον· οὐ μὴν ἀλλ' ἥγε πλειώνων [ῥιζοτομία] τοῦ μετοπώρου μετ' Ἀρκτοῦρον, ὅταν φυλλορροήσωσιν· ὅσων δὲ καὶ ὁ καρπὸς χρήσιμος, ὅταν ἀμέρσωσι τὸν καρπόν· ἔστι δὲ ὁ ὀπισμὸς, ἢ ἀπὸ τῶν καύλων, ὥσπερ τοῦ Τιθυμάλλου, καὶ τῆς

y πόας, Bod. z ταῦτα, Ald. ταὐτὰ, Scal. a τὴν ῥιζοτομίαν γινέσθαι μέν τινων Bod.

Θριδακίνης, καὶ σχεδὸν τῶν πλείστων, ἢ ἀπὸ τῶν ῥιζῶν, ἢ τρίτον, ἀπὸ τῆς κεφαλῆς, ὥσπερ τῆς Μήκωνος, ἐκ ταύτης γὰρ μόνης ἐστὶ, καὶ τοῦτο ἴδιον αὐτῆς. τῶν μὲν οὖν καὶ αὐτόματος ὁ ὀπὸς συνίσταται δακρυώδης, ὥσπερ τῆς [b] Τραγακάνθης, ταύτης γὰρ οὐδὲν τέμνειν ἐσί· τῶν δὲ πλείστων δι' ἐντομῆς, ὧν τινὰς μὲν εὐθὺς εἰς ἀγγεία συνάγουσιν, ὥσπερ καὶ Τιθυμάλλου ἢ τοῦ Μηκωνίου (καλοῦσι γὰρ ἀμφοτέρως), καὶ ἁπλῶς ὅσα πολύοπα τυγχάνει· τῶν δὲ μὴ πολυοπῶν *ἐρίῳ λαμβάνουσιν [τοὺς ὀπούς], ὥσπερ καὶ τῆς Θριδακίνης. ἐνίων δὲ οὐδὲ *ὀπισμὸς, ἀλλ' οἷον *χυλισμός ἐστιν, ὥσπερ ὅσα καίοντες, καὶ ὕδωρ ἐπιχέαντες, ἀπωθοῦσι, καὶ λαμβάνουσι τὴν ἀπόσταξιν· ξηρὸς δὲ δηλονότι καὶ ἐλάττων ὁ χυλὸς τούτων. ἔστι δὲ τῶν μὲν ἄλλων ῥιζῶν τὸ *χύλισμα ἀσθενέστερον τοῦ καρποῦ, τοῦ Κωνείου δὲ ἰσχυρότερον, καὶ τὴν *ἀπαλλαγὴν ῥαδίως ποιεῖ καὶ θᾶττον, μικρὸν πάνυ *καταπότιον δοθέν· ἐνεργότερον δὲ καὶ εἰς τὰς ἄλλας χρείας. ἰσχυρότερον δὲ καὶ τὸ τῆς Θαψίας, τὰ δὲ ἄλλα πάντα ἀσθενέστερα. οἱ μὲν οὖν ὀπισμοὶ σχεδὸν τοσαυταχῶς γίνονται, τῆς δὲ ῥιζοτομίας οὐκ ἔστι τοιαύτη διαφορὰ, πλὴν ἐν ταῖς ὥραις, [c] οἷον θέρους, ἢ μετοπώρου. καὶ τὸ, τὰς δὲ, ἢ τὰς δὲ τῶν ῥιζῶν, οἷον τοῦ Ἐλλεβόρου τὰς κάτω, τὰς λεπτὰς, τὴν γὰρ ἄνω τὴν παχεῖαν, τὴν κεφαλώδη, φασὶν, ἀχρεῖον εἶναι, καὶ διδόναι ταῖς κυσὶν, ὅταν βούλωνται καθαίρειν· καὶ ἐφ' ἑτέρων δέ τινων τοιαύτας λέγουσι διαφοράς.

[b] Τριγακάνθης, Bod. error typogr. [c] Vid. not. ad finem libri.

CAP. IX.

Modi et Tempora colligendi Succos, &c. medicinales.

Ἔτι δὲ ὡς οἱ φαρμακοπῶλαι καὶ οἱ ῥιζοτόμοι, τὰ μὲν ἴσως οἰκείως, τὰ δὲ καὶ *ἐπιτραγῳδοῦντες, λέγουσι, κελεύουσι γὰρ τὰς μὲν *κατὰ ἄνεμον ἱσταμένους τέμνειν, ὥσπερ ἑτέρας τέ τινας, καὶ τὴν Θαψίαν, ἀλειψαμένους λίπα, τὸ γὰρ σῶμα ἀνοιδεῖν, ἐὰν ἐξ ἐναντίας· κατ' ἄνεμον δὲ καὶ τοῦ Κυνοσβάτου τὸν καρπὸν [δεῖ] συλλέγειν, εἰ δὲ μὴ, κίνδυνον εἶναι τῶν ὀφθαλμῶν. τὰς δὲ νύκτωρ, τὰς δὲ μεθ' ἡμέραν [δεῖ συλλέγειν], ἐνίας δὲ πρὶν [d] αὐτὰς ἥλιον ἐπιβάλλειν, οἷον καὶ τὸ καλούμενον Κλύμενον. καὶ ταῦτα μὲν καὶ τὰ παραπλήσια τούτοις, ταχ' ἂν οὐκ ἀλλοτρίως δόξαιεν λέγειν, *ἐπισινεῖς γὰρ τινῶν αἱ δυνάμεις, ἐξάπλειν γάρ φασιν ὥσπερ πῦρ, καὶ [e] κατακαίειν, τὸν Ἐλλέβορον· ἔτι καὶ ταχὺ *καρηβαρεῖν ποιεῖ, καὶ οὐ δύνανται πολὺν χρόνον ὀρύττειν, διὸ καὶ *προεσθίουσι σκόροδα, καὶ *ἄκρατον ἐπιπίνουσιν· ἀλλὰ τὰ τοιαῦτα ὥσπερ *ἐπίθετα καὶ πόρρωθεν, οἷον τὴν Παιωνίαν, (οἱ δὲ Γλυκυσίδην καλοῦσι,) νύκτωρ κελεύουσιν ὀρύττειν, ἐὰν γὰρ ἡμέρας, καὶ ὀφθῇ τις ὑπὸ Δρυοκολάπτου, τὸν μὲν καρπὸν ὁ ἀπολέγων κινδυνεύει τοῖς ὀφθαλμοῖς, τὴν δὲ ῥίζαν τέμνων *ἐκπίπτει τὴν ἕδραν. φυλάσσεσθαι δὲ [δεῖ] καὶ τὴν Κενταυρίδα τέμνοντα Τριόρχην ὅπως ἂν ἄτρωτος ἀπελθῇ, καὶ ἄλλας δέ τινας ὁμοίως· τὸ δ' ἐπευχόμενον τέμνειν, οὐδὲν ἴσως ἄτοπον, ἀλλ' εἴ τι καὶ ἄλλο προστιθέασιν, οἷον τὸ [f] Πα-

[d] αὐτὸν Codd. [e] κατακαύειν, ἐπεὶ καὶ ὁ Ἐλλέβορος, ταχὺ Ald. Bas. [f] παναλκὶς, Ald.

νακὲς, τὸ Ἀσκληπήειον καλούμενον, τέμνοντες, ἀντεμβάλλειν τῇ γῇ *παγκαρπίαν *μελιττούταν· ὅταν δὲ τὴν Ξίριν, [g]τριμήνες μελιτλούτας ἀντεμβάλλειν μιθὸν, τεμνειν δὲ, ἀμφήκει ξίφει περιγράψαντα εἰς τρεῖς, καὶ ὅ, τι ἂν πρῶτον τμηθῇ, μετέωρον ἔχειν, εἶθ' οὕτω [b]τὸ ἕτερον τέμνειν· καὶ ἄλλα δὲ τοιαῦτα πλείω· περιγράφειν δὲ [δεῖ] καὶ τὸν Μανδραγόραν εἰς τρεῖς ξίφει· τέμνειν δὲ πρὸς ἑσπέραν βλέποντα, τὸν δὲ ἕτερον κύκλῳ περιορχεῖθαι, καὶ λέγειν ὡς πλεῖστα περὶ ἀφροδισίων. τοῦτο δὲ ὅμοιον ἔοικε τῷ περὶ τοῦ Κυμίνου λεγομένῳ κατὰ τὴν βλασφημίαν, ὅταν σπείρουσι. περιγράφειν δὲ [δεῖ] καὶ τὸν Ἐλλέβορον, τὸν μέλανα ἱστάμενον πρὸς ἠὼ, καὶ προσκατευχόμενον δέ· ἀετὸν δὲ φυλάττεσθαι καὶ ἐκ δεξιᾶς καὶ ἐξ ἀριστερᾶς, κίνδυνον γὰρ εἶναι τοῖς τέμνουσιν. ἐὰν δὲ [i]ὁ ἀετὸς ᾖ ἐγγὺς, ὁ ἀποτέμνων ἀποθνήσκει ἐνιαυτῷ. ταῦτα μὲν οὖν *ἐπιθέτως ἔοικεν, ὥσπερ εἴρηται. τρόποι δ' οὐκ εἰσὶ τῶν ῥιζοτομιῶν, πλὴν οὓς εἴπομεν.

CAP. X.

Succi medicinales, Laserpitii, Scammonii, Thapsiæ, &c.

ΈΣΤΙ δ', ὥσπερ ἐλέχθη, τῶν μὲν πάντα χρήσιμα, καὶ ἡ ῥίζα, καὶ ὁ καρπὸς, καὶ ὁ ὀπός· ὥσπερ ἄλλων τε, καὶ τοῦ Πανάκους· τῶν δὲ, ἡ ῥίζα καὶ ὁ ὀπός· οἷον τῆς Σκαμμωνίας, καὶ τοῦ Κυκλαμίνου, καὶ τῆς Θαψίας, καὶ ἑτέρων· καθάπερ καὶ τοῦ Μανδραγόρου τὸ μὲν φύλλον χρήσιμον εἶναί φασι πρὸς τὰ ἕλκη μετ' ἀλ-

g τριμήνου Const. Forsan τίμνης. Vid. not. ad finem libri.
h τὸ στιῤῥὸν Bod. i ὁ ἐγγὺς μὴ διατέμνῃ, ὁ Ἄετος ἀποθνήσκει ἐνιαυτῷ. Ald. Bas. al. ὁ Ἄετος προσπετῇ.

φίτου, τὴν δὲ ῥίζαν πρὸς *ἐρυσίπελας, ξυθεῖσάν τε, καὶ ὄξει δευθεῖσαν· καὶ πρὸς τὰ ποδαγρικὰ, καὶ πρὸς ὕπνον καὶ φίλτρα· διδόασι δὲ ἐν οἴνῳ, ἢ ἐν ὄξει· τέμνουσι δὲ *τροχίσκους ὥσπερ Ῥαφανίδος· k*ἐνειλήσαντες δὲ ἐν γλεύκει ἐκρέμασαν ὑπὲρ καπνοῦ. ὁ δὲ Ἐλλέβορος ἐπὶ ταῦτα, τῇ τε ῥίζῃ καὶ τῷ καρπῷ χρήσιμος, (εἴπερ οἱ ἐν l'Αντικύρᾳ, καθάπερ φασὶ, τῷ καρπῷ καθαίρουσιν,) ἔχει δὲ *σησαμώδη τούτον. πλείω δὲ καὶ τοῦ Πανάκους τὰ χρήσιμα, καὶ οὐ πάντα πρὸς τὸ αὐτὸ, ἀλλ' ὁ μὲν καρπὸς πρὸς τὰς *ἐξαμβλώσεις, καὶ πρὸς τὰ σπασμάτια, καὶ τοὺς τοιούτους πόνους· ἔτι δὲ πρὸς τὰ ὦτα, καὶ τὰς *φωνασκίας· ἡ δὲ ῥίζα πρός τε τοὺς τόκους, καὶ τὰ γυναικεῖα, καὶ πρὸς ὑποζυγίων m*φύσας. χρησίμη δὲ καὶ πρὸς τὸ *ἰρινὸν μύρον, διὰ τὴν εὐωδίαν· ἰσχυρότερον δὲ τὸ σπέρμα τῆς ῥίζης· γίνεται δὲ περὶ Συρίαν, καὶ τέμνεται περὶ πυραμήτόν. τοῦ δὲ Κυκλαμίνου ἡ μὲν ῥίζα πρός τε τὰς *ἐκπνεύσεις τῶν φλεγμονῶν, καὶ τὰ *πρόσθετα ταῖς γυναιξί· καὶ πρὸς τὰ ἕλκη, ἐν μέλιτι, ὁ δὲ ὀπὸς πρὸς τὰς ἀπὸ τῆς κεφαλῆς καθάρσεις, ἐν μέλιτι ἐγχεόμενος, καὶ πρὸς τὸ μεθύσκειν, ἂν ἐν οἴνῳ διαβρέχων διδῶ τις πιεῖν· n ἀγαθὸν δὲ τὴν ῥίζαν καὶ εἰς ὠκυτοκίαν, *περιάπτειν, καὶ εἰς φίλτρα. ὅταν δὲ ὀρύξωσι, κατακαίουσι, εἶτ' οἴνῳ δεύσαντες *τροχίσκους ποιοῦσιν, ὡς *τῆς τρυγὸς ἢ ῥυπτόμεθα. καὶ τοῦ Σικυοῦ δὲ τοῦ ἀγρίου, τὴν μὲν ῥίζαν [πρὸς] o*ἀλφοὺς καὶ *ψώρας ἐν βοσκήμασι· τὸ δὲ σπέρμα *χυλιωθὲν ποιεῖ τὸ ἐλατήριον· τίλλεται δὲ τοῦ φθινοπώρου, τότε γὰρ

k ἐνείραντες δὲ Bod. l ἀγκύρᾳ, Ald. Bas. m φύσεις· Bod. n ἀγαθὴ Bod. o ἀλφοῦ Bod.

βέλτιστον. τῆς δὲ Χαμαίδρυος, τὰ μὲν φύλλα πρὸς τὰ ῥήγματα καὶ πρὸς τραύματα ἐν ἐλαίῳ τριβόμενα, πρός τε τὰ *νεμόμενα ἕλκη· τὸν δὲ καρπὸν καθαίρειν χολήν. ἀγαθὸν δὲ καὶ ὀφθαλμοῖς, πρὸς δὲ τὰ *ἀργέματα προσάγειν δεῖ τὸ φύλλον τρίψαντα ἐν ἐλαίῳ. ἔχει δὲ τὰ φύλλα οἷά περ Δρυός, τὸ δὲ *ἀνάστημα τῆς ὅλης, ὅσον σπιθαμιαῖον· εὔοσμον δὲ καὶ ἡδύ. τὸ μὲν οὖν, μὴ πρὸς τὸ αὐτὸ πάντα τὰ μέρη χρήσιμα τυγχάνειν, οὐκ ἴσως ἄτοπον· τὸ δὲ τῆς αὐτῆς ῥίζης, τὰ μὲν, *ἄνω, τὰ δὲ κάτω, καθαίρειν, θαυμασιώτερον, οἷον τῆς Θεαψίας καὶ τῆς Ἰσχάδος (οἵ δ' Ἄπιον καλοῦσι) καὶ τῆς Λιδανώτιδος. τὸ γὰρ αὖ καὶ κάτω καὶ ἄνω τὰ αὐτὰ δύνασθαι καθαίρειν, καθάπερ τὸ ἐλατήριον, οὐδὲν ἄτοπον. ἔχει δὲ ἡ Θαψία, φύλλον μὲν ὅμοιον Μαράθρῳ, πλὴν πλατύτερον· καυλὸν δὲ ναρθηκώδη, ῥίζαν δὲ λευκήν. ἡ δ' Ἰχὰς, ἢ Ἄπιος, φύλλον μὲν ἔχει πηγανῶδες, βραχὺ, καυλοὺς δ' ἐπιγείους τρεῖς, ἢ τέτταρας, ῥίζαν δὲ, οἷον Ἀσφόδελος, πλὴν *λεπυρώδη· φιλεῖ δὲ ὀρεινὰ χωρία, καὶ χλοώδη, τίλλεται δὲ τοῦ ἦρος· τοῦτο μὲν οὖν ἴδιον τῶν εἰρημένων.

CAP. XI.

Helleborus Orientalis Tournefortii, et varietas ejus alba.

Ο δὲ Ἐλλέβορος, ὅ τε Μέλας καὶ ὁ Λευκὸς, ὥσπερ *ὁμώνυμοι φαίνονται, περὶ δὲ τῆς ὄψεως P διαφωνοῦσιν· οἱ μὲν γὰρ ὁμοίους εἶναι [φασὶ], πλὴν τῷ χρώματι μόνον διαφέρειν· τὴν δὲ ῥίζαν τοῦ μὲν λευκὴν, τοῦ δὲ μέλαιναν. οἱ δὲ τοῦ μέλανος τὸ φύλλον *δαφνῶδες, τοῦ

P διαφέρουσιν· Const.

δὲ λευκοῦ, *πρασῶδες, τὰς δὲ ῥίζας ὁμοίας, πλὴν τῶν χρωμάτων· οἱ δ' [q] ἀνομοίας λέγοντες, τοιανδέ φασιν εἶναι τὴν *μορφήν· καυλὸν ἀνθεριχώδη, βραχὺν σφόδρα· φύλλον δὲ [r] *πλατανόσχιστον, μῆκος ἔχον εὔμηκες. εὐθὺς δ' ἐκ τῆς ῥίζης ἠρτημένον τε, καὶ ἐπιγεόφυλλον· πολλύῤῥιζον δ' εὖ μάλα, ταῖς λεπταῖς δὲ χρησίμοις. ἀναιρεῖν δὲ [φασὶ] τὸν μὲν μέλανα καὶ ἵππους, καὶ βοῦς, καὶ ὗς, διὸ καὶ οὐδὲ νέμεσθαι τοῦτον· τὸν λευκὸν δὲ νέμεσθαι τὰ πρόβατα, καὶ ἐκ τούτου πρῶτον συνοφθῆναι τὴν δύναμιν, καθαιρομένων ἐκείνων. *ὡραῖος δὲ μετοπώρου, τοῦ δ' ἦρος, ἄωρος· ἀλλὰ πρὸς τὴν Πυραίαν οἱ ἐκ τῆς Οἴτης συλλέγουσι, πλεῖστος γὰρ ἐνταῦθα φύεται καὶ ἄριστος, μοναχοῦ δὲ φύεται τῆς Οἴτης περὶ τὴν Πυράν. μίσγεται δὲ πρὸς τὴν πόσιν, ὅπως *εὐεμέσῃ, τὸ τῆς Ἑλλεβορινῆς σπέρμα, τοῦτο δ' ἐστὶ πόαριον. φύεται δὲ ὁ μὲν [Ἑλλέβορος] μέλας παντα-χοῦ, καὶ γὰρ ἐν τῇ Βοιωτίᾳ, καὶ ἐν Εὐβοίᾳ, καὶ παρὰ ἄλλοις· ἄριστος δ' ὁ ἐκ τοῦ Ἐλικῶνος (καὶ ὅλως τὸ ὄρος εὐφάρμακον)· ὁ δὲ λευκὸς, ὀλιγαχοῦ. βέλτιστοι δὲ, καὶ οἷσγε χρῶνται μάλιστα, τέτταρες· Οἰταῖος, Ποντικὸς, Ἐλεάτης, Μασσαλιώτης. φασὶ δὲ τὸν Ἐλεάτην ἐν ταῖς ἀμπέλοις φύεσθαι, καὶ ποιεῖν τὸν οἶνον οὕτω διουρητικὸν, ὥστε *λαγαροὺς εἶναι πάνυ τοὺς πινόντας. ἄριστος δὲ πάντων, καὶ τούτων, καὶ τῶν ἄλλων, ὁ Οἰταῖος· ὁ δὲ Παρνάσιος καὶ ὁ Αἰτώλιος (γίνονται γὰρ ἐνταῦθα πολλοὶ, καὶ ὠνοῦνται καὶ πωλοῦσιν οὐκ εἰδότες) σκληροί τε, καὶ ἄγαν *περισκελεῖς. ταῦτα μὲν

[q] οὖν ὁμοίας λέγοντες, Bod. [r] πλατύσχιστον, ὅμοιον τῷ τοῦ Νάρθηκος, μῆκος Bod.

οὖν ὅμοια ταῖς μορφαῖς ὄντα, δυνάμεις ἰδίας ἔχουσι. καλοῦσι δὲ τὸν Μέλανά τινες ἐκ τοῦ τεμνόντος καὶ ἀνευρόντος Μελαμπόδιον, ὡς ἐκείνου πρώτου τεμνόντος· καθαίρουσι δὲ καὶ ὕας αὐτῷ καὶ πρόβατα, *συνεπάδοντες τινὰ ἐπῳδήν· καὶ εἰς ἄλλα δὲ πλείω χρῶνται.

CAP. XII.

Laserpitii Species.

ΠΟΛΛΑ δέ ἐστι καὶ τὰ Πανάκη, καὶ οἱ Τιθύμαλλοι καὶ ἕτερα ἄτια· (Πανάκη γὰρ καλοῦσιν πρῶτον μὲν τὰ ἐν Συρίᾳ, περὶ οὗ μικρῷ πρότερον εἴρηται.) ἄλλα δὲ τρία [ἐστί]· τὸ μὲν Χειρώνειον καλούμενον, τὸ δὲ Ἡράκλειον, τὸ δ' Ἀσκλήπειον· ἔχει δὲ τὸ μὲν Χειρώνειον φύλλον μὲν ὅμοιον Λαπάθῳ, μεῖζον δὲ καὶ δασύτερον, ἄνθος δὲ χρυσοειδὲς, ῥίζαν δὲ [s]μακράν· φιλεῖ δὲ τὰ χωρία, τὰ πίονα· χρῶνται δὲ πρός τε τοὺς Ἔχεις, καὶ τὰ *Φαλάγγια, καὶ τοὺς [t]*Σῆπας, καὶ τ' ἄλλα ἑρπετὰ, διδόντες ἐν οἴνῳ, καὶ ἀλείφοντες μετ' ἐλαίου. κατὰ τοῦ δὲ Ἔχεος, τὸ δῆγμα *καταπάτοντες ἐν ὀξίνῃ, καὶ πιεῖν διδόντες. ἀγαθὴν δέ φασι καὶ καθ' ἑλκῶν ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ *φυμάτων ἐν μέλιτι. τὸ δὲ Ἀσκλήπειον τὴν ῥίζαν ἔχει μῆκος ὡς σπιθαμὴν, λευκὴν δὲ καὶ παχεῖαν σφόδρα, καὶ φλοιὸν παχὺν καὶ ἁλικώδη· καυλὸν δὲ ἔχει γονατώδη πανταχόθεν, φύλλον δὲ ὅμοιον τῇ Θαψίᾳ, πλὴν παχύτερον· ἀγαθὸν δὲ εἶναί φασιν καθ' ἑρπετῶν τε ξύοντα πίνειν, καὶ [κατὰ] *σπληνὸς, ὅταν αἷμα περὶ αὐτὸν, ἐν *μελικράτῳ· καὶ κατὰ κεφαλῆς, τρίβοντα ἐν ἐλαίῳ ἀλείφειν, καὶ ἄλλό τι ἐὰν πονῇ τις

[s] μικράν· Bod. [t] Σήτας, Ald.

ἀφάνες· καὶ [κατὰ] γαστρὸς ὀδύνης ἐν οἴνῳ ξύοντα. δύναθαι δὲ [φασὶ] καὶ τὰς *μακρὰς ἀῤῥωςίας ἐκκλίνειν. [u]ἐπὶ τε τῶν ἑλκωδῶν, τῶν μὲν ὑγρῶν ξηρὸν ἐπιπάττοντα, προκατακλύζοντα οἴνῳ θερμῷ· τῶν δὲ ξηρῶν, ἐν οἴνῳ δεῦσαι καὶ καταπάτλειν. τὸ δὲ Ἡράκλειον φύλλον μὲν ἔχει μέγα, καὶ πλατὺ, καὶ τρισπίθαμον πανταχῇ ῥίζαν δ' ὡς δακτύλου τὸ πάχος, *δικρανῆ ἢ τρικρανῆ· τῇ γεύσει μὲν ὑπόπικρον, τῇ δ' ὀσμῇ καθάπερ λιβανωτοῦ καθαρούς. ἀγαθὴν δὲ κατὰ τῆς *ἱερᾶς νόσου, μιγνυμένην *φώκης πιτύᾳ, ὅσον τεταρτημόριον, πίνειν· καὶ κατ' ὀδυνῶν κατὰ γαστέρα, ἐν οἴνῳ γλυκεῖ· καὶ ἑλκῶν, τῶν μὲν ὑγρῶν ξηρὰ, τῶν δὲ ξηρῶν, ἐν μέλιτι. αὗται μὲν οὖν ταύτας ἔχουσι τὰς διαφοράς τε καὶ δυνάμεις, ἄλλα δὲ Πανάκη [εἰσί]· τὸ μὲν λεπτόφυλλον, τὸ δὲ, [x]πλατύφυλλον, αἱ δὲ δυνάμεις ἀμφοῖν αἱ αὐταί· [y]πρὸς τὰ πρόσθετα τε ταῖς γυναιξὶ καὶ εἰς κατάπλασμα μετ' ἀλφίτων, καὶ πρὸς τὰ ἕλκη τὰ ἄλλα, καὶ πρὸς τὰ νεμόμενα.

CAP. XIII.

Solani Species et Euphorbiæ.

ΣΥΝΩΝΥΜΟΙ δὲ καὶ οἱ Στρύχνοι, καὶ οἱ Τιθύμαλλοι· τῶν γὰρ Στρύχνων ὁ μὲν Ὑπνώδης, ὁ δὲ Μανικός· καὶ ὁ μὲν Ὑπνώδης ἐρυθρὰν ἔχων τὴν ῥίζαν ὥσπερ αἷμα, ὀρυττομένην· ξηραινομένην δὲ λευκήν· καὶ καρπὸν ἐρυθρότερον *κόκκου· φύλλον δὲ Τιθυμάλλῳ ὅμοιον, ἢ Μηλέᾳ τῇ Κυδωνίᾳ· καὶ αὐτὸ δασὺ καὶ

[u] ἔπειτα τῶν Bod. [x] παχύφυλλον· Gaz. [y] προσθετίον τι ταῖς γυναιξὶ Bod.

ὁ [z] *σπυθμὴν μέγας· τούτου τὴν ῥίζαν, τὸν φλοιὸν κόπτοντες λίαν, καὶ βρέχοντες ἐν οἴνῳ ἀκράτῳ, διδόασι, καὶ ποιεῖ καθεύδειν. φύεται δὲ ἐν χαράδραις καὶ τοῖς μνήμασιν. ὁ δὲ Μανικὸς (οἱ μὲν, [a] Θρύορον καλοῦσιν αὐτὸν, οἱ δὲ Πέρσιον.) λευκὴν δὲ ἔχει τὴν ῥίζαν, καὶ μακρὰν, ὡς πήχεος, καὶ κοίλην· δίδοται δ' αὐτῆς, ἐὰν μὲν οὕτως ὥστε παίζειν, καὶ δοκεῖν ἑαυτῷ κάλλιστον εἶναι, δραχμὴ σταθμῷ· ἐὰν δὲ μᾶλλον μαίνεσθαι, καὶ φαντασίας τινὰς φαίνεσθαι, δύο δραχμάς· ἐὰν δὲ ὥστε μὴ παύσασθαι μαινόμενον, τρεῖς, καὶ συμπαραμιγνύναι φασὶν τὸ Κενταύρειον· ἐὰν δὲ ὥσπερ ἀποκτεῖναι, τέτταρας. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον Εὐζώμῳ, πλὴν μεῖζον, τὸν δὲ καυλὸν ὥσπερ [b] ὀργυίας· κεφαλὴν δὲ ὥσπερ Γηθύου, μείζω δὲ καὶ παχυτέραν· ἔοικε δὲ καὶ Πλατάνου καρπῷ. τῶν δὲ Τιθυμάλλων, ὁ μὲν Παράλιος καλούμενος Κόκκος, φύλλον ἔχει περιφερὲς, καυλὸν δὲ, καὶ τὸ ὅλον μέγεθος, ὡς σπιθαμῆς· τὸν δὲ καρπὸν λευκόν· ἁμᾶται δὲ ὅταν ἄρτι *περκάζῃ ἡ σταφυλή· καὶ ξηρανθεὶς ὁ καρπὸς δίδοται πιεῖν τριφθεὶς, ὅσον τρίτον μέρος *ὀξυβάφου. ὁ δ' Ἄρρην καλούμενος, τὸ μὲν φύλλον *ἐλαιῶδες ἔχει· τὸ δ' ὅλον μέγεθος, διπηχυαῖον· τοῦτον ὀπίζουσιν ἅμα *τρυγητῷ, καὶ θεραπεύσαντες, οὕτω χρῶνται, *καθαίρει δὲ κάτω μᾶλλον. ὁ δὲ Μυρτίτης καλούμενος, Τιθύμαλλος Λευκὸς, τὸ μὲν φύλλον ἔχει, καθάπερ ὁ Μύῤῥινος, πλὴν ἀκανθῶδες ἐπ' ἄκρου, κλημάτια δ' ἀφίησιν ἐπὶ γῆν, ὡς σπιθαμιαῖα· ταῦτα δ' οὐχ ἅμα φέρει τὸν καρπὸν, ἀλλὰ παρ' ἔτος, τὰ μὲν νῦν, τὰ δ' εἰς

[z] σπιθάμην μίγα. Const. [a] Βρύορον Bod. Θρόνον Const.
[b] ὀργυίας τίσσαρας· Const.

νέωτα πεφυκότα ἀπὸ τῆς αὐτῆς ῥίζης· φιλεῖ δὲ ὀρεινὰ χωρία, ὁ δὲ καρπὸς αὐτοῦ καλεῖται κάρυον. *ἀμῶσι δ' ὅταν ἀδρύνωνται αἱ Κριθαί. ξηραίνοντες δὲ, καὶ ἀποκαθαίροντες αὐτὸν τὸν καρπὸν, πλύναντες δ' ἐν ὕδατι καὶ πάλιν ξηραίναντες, διδόασι πιεῖν, συμμιγνύντες δύο μέρη τῆς μελαίνης Μήκωνος· τὸ δὲ συναμφότερον, ὅσον ὀξύβαφον, καθαίρει δὴ *φλέγμα κάτω· ἐὰν δὲ τὸ κάρυον αὐτὸ δίδωσι, τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν, ἢ ἐν Σησάμῳ πεφρυγμένῳ, *κατατραγεῖν. ταῦτα μὲν οὖν τοῖς τε φύλλοις, καὶ τοῖς ὀποῖς, καὶ τοῖς καρποῖς, χρήσιμα, τῶν δὲ Λιβανωτίδων (δύο γάρ εἰσιν) ἡ μὲν ἄκαρπος, ἡ δὲ κάρπιμος· καὶ ἡ μὲν καὶ τῷ καρπῷ, καὶ τῷ φύλλῳ χρησίμη, ἡ δὲ μόνον τῇ ῥίζῃ. καλεῖται δὲ ὁ καρπὸς *κάχρυς· ἔχει δὲ αὕτη τὸ μὲν φύλλον ἐοικὸς Σελίνῳ ἐλείῳ, μεῖζον δὲ πολύ· καυλὸν δὲ μέγεθος πήχεος, ἢ μείζω, ῥίζαν δὲ μεγάλην, καὶ παχεῖαν, λευκὴν, ὄζουσαν ὥσπερ Λιβανωτοῦ· καρπὸν δὲ λευκὸν, τραχὺν, προμήκη· φύεται δὲ μάλιστα ὅπου ἂν αὐχμηρὰ χωρία ᾖ, καὶ πετρώδη. χρησίμη δὲ ἡ μὲν ῥίζα, πρός τε τὰ ἕλκη καὶ πρὸς τὰ γυναικεῖα, πινομένη ἐν οἴνῳ [c] αὐστηρῷ, μέλανι· ὁ δὲ καρπὸς πρός τε τὰς στραγγουρίας, καὶ πρὸς τὰ ὦτα, καὶ *ἄργεμα· καὶ πρὸς ὀφθαλμίας, καὶ ὥστε γάλα γυναιξὶν ἐμποιεῖν. ἡ δὲ ἄκαρπος, ἔχει τὸ φύλλον ὅμοιον Θριδακίνης τῆς πικρᾶς, τραχύτερον δὲ καὶ λευκότερον, ῥίζαν δὲ βραχεῖαν, φύεται δὲ, ὅπου περ [d] εἴρηται, πλείστη· δύναται δὲ καθαίρειν ἡ ῥίζα καὶ ἄνω καὶ κάτω, τὸ μὲν γὰρ πρὸς τὴν βλάστησιν, ἄνω, τὸ δὲ πρὸς τὴν γῆν, κάτω· κωλύει δὲ, καὶ εἰς

[c] ἀνδρείῳ Const.

[d] πλείστη Ἐρείκῃ, Const.

ἱμάτια τιθεμένη, τοὺς *Σῆτας· συλλέγεται δὲ περὶ πυροτομίας.

CAP. XIV.

Carlina; Carthamus, et Papaver.

ΧΑΜΑΙΛΕΩΝ δὲ, ὁ μὲν λευκὸς, ὁ δὲ, μέλας· αἱ δὲ δυνάμεις τῶν ῥιζῶν, καὶ αὗται δὲ αἱ ῥίζαι τοῖς εἴδεσι διάφοροι· τοῦ μὲν γὰρ λευκὴ, καὶ γλυκεῖα, καὶ παχεῖα, καὶ ὀσμὴν ἔχουσα βαρεῖαν· χρησίμη δέ φασι πρὸς τοὺς *ῥοῦς, ὅταν ἑψηθῇ κατατμηθεῖσα ὥσπερ Ῥαφανὶς, [c] *ἐνηλωμένη δ' ἐφ' Ὁλοχοίνου· καὶ πρὸς τὴν *Ἔλμινθα τὴν πλατεῖαν, ἐὰν *ἀσαφίδα προφάγῃ· [f] δεῖ δὲ πίνειν, ἐπιξύοντα ταύτην, ὅσον ὀξύβαφον ἐν οἴνῳ αὐστηρῷ· ἀναιρεῖ δὲ καὶ Κύνα καὶ Σῦν· Κύνα μὲν, ἐν ἀλφίτοις ἀναφυραθεῖσα μετὰ ἐλαίου καὶ ὕδατος, Σῦν δὲ, μετὰ Ῥαφάνων μιγνυμένη, τῶν ὀρείων· γυναικὶ δὲ δίδοται ἐν *τρυγὶ γλυκείᾳ, καὶ ἐν οἴνῳ γλυκεῖ. καὶ ἐὰν βούληταί τις, ἀθενοῦντος ἀνθρώπου, διαπειράσαθαι εἰ βιώσιμος, λούειν κελεύουσι τρεῖς ἡμέρας, καθ' ἣν περιενέγκῃ, βιώσιμος· φύεται δὲ ὁμοίως πανταχοῦ, καὶ ἔχει τὸ φύλλον ὅμοιον Σκολύμῳ, μεῖζον δέ· αὐτὸ δὲ πρὸς τῇ γῇ· τὴν δὲ κεφαλὴν ἔχει, ὁμοίαν *ἀκανῷ, μεγάλην, οἷόν' Ἄκανον καλοῦσιν. ὁ δὲ μέλας τὸ μὲν φύλλον παρόμοιος ([g] *σκολυμῶδες γὰρ ἔχει, πλὴν ἔλαττον καὶ λειότερον) αὐτὸς δ' ὅλος ἐστὶν ὥσπερ *σκιάδιον, ἡ δὲ ῥίζα παχεῖα καὶ μέλαινα, διαῤῥαγεῖσα δὲ, ὑπόξανθος· φιλεῖ δὲ χωρία ψυχρὰ καὶ *ἀργά. δύναται δὲ λέπραν

[c] ἐνειλομένη Bod. [f] δεῖ δὲ desunt Bod. [g] σκολυκῶδες Bod.

ἐξελαύνειν ἐν ὄξει τριβόμενος· καὶ τριβεὶς, ἐπαλειφόμενος· καὶ *ἄλφον ὡσαύτως· ἀναιρεῖ δὲ καὶ τοὺς Κύνας. Μήκωνες δ' εἰσὶν ἄγριαι πλείους· ἡ μὲν Κερατῖτις καλουμένη, ἡ δὲ Μέλαινα· ταύτης τὸ φύλλον ὡς Φλόμου τῆς μελαίνης, ἧττον δὲ μέλαν· τοῦ δὲ καυλοῦ τὸ ὕψος ὡς πηχυαῖον· ῥίζα δὲ [g]παχεῖα, καὶ ἐπιπόλαιος, ὁ δὲ καρπὸς καμπύλος ὥσπερ τῶν κερατίων· συλλέγεται δὲ περὶ πυροτομίας· δύναται δὲ καθαίρειν κοιλίαν· τὸ δὲ φύλλον *ἄργεμα προβάτοις ἀφαιρεῖ. φύεται δὲ παρὰ τὴν θάλατταν, οὗ ἂν ᾖ πετρώδη χωρία. ἑτέρα δὲ Μήκων, Ῥοιὰς καλουμένη, παρομοίᾳ Κιχωρίῳ τῷ ἀγρίῳ, διὸ καὶ ἐδίεται· ἐν τοῖς [i]ἀρουραίοις δὲ φύεται, μάλιστα ἐν ταῖς Κριθαῖς· ἄνθος δὲ ἔχει ἐρυθρὸν, [k]*κωδείαν δ' ὅσην ὄνυχα τοῦ δακτύλου· συλλέγεται δὲ πρὸ τοῦ θερισμοῦ τῶν Κριθῶν (ἐγχλωροτέρα δὲ μᾶλλον) καθαίρει δὲ κάτω. ἑτέρα δὲ Μήκων Ἡρακλεία καλεῖται, τὸ μὲν φύλλον ἔχουσα οἷον *στρυθὸς, ᾧ τὰ ὀθόνια λευκαίνουσι, ῥίζαν δὲ λευκὴν, ἐπιπόλαιον, τὸν δὲ καρπὸν λευκόν· καθαίρει δ' ἄνω ταύτης ἡ ῥίζα· χρῶνται δέ τινες πρὸς τοὺς *ἐπιλήπτους ἐν *μελικράτῳ.

CAP. XV.

Radices quædam medicinales.

ΤΑΥΤΑ μὲν οὖν ὥσπερ ὁμώνυμά τινα συνείληπται, τῶν δὲ ῥιζῶν καὶ ἐν τοῖς χυλοῖς εἰσὶ διαφοραὶ καὶ ἐν ταῖς ὀσμαῖς· αἱ μὲν γάρ εἰσι *δριμεῖαι, αἱ δὲ πικραὶ, αἱ δὲ γλυκεῖαι· καὶ αἱ μὲν εὔοσμοι, αἱ δὲ βαρεῖαι. γλυκεῖα

[h] βραχεῖα, Bod. [i] ἀρούραις δὲ Const. [k] κωδύας δ' ἴσην Bod.

μὲν, ἥ τε Νυμφαῖα καλουμένη· φύεται δὲ ἐν ταῖς λίμναις, καὶ ἐν τοῖς ἑλώδεσιν, οἷον, ἔντε τῇ Ὀρχομενίᾳ [λίμνῃ], καὶ Μαραθῶνι, καὶ περὶ Κρήτην· καλοῦσι δ' αὐτὴν οἱ Βοιωτοὶ [l] Μαδωνίαν, καὶ τὸν καρπὸν ἐδίουσιν, ἔχει δὲ τὸ φύλλον μέγα ἐπὶ τοῦ ὕδατος· εἶναι δέ φασιν ἴσχαιμον, ἐὰν τρίψας τὶς ἐπὶ τὴν πληγὴν ἐπιθῇ. χρησίμη δὲ καὶ πρὸς τὰς δυσεντερίας, πινομένη. γλυκεῖα δὲ καὶ ἡ Σκυθικὴ [m ῥίζα], καὶ ἔνιοί γε καλοῦσιν αὐτὴν [n] Γλυκυῤῥίζαν· γίνεται δὲ περὶ τὴν Μαιῶτιν· χρησίμη δ' ἐστὶ πρός τε τὰ *ἄθματα, καὶ πρὸς *βῆχα ξηρὰν, καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους· ἔτι δὲ πρὸς τὰ ἕλκη ἐν μέλιτι· δύναται δὲ καὶ τὴν δίψαν παύειν, ἐάν τις ἐν τῷ στόματι ἔχῃ· διὸ ταύτῃ τε, καὶ τῇ *ἱππακῇ διάγειν φασὶ τοὺς Σκύθας ἡμέρας καὶ ἕνδεκα καὶ δώδεκα. ἡ δὲ Ἀριστολοχία τῇ ὀσφρήσει μὲν εὔοδμος, τῇ δὲ γεύσει πικρὰ σφόδρα, τῇ χροιᾷ δὲ καὶ μέλαινα· φύεται δὲ ἐν τοῖς ὄρεσιν ἡ βελτίστη, φύλλον δὲ ἔχει προσεμφερὲς [o] τῇ Κισσῷ. πλὴν στρογγυλότερον. χρησίμη δὲ πρὸς πολλὰ, καὶ ἀρίστη πρὸς κεφαλὴν, ἀγαθὴ δὲ καὶ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ἑρπετὰ, καὶ πρὸς ὕπνον· καὶ πρὸς [p] κεφαλὴν μὲν οὖν προσάγειν κελεύουσιν ἐν ὕδατι, ἀναδεύσαντα καὶ καταπλάττοντα, τὰ δὲ ἄλλα, εἰς μέλι *ἐγχύσαντα καὶ ἔλαιον· πρὸς δὲ τὰ τῶν ἑρπετῶν ἐν οἴνῳ *ὀξίνῃ πίνειν, ἢ καὶ ἐπὶ τὸ δῆγμα ἐπιπάττειν· εἰς ὕπνον δὲ ἐν οἴνῳ μέλανι αὐστηρῷ *κνίσας, ἐὰν δὲ αἱ μῆτραι προσπέσωσι, τῷ ὕδατι ἀποκλύζειν. αὗται μὲν οὖν γλυκεῖαι [ῥίζαι], ἄλλαι δὲ πικραὶ, αἱ δὲ βαρεῖαι τῇ

l Μαδὸν, Const. m ῥίζα deest Bod. n εὐθυγλυκεῖαι Bod. o τῇ Ἀλσίνῃ. Bod. p ἕτερα. τὰ μὲν οὖν Bod.

γεύσει. γίνονταϊ δέ τινες τῶν γλυκειῶν, αἱ μὲν, *ἐκστατικαὶ, καθάπερ ἡ ὁμοία τῇ Σκολύμῳ ἡ περὶ Τέγεαν, ἣν καὶ Πάντιος ὁ ἀνδριαντοποιὸς φαγὼν, ἐργαζόμενος ἐν τῷ ἱερῷ, *ἐξέστη (q αἱ δὲ, θανατηφόροι, καθάπερ αἱ περὶ τὰ *μέταλλα τὰ ἐν τῇ Θράκῃ) κούφη δὲ [αὐτὴ] καὶ ἡδεῖα πάνυ τῇ γεύσει, καὶ τὸν θάνατον ὑπνώδη τινὰ ποιοῦσα, καὶ ἐλαφρόν. ἔχουσι δὲ καὶ τοῖς χρώμασι διαφορὰς [αἱ ῥίζαι], οὐ τῷ λευκῷ καὶ μέλανι καὶ ξανθῷ μόνον, ἀλλ' ἔνιαι καὶ *οἰνοχρῶτες καὶ ἐρυθραὶ, καθάπερ ἡ τοῦ Ἐρευθεδάνου.

CAP. XVI.

Tormentilla, Rubia, &c. Medicamentorum Durationes.

Ἡ δὲ τοῦ Πενταφύλλου, ἢ Πενταπέτου [ῥίζα], (καλοῦσι γὰρ ἀμφοτέρως) ὀρυττομένη, ἐρυθρὰ, ξηραινομένη δὲ, μέλαινα γίνεται, καὶ τετράγωνος ἐστί· ἔχει δὲ τὸ μὲν φύλλον ὥσπερ *οἴναρον, μικρὸν δὲ, καὶ τὴν χροιὰν ὅμοιον· καὶ αὐξάνεται καὶ φθίνει ἅμα τῇ Ἀμπέλῳ· πάντα δὲ τὰ φύλλα πέντε, διὸ καὶ ἡ προσηγορία· καυλοὺς δὲ ἐπὶ γῆς ἵησι λεπτοὺς, καὶ *κνήμας ἔχει πυκνάς. τὸ δὲ Ἐρευθέδανον ἔχει φύλλον r*κυκλιδὸν s ὅμοιον Ὠχρῳ, πλὴν στρογγυλότερον· φύεται δ' ἐπὶ γῆς ὥσπερ Ἄγρωστις· φιλεῖ δὲ καὶ παλίσκια χωρία· οὐρητικὴ δὲ, διὸ καὶ χρῶνται πρὸς τὰ τῆς ὀσφύος ἀλγήματα, καὶ πρὸς τὰ τῆς *ἰσχιάδος. ἔνιαι δὲ ἰδιόμορφοί τινες [ῥίζαι], ὥσπερ ἥτε τοῦ Σκορπίου καλουμένου, καὶ ἡ τοῦ Πολυποδίου· ἡ μὲν γὰρ ὁμοία Σκορπίῳ καὶ χρησίμη

q ἄλλαι δὲ, Const. r κυκλιδὸν deest Bod. s ὅμοιον Κιττῷ, Bod.

δὲ πρὸς τὴν πληγὴν αὐτοῦ καὶ πρὸς ἄλλ' ἄττα· ἡ δὲ τοῦ Πολυποδίου δασεῖα, καὶ ἔχουσα *κοτυληδόνας, ὥσπερ αἱ τοῦ Πολύποδος *πλεκτάνας. καθαίρει δὲ κάτω· κἂν *περιάψηταί τις, ὥς φασιν, ἐμφύεσθαι Πολύπους. ἔχει δὲ φύλλον ὅμοιον τῇ Πτερίδι τῇ μεγάλῃ, καὶ φύεται ἐν ταῖς πέτραις. πασῶν δὲ τῶν ῥιζῶν, αἱ μὲν πλείω χρόνον, αἱ δὲ ἐλάττω διαμένουσιν, ὁ μὲν γὰρ Ἐλλέβορος καὶ τριάκοντα ἔτη χρήσιμος, ἡ δὲ Ἀριστολοχία πέντε, καὶ ἓξ, Χαμαιλέων δέγε ὁ Μέλας, τετταράκοντα· Κενταυρὶς δὲ δέκα καὶ δώδεκα (πίειρα δὲ ἡ ῥίζα καὶ πυκνὴ) Πευκέδανον δὲ πέντε, ἢ ἕξ· Ἄμπελος δὲ ἀγρία, ἐνιαυτὸν, ἐὰν ἐν σκιᾷ καὶ ᾖ, ἄπληκτος, εἰ δὲ μὴ, σαπρὰ καὶ [t]*συμφυσώδης. ἄλλαι δὲ ἄλλους ἔχουσι χρόνους. πάντων δὲ ὅλως τῶν φαρμάκων πλεῖστον διαμένει χρόνον τὸ *ἐλατήριον, καὶ τὸ παλαιότατον, ἄριστον· ἰατρὸς δ' οὖν τὶς ἔλεγεν, οὐκ ἀλαζὼν, οὐ δὲ ψεύστης, ὡς εἴηπερ αὐτῷ διακοσίων ἐτῶν· θαυμαστὸν δὲ τῇ ἀρετῇ, δοῦναί τινα αὐτῷ δῶρον. αἰτία δὲ τῆς χρονιότητος ἡ ὑγρότης, διὰ γὰρ ταύτην, καὶ ὅταν κόψωσι, τιθέασιν εἰς τέφραν, [u]ὑγρὸν, καὶ οὐδ' ὡς, ξηρὸν γίνεται, ἀλλ' ἄχρι πεντήκοντα ἐτῶν σβέννυσι, προσαγόμενον, τοὺς [x]λύχνους. φασὶ δὲ μόνον ἢ μάλιστα τῶν φαρμάκων [y]ὑπέρινον ἄνω ποιεῖν. αὕτη μὲν οὖν ἰδιότης τις δυνάμεως, τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκύτητά τινα ἔχουσι, συμβαίνει *θριπηδέστους γίνεσθαι, χρονιζομένας, ὅσαι δὲ δριμεῖαι, τοῦτο μὲν μὴ πάσχειν, *ἀμαυροῦσθαι δ' αὐτῶν τὰς δυνάμεις, μανουμένων καὶ κενου-

[t] *σογκώδης*. Bod. [u] *ὑγρὰν, οὐδ' οὕτως ξηρὰν γίνεται*, Ald.
[x] *αὔχμους* pro *λύχνους* Ald. [y] *ὑπὲρ ἴκων* Bod. Vid. not. ad fin. libri.

μένων. τῶν δ' ἔξω θηρίων ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης οὐδεμιᾶς, ἡ δὲ Σφονδύλη πασῶν, τοῦτο μὲν οὖν ἴδιον τῆς τοῦ ζώου φύσεως. πᾶσαν δὲ χείρω φασὶ γίνεσθαι ῥίζαν, ἐὰν ἐάσῃ τις τελειωθῆναι καὶ ἀδρυνθῆναι τὸν καρπόν· ὡσαύτως δὲ καὶ τὸν καρπὸν, ἐὰν ὀπίσῃς τὴν ῥίζαν· ὡς ἐπιπολὺ δὲ, αἱ φαρμακώδεις [ῥίζαι] οὐκ ὀπίζονται, ὧν δ' ἂν τὰ σπέρματα φαρμακώδη, αὗται δὲ ὀπίζονται. χρῆσθαι δέ τινων μᾶλλόν φασι ταῖς ῥίζαις, ὅτι ἰσχυρότερος ὁ καρπὸς, ἢ ὑπενεγκεῖν τὸ σῶμα· φαίνεται δὲ οὐ καθόλου τοῦτο ἀληθές. ἔτι καὶ οἱ ἐν Ἀντικύρᾳ τῆς σησαμώδους Ἐλλεβόρου διδόασιν, οὗ ὁ καρπὸς ὅμοιος Σησάμῳ.

CAP. XVII.

Regiones pharmaceuticæ. De Moly Antiquorum, &c. &c.

*ΦΑΡΜΑΚΩΔΕΙΣ δὲ δοκοῦσιν εἶναι τόποι [τινὲς], μάλιστα μὲν, ἔξω τῆς Ἑλλάδος, οἱ περὶ Τυῤῥήνιαν καὶ τὴν Λατίνην, ἐν ᾗ καὶ τὴν Κίρκην εἶναι λέγουσι. καὶ ἔτι γε μᾶλλον, ὡς Ὅμηρός φησι, οἱ περὶ Αἴγυπτον, ἐκεῖθεν γὰρ τὴν Ἑλένην λαβεῖν

Ἐσθλὰ τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις,
[z] Αἰγυπτίη· τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα,
Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. Ὀδ. Δ. 228.

ἐν οἷς δὲ καὶ τὸ *νηπενθὲς ἐκεῖνό φησιν εἶναι καὶ *ἄχολον, ὥστε λήθην ποιεῖν καὶ ἀπάθειαν τῶν κακῶν. καὶ κεδὸν αὗται μὲν ἐοίκασιν, ὥσπερ ἀπὸ τῶν ποιητῶν, ὑποδε-

[z] Αἰγυπτίη· Bod.

δεῖχθαι, καὶ γὰρ Αἰσχύλος ἐν τοῖς ἐλεγείοις ὡς πολυφάρμακον λέγει τὴν Τυῤῥηνίαν.

Τυῤῥηνὸν γενεὰν φαρμακοπιὸν ἔθνος.

οἱ δὲ τόποι πάντες πως φαίνονται μετέχειν τῶν φαρμάκων, ἀλλὰ τῷ μᾶλλον καὶ τῷ ἧττον διαφέρειν· καὶ γὰρ οἱ πρὸς ἄρκτον καὶ μεσημβρίαν, καὶ οἱ πρὸς ἀνατολὰς, ἔχουσι θαυμαστὰς δυνάμεις· ἐν Αἰθιοπίᾳ γὰρ, ᾗ τοὺς ὀϊστοὺς χρίουσι, ῥίζα τίς ἐστι θανατηφόρος· ἐν δὲ Σκύθαις αὐτή τε καὶ ἕτεραι πλείους· αἱ μὲν παρὰ χρῆμα *ἀπαλλάττουσαι τὸν *προσενεγκαμένου, αἱ δὲ ἐν χρόνοις, αἱ μὲν ἐλάττοσιν, αἱ δὲ πλείοσιν, ὥς' ἐνιαυτῷ καταφθίνειν, εἰς Ἰνδούς τε καὶ ἕτερα μέρη πλείω [εἰσί]. περιττοτάτη δὲ (εἴπερ ἀληθῆ λέγουσιν), ἥτε δυναμένη τὸ αἷμα *διαχεῖν, καὶ οἷον ὑποφεύγειν, καὶ πάλιν ἡ συνάγουσα, καὶ πρὸς ἑαυτὴν ἐπισπωμένη, ἅτε φασὶν εὑρῆθαι πρὸς τὰ τῶν ὄφεων τῶν θανατηφόρων δήγματα. Περὶ δὲ τὴν Θράκην εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας, ἰσχυρότατον δὲ, ὡς εἰπεῖν, τὴν Ἴσχαιμον, ἣν δὴ λέγουσιν, οἱ μὲν, κεντηθείσης τῆς φλεβὸς, οἱ δὲ καὶ σφοδροτέρως διατμηθείσης, ἴσχειν, καὶ κωλύειν τὴν χύσιν. ταῦτα μὲν οὖν, ὥσπερ εἴπομεν, ἔοικε δηλοῦν τὸ κοινόν. καὶ τῶν ἔξω τόπων οἱ φαρμακωδέστατοι οὗτοί εἰσι, τῶν δὲ περὶ τὴν Ἑλλάδα τόπων, φαρμακωδέστατον τό, τε Πήλιον, τὸ ἐν Θετταλίᾳ, καὶ τὸ Τελέθριον, τὸ ἐν τῇ Εὐβοίᾳ, καὶ ὁ Παρνασός· ἔτι δὲ ἡ Ἀρκαδία, καὶ ἡ Λακωνικὴ (καὶ γὰρ αὗται φαρμακώδεις ἀμφότεραι) διὸ καὶ οἵγε Ἀρκάδες εἰώθασιν ἀντὶ τοῦ φαρμακοποτεῖν, γαλακτοποτεῖν περὶ τὸ ἔαρ, ὅταν οἱ ὀποὶ μάλιστα τῶν τοιούτων φύλλων ἀκμάζωσι, τότε γὰρ φαρμακωδέστατον

τὸ γάλα· πίνουσι δὲ τὸ βόειον, δοκεῖ γὰρ *πολυνομώτατον καὶ παμφαγώτατον πάντων ὁ Βούς. φύεται δὲ παρὰ αὐτοῖς, ὅτε Ἐλλέβορος ἀμφότερος, καὶ ὁ λευκὸς, καὶ ὁ μέλας· ἔτι τε Δαῦκον δαφνοειδὲς, κροκόεν· ἔτι καὶ ἣν ἐκεῖνοι μὲν [a]Ῥάφανον ἀγρίαν καλοῦσι, τῶν δὲ ἰατρῶν τινες, Κέρας· καὶ ἣν οἱ μὲν [b]Ἀλθαίαν, ἐκεῖνοι δὲ Μαλάχην ἀγρίαν· καὶ ἡ Ἀριστολοχία, καὶ τὸ Σέσελι, καὶ τὸ Ἱπποσέλινον, καὶ τὸ Πευκέδανον, καὶ ἡ Ἡράκλεια, καὶ ὁ Στρύχνος ἀμφότερος, ὅ, τε φοινικοῦν ἔχων τὸν καρπὸν, καὶ ὁ μέλανα. φύεται δ' ἐκεῖ ὁ Σίκυος, ὁ ἄγριος, ἐξ οὗ τὸ ἐλατήριον συντίθεται. καὶ τὸ Τιθύμαλλον, ἐξ [c]οὗ τὸ *ἱπομανές. ἄριστον δὲ τὸ περὶ Τέγεαν, καὶ ἐκεῖ μάλιστα σπουδάζεται· φύεται δ' ἐκεῖ καὶ [d]Ὑπόφαες· πλεῖστον δὲ καὶ κάλλιστον φύεται περὶ τὴν Κλειτορίαν. ἡ δὲ Πανάκεια γίνεται κατὰ τὸ πετραῖον περὶ Ψοφίδα, καὶ πλείστη καὶ ἀρίστη· τὸ δὲ Μῶλυ περὶ Φανεὸν, καὶ ἐν τῇ Κυλλήνῃ. φασὶ δ' εἶναι καὶ ὅμοιον, ὡς Ὅμηρος εἴρηκε, τὴν μὲν ῥίζαν ἔχον στρογγύλην, προσεμφερὲς Κρομμύῳ, τὸ δὲ φύλλον ὅμοιον Σκίλλῃ· χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρμακα καὶ τὰς μαγείας· οὐ μὴν ὀρύττειν γε εἶναι χαλεπὸν, ὡς Ὅμηρός φησι. τὸ δὲ Κώνειον, ἄριστον περὶ Σοῦσαν, καὶ ἐν τοῖς ψυχροτάτοις τόποις. γίνεται δὲ καὶ ἐν τῇ Λακωνικῇ τὰ πολλὰ τούτων, καὶ γὰρ αὕτη πολυφάρμακος· ἐν Ἀρκαδίᾳ δὲ ἡ Τραγάκανθα πολλὴ, καὶ οὐδὲν χείρων, ὡς οἴονται, τῆς Κρητικῆς, ἀλλὰ καὶ τῇ ὄψει καλλίων· καὶ Δαῦκον περὶ τὴν Πατρικὴν, διαφέρον·

[a] σταφυλῖνον ἄγριαν καλοῦσι, Ald. [b] Ἀλθίαν, ἐκεῖνοι Bod.
[c] οὗ ὁ ὄπος μόνον. Const. [d] ἐπὶ πλέον· Bod.

τοῦτο δὲ θερμαντικὸν φύσει· ῥίζαν δὲ ἔχει μέλαιναν. φύεται δὲ τὰ πολλὰ τούτων καὶ ἐν τῷ Παρνασῷ, καὶ περὶ τὸ Τελέθριον.

CAP. XVIII.

Origanum Dictamnus, et Pseudo-Dictamnus: Aconitum Lycloctinum, &c. &c.

ΚΑΙ ταῦτα μὲν κοινὰ πλειόνων χώρων, τὸ δὲ Δίκταμον, ἴδιον τῆς Κρήτης· θαυμαστὸν δὲ τῇ δυνάμει, καὶ πρὸς πλεῖω χρήσιμον, μάλιστα δὲ πρὸς τοὺς τόκους τῶν γυναικῶν· ἔστι δὲ τὸ μὲν φύλλον παρόμοιον τῇ Βληχοῖ, ἔχει δέ τι κατὰ τὸν χυλὸν ἐμφερὲς, τὰ δὲ κλώνια λεπτότερα· χρῶνται δὲ τοῖς φύλλοις, οὐ τοῖς κλωσὶν, οὐδὲ τῷ καρπῷ. χρήσιμον δὲ πρὸς πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ, ὥσπερ ἐλέχθη, πρὸς τὰς δυστοκίας τῶν γυναικῶν, ἢ γὰρ εὐτοκεῖν φασι ποιεῖν, ἢ παύειν γε τοὺς πόνους ὁμολογουμένως· δίδοται δὲ πίνειν ἐν ὕδατι· σπάνιον δέ ἐστι, καὶ γὰρ ὀλίγος ὁ τόπος ὁ φέρων· καὶ γὰρ τοῦτον αἱ αἶγες ἐκνέμονται διὰ τὸ φιληδεῖν. ἀληθὲς δέ φασιν εἶναι καὶ τὸ περὶ τῶν βελῶν ὅτι [e] φαγούσας, ὅταν τοξευθῶσιν, ἐκβάλλειν. τὸ μὲν οὖν Δίκταμον τοιοῦτόν γε, καὶ τοιαύτας ἔχει τὰς δυνάμεις, τὸ δὲ Ψευδοδίκταμον, τῷ μὲν φύλλῳ ὅμοιον, τοῖς κλωνίοις δ' ἔλαττον, τῇ δυνάμει δὲ πολὺ λειπόμενον· βοηθεῖ [f] μὲν γὰρ καὶ ταῦτα, χεῖρον δὲ πολλῷ καὶ ἀσθενέστερον. ἔστι δὲ εὐθὺς ἐν τῷ στόματι φανερὰ ἡ τοῦ Δικτάμου δύναμις, θερμαίνει γὰρ ἀπὸ μικροῦ, σφόδρα. τιθέασι δὲ καὶ τὰς *δεσμίδας ἐν *νάρθηκι καὶ

[e] φαγοῦσαι Const. [f] γὰρ πρὸς ταῦτα, Const.

